κληθέντα τῇ τελευταίᾳ ἡμέρᾳ. Σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος. τούτῳ ἡλίου δεδυκότος ἰόντι ἐξ ἀγροῦ ἀπήντησα. εἰδὼς δ' ἐγώ, ὅτι τηνικαῦτα ἀφιγμένος οὐδένα καταλήψοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν· καὶ ἐλθόντες οἴκαδε ὡς ἐμέ, ἀναβάντες εἰς
23 τὸ ὑπερῷον ἐδειπνοῦμεν. ἐπειδὴ δὲ καλῶς αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο, ἐγὼ δὲ ἐκάθευδον. ὁ δ' Ἐρατοσθένης, ὦ ἄνδρες, εἰςέρχεται· καὶ ἡ θεράπαινα ἐπεγείρασά με εὐθὺς φράζει, ὅτι ἔνδον ἐστί. κἀγὼ εἰπὼν ἐκείνῃ ἐπιμελεῖσθαι τῆς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι ὡς τὸν καὶ τόν, καὶ τοὺς μὲν ἔνδον κατέλαβον, τοὺς δὲ οὐκ ἐπιδημοῦντας εὗ-
24 ρον. παραλαβὼν δ' ὡς οἷόν τε ἦν πλείστους ἐκ τῶν παρόντων, ἐβάδιζον. καὶ δᾷδας λαβόντες ἐκ τοῦ ἐγγύτατα καπηλείου εἰςερχόμεθα, ἀνεῳγμένης τῆς θύρας καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. ὤσαντες δὲ τὴν θύραν τοῦ δωματίου οἱ μὲν πρῶτοι εἰςιόντες ἔτι εἴδομεν αὐτὸν κατακείμενον παρὰ τῇ γυναικί, οἱ δ' ὕ-
25 στερον ἐν τῇ κλίνῃ γυμνὸν ἑστηκότα. ἐγὼ δ', ὦ ἄνδρες, πατάξας καταβάλλω αὐτόν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς τοὔπισθεν καὶ δήσας ἠρώτων, διὰ τί ὑβρίζει εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰςιών. κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, ἠντιβόλει δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖ-
26 ναι, ἀλλ' ἀργύριον πράξασθαι. ἐγὼ δ' εἶπον »ὅτι οὐκ

www.libtool.com.cn

23. ἐπιμελεῖσθαι τῆς θύρας] sc. αὐλείου, curare fores, eas scilicet, quae a via ducebant in aulam et inde per μέταυλον in aedes, ut ipse cum amicis intrare possit sine strepitu, nec tamen intret alius quisquam nec exeat.

ὡς τὸν καὶ τὸν] Formula significans ab uno ad alterum. Cf. Matthiae Gr. Gr. §. 286. p. 397.

καὶ τοὺς μὲν ἔνδον ὄντας κατέλαβον] Infra §. 41. ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον. Sed haec quamquam contraria videntur, utrumque dici vere potest. Nostro enim loco primum affirmat nonnullos se domi offendisse; in altero autem loco eos, quos non invenerit, in duas partes dividit, in eos, qui ab urbe, et in eos, qui domo aberant, quamvis essent in urbe.

24. ὤσαντες τὴν θύραν] Januam perrumpentes. Vim indicat adhibitam januae diligenter occlusae. πρὸς Σίμ. §. 6. ἐκκόψας τὰς θύρας.

25. ἀργύριον πράξασθαι] Qui adulterii sibi conscii erant, pecunia se redimere a poena studebant: id quod saepe contigit. Quid? quod etiam insidiae innocuis struebantur, ut adulterii calumnia grandis iis pecunia exprimeretur.

www.libtool.com.cn

ἐγώ σε ἀποκτενῶ, ἀλλ' ὁ τῆς πόλεως νόμος, ὃν σὺ παραβαίνων περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἵλου τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν καὶ εἰς τοὺς παῖδας τοὺς ἐμοὺς ἢ τοῖς νόμοις πείθεσθαι καὶ κόσμιος εἶναι.« οὕτως, ὦ 27
ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν, ὧνπερ καὶ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ εἰςαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ' ἐπὶ τὴν ἑστίαν καταφυγών, ὥςπερ οὗτοι λέγουσι· πῶς γὰρ ἄν; ὅςτις ἐν τῷ δωματίῳ πληγεὶς κατέπεσεν εὐθύς, περιέστρεψα δ' αὐτοῦ τὼ χεῖρε, ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἐδύνατο, οὔτε σίδηρον οὔτε ξύλον οὔτε ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς εἰςελθόντας ἂν ἠμύνατο.
ἀλλ', ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι, ὅτι οἱ μὴ 28

**26.** ἐποιήσω] Sic Bekkerus nihil notans nisi »vulgo ἐποίησας,« idemque conjecit Coraes ad Isocr. T. II. p. 290. Aestimandi significatione Attici ubique ponunt medium ποιεῖσθαι, a librariis haud raro corruptum in activum ποιεῖν.

**27.** ὧνπερ καὶ οἱ νόμοι] Tres meliores Bekkeri codd. non habent καί, in duobus aliis deest οἱ. — Bekkerus καί omisit. Videtur infensior esse particulae καί post relativum positae, ubi eam non ponunt linguae recentiores, sed eam, si vel pauciores codd. habeant, satis vindicavit Heindorfius ad Platonis Phaedon. §. 23., eaque est frequens in Lysia.

πληγεὶς] Sic videntur habere codd. C O X. Vulgo ποδηγὴς, aliqui ποδισθείς; receptam lectionem conjectura assecuti sunt Valckenaer ad Herod. V. 120. et Reiskius ad hunc locum.

ἐδύνατο] Sic Bekkerus ex tribus melioris notae codd. pro vulgato ἠδύνατο. Si Lysiae usum spectamus in augmento verborum δύναμαι, βούλομαι, μέλλω, habet δύναμαι augmentum η aliquoties consentientibus omnibus codd., frequentius ε; βούλομαι raro η, frequenter ε; μέλλω semper ε. In codicum discrepantia sequimur, ut par est, optimos et antiquissimos.

**27.** πῶς γὰρ ἄν;] Haec interrogatio fortiter negat. Vid. Hemsterhusius ad Luciani Tim. c. 2. κατ' Ἐπικρ. §. 9. p. 812. R. ἀλλ' οὐκ ἂν ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν δεδωκέναι, εἰ ἀκροασάμενοι αὐτῶν καταψηφίσαισθε. πῶς γάρ, ὦ ἄνδρες δικασταί, οἷς οὐδὲ ταὐτὰ καὶ ὑμῖν συμφέρει;

σίδηρον] telum, ut jam apud Homerum; in genere tenendum metallorum nomina apud antiquos saepe poni pro instrumentis ex metallo factis. Non igitur tentandum vocabulum propterea quod infra §. 42. legitur σιδήριον. Utrumque rectum, nec ulla necessitas, ut in utroque loco eadem forma adhibeatur.

www.libtool.com.cn

τὰ δίκαια πράττοντες οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν τἀληθῆ, ἀλλ' αὐτοὶ ψευδόμενοι καὶ τὰ τοιαῦτα μηχανώμενοι ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον.

## ΝΟΜΟΣ.

29 Οὐκ ἠμφισβήτει, ὦ ἄνδρες, ἀλλ' ὡμολόγει ἀδικεῖν. καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντιβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον, καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. καί μοι ἀνάβητε τούτων μάρτυρες.

## ΜΑΡΤΥΡΙΑΙ.

30 Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου.

## ΝΟΜΟΣ.

Ἀκούετε, ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου, ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαῤῥήδην εἴρηται

28. *οἱ μὴ τὰ δίκαια πράττοντες*] Hyperbaton negationis ne offendat! Ejusmodi vocabula saepe praecurrunt.

*τοιαῦτα μηχανώμενοι*] qui talia machinantur, i. e. qui pelliciant etiam alios ad mendacia in suam ipsorum utilitatem dicenda. [Malim *τοιαῦτα* referri ad verba: *οἱ μὴ τὰ δίκαια πρ.* esse itaque pro *ἄδικα*. F. J.].

29. *ἀποθάνῃ*] Cf. Excurs. 1.

*τιμήματι ου συνεχώρουν*] Locutio forensis de accusatore, qui *ἐν δευτέρᾳ ψήφῳ*, qua *ἐν ἀγῶνι τιμητῷ* aestimatio fiebat poenae, nihil remittebat reo, nec concedebat ei quidquam ratione mitioris poenae, quam reus ipse sibi imponebat. Hic tropice adhibetur de multa, quam moechus ipse obtulerat, ut se a morte redimeret. Cf. der Attische Process p. 175. et p. 178. s.

30. *ἐκ τῆς στήλης*] Formula, qua significantur leges Dracontis (Demosthenes p. 1161. *ἐπισκεψάμενος τοὺς τοῦ Δράκοντος ἐκ τῆς στήλης*), quemadmodum formula *ἐν ἄξονι* leges Solonis. Dracontis enim leges incisae erant columnae, quemadmodum Solonis axibus ligneis. A m a g i s t r a t u interdum leges nomen habent additum. Sic novimus leges v. c. A r e o p a g i, senatus quingentorum, archontum cet., quae in curiis horum magistratuum positae erant. Aliae leges habent nomen a r e. v. c. *τελωνικοὶ νόμοι*, *ἐμπορικοί* cet. Infra §. 36. *οἱ νόμοι τῆς μοιχείας*. Cf. der Attische Process p. 120.

*ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς*

www.libtool.com.cn

τοῦτον μὴ καταγινώσκειν φόνου, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν ταύτην τὴν τιμωρίαν ποιήσηται. καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε. καίτοι δῆλον, ὅτι, εἴ τινα εἶχε ταύτης μείζω τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν· νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ' ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι. ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον. 31

*δίκας δικάζειν*] *Πάτριον* h. l. i. q. *ἀρχαῖον*, quod jam per multas aetates obtinet, quod a principio, ab institutione hujus senatus valet, quod est in fundamentis. Summa olim auctoritate Areopagum valuisse nemo ignorat, sed Periclis tempore per Ephialtum ejus auctoritas et potentia imminuta. Civitate tamen a tyrannide *τῶν τριάκοντα* liberata Ol. CIV, 2. inter ea, quae bona et salutaria revocata sunt, etiam hoc fuit, quod auctoritas Areopagi restitueretur et imprimis judicium de caede ei redderetur. Etiam *περὶ τοῦ σηκοῦ* §. 28. patet post liberatam civitatem Areopagum pristinam auctoritatem recuperasse, et diligentiam denuō strenue usurpasse.

*τοῦτον μὴ καταγινώσκειν φόνου*] Usitata constructio esset *τούτου μὴ καταγινώσκειν φόνον*. Nam si *καταγινώσκειν* in partes solvatur, *γινώσκειν* accusativum habet criminis vel poenae, quae adjudicatur, *κατά* autem genitivum personae, contra quam sententia fertur. Legitima igitur est constructio cum accusativo rei et genitivo personae; nostro autem loco obtinet diversa; quam contra libros mutare non ausim, etsi eam non approbem. Accusativum personae huic verbo junctum fuisse apud bonos scriptores tum certi loci docent, tum passivum *καταγινώσκεσθαι* de personis adhibitum, tum similium verborum usus, ut *κατακρίνειν, καταψηφίζεσθαι*. Quid? quod etiam duplex accusativus in omnibus codd. legitur v. c. apud Xenophont. Hellen. I. 7, 33. *προδοσίαν καταγνόντες ἀντὶ τῆς ἀδυναμίας οὐχ ἱκανοὺς γενομένους διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσταχθέντα.*

*ἐπὶ τῇ δάμαρτι — μοιχὸν λαβὼν*] *Λαμβάνειν τινὰ ἐπί* est locutio propria de eo, qui aliquem in stupro deprehendit, quum ipsum factum committit. Eam illustrat Toupius Opp. Critt. T. I. p. 101.

31. *ἐπὶ ταῖς παλλακαῖς*] Quaenam fuerint *παλλακαί*, cognoscimus ex oratione Demosthenica *κατὰ Νεαίρ.* p. 1386. *τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς ἕνεκ' ἔχομεν· τὰς δὲ παλλακὰς τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος· τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.*

*τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι*] Sententia haec est: Licet gravius sit adulterium in uxorem quam in pellicem, tamen jam crimen in pellicem summo supplicio dignum legislator judicavit. Hinc patet hoc supplicio magis etiam eum voluisse affici, qui adulterium commiserit in uxorem; non igitur damnandum maritum, qui legi obediverit. — Nulla opus mutatione.

www.libtool.com.cn

## ΝΟΜΟΣ.

32 Ἀκούετε, ὦ ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύθερον ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν, ἐὰν δὲ γυναῖκα, ἐφ᾽ αἷςπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι. οὕτως, ὦ ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθοντας. τῶν μὲν γὰρ θάνατον κατέγνω, τοῖς δὲ διπλῆν ἐποίησε τὴν βλά-
33 βην ἡγούμενος τοὺς μὲν διαπραττομένους βίᾳ ὑπὸ τῶν βιασθέντων μισεῖσθαι, τοὺς δὲ πείσαντας οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥςτ᾽ οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ᾽ ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι ὁποτέρων τυγχάνουσιν ὄντες, τῶν ἀνδρῶν ἢ τῶν μοιχῶν. ἀνθ᾽ ὧν ὁ τὸν νόμον τιθεὶς
34 θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. Ἐμοῦ τοίνυν, ὦ ἄνδρες, οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμ-

32. ὦ ἄνδρες] ὦ addidit Bekkerus.
γυναῖκα] Bekkerus ex omnibus suis pro vulgato γυναῖκας.

32. διπλῆν τὴν βλάβην ὀφείλειν] Lex jubebat eum, qui ingenuum ingenuamve stupraverit, plecti centum drachmis, quae κυρίῳ (patri, tutori, cet.) violati solvendae erant. Διπλῆν τὴν βλάβην ὀφείλειν sic intelligendum videtur, ut non solum duplex pecuniae per legem statutae summa multa esset, sed etiam, si violato damnum accidisset, damnum aestimaretur et aestimatae pecuniae duplum penderetur. Cf. der Attische Process. p. 545. Invenimus enim multam progressam esse non modo ad summam mille drachmarum, sed etiam decies mille, et litem singulis caussis peculiariter aestimatam fuisse.

ἐφ᾽ αἷςπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι] Sensus est: Quamquam adulterio in se mortis poena constituta est, eam tamen legislator fecit exceptionem, si adulter vim adhibuerit; tunc poenam nonnisi esse pecuniae multam, eandemque, ut si vi stupraverit ingenuam.

33. ὁ τὸν νόμον τιθείς] Bekkerus »immo θείς.« Plures tamen sunt loci, in quibus praesens hujus locutionis eadem significatione adhibetur qua aoristus, ut eos contra libros mutare temerarium sit. κατὰ Νικομ. §. 28. p. 864. R. ἡγούμενοι τοιούτους ἔσεσθαι τοὺς νόμους, οἷοί περ ἂν ὦσιν οἱ τιθέντες. Demosthenes κατὰ Ἀριστοκρ. p. 629. ὁ μὲν δὴ τὸν νόμον τιθεὶς οὕτως. ib. l. 6. ss. τὴν μὲν δὴ προςηγορίαν τοῦ πάθους τὴν αὐτὴν ἐποιήσατο — — ἥνπερ ὁ τὸν νόμον τιθείς. l. 26. s. θεωρήσατε, ὡς καλῶς καὶ σφόδρ᾽ εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νόμον.

www.libtool.com.cn

βάνειν· ἐν ὑμῖν δ' ἐστὶ, πότερον χρὴ τούτους ἰσχυ-
ροὺς ἢ μηδενὸς ἀξίους εἶναι. ἐγὼ μὲν γὰρ οἶμαι πά- 35
σας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα,
περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλ-
θόντες σκεψώμεθα, ὅ τι ἡμῖν ποιητέον ἐστίν. οὗτοι
τοίνυν περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην
δίκην λαμβάνειν παρακελεύονται. οἷς ὑμᾶς ἀξιῶ τὴν 36
αὐτὴν γνώμην ἔχειν· εἰ δὲ μή, τοιαύτην ἄδειαν τοῖς
μοιχοῖς ποιήσετε, ὡς καὶ τοὺς κλέπτας ἐπαρεῖτε φά-
σκειν μοιχοὺς εἶναι, εὖ εἰδότας, ὅτι, ἐὰν ταύτην τὴν
αἰτίαν περὶ ἑαυτῶν λέγωσι, καὶ ἐπὶ τούτῳ φάσκωσιν
εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψε-
ται. πάντες γὰρ εἴσονται, ὅτι τοὺς μὲν νόμους τῆς
μοιχείας χαίρειν ἐᾶν δεῖ, τὴν δὲ ψῆφον τὴν ὑμε-
τέραν δεδιέναι. αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πό-
λει κυριωτάτη. σκέψασθε [δ'], ὦ ἄνδρες. κατηγο- 37
ροῦσι γάρ μου, ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. ἐγὼ δέ,
ὦ ἄνδρες, δίκαιον μὲν ἂν ποιεῖν ἡγούμην, ᾡτινιοῦν
τρόπῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμ-
βάνων. εἰ μὲν γὰρ λόγων εἰρημένων, ἔργου δὲ μηδε- 38
νὸς γεγενημένου μετελθεῖν ἐκέλευον ἐκεῖνον, ἠδίκουν
ἄν· εἰ δὲ ἤδη πάντων διαπεπραγμένων, καὶ πολλά-
κις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμήν, ᾡτινιοῦν
τρόπῳ ἐλάμβανον αὐτόν, σωφρονεῖν ἐμαυτὸν ἡγού-
μην. σκέψασθε δὲ, ὅτι καὶ ταῦτα ψεύδονται· ῥᾳ- 39
δίως δὲ ἐκ τῶνδε γνώσεσθε. ἐμοὶ γάρ, ὦ ἄνδρες,
(ὅπερ καὶ πρότερον εἶπον) φίλος ὢν Σώστρατος καὶ

37. *Σκέψασθε* [δ'] Particulam, quam vir doctus apud Sluiterum lectt. Andd. p. 243. ex conjectura addendam censebat, addidit Bekkerus ex corr. M. sed uncis inclusam.

*δίκαιον μὲν*] Sic Bekkerus ex quatuor codd. pro vulgato *ἐμέ*. De vulgari regula jam Heindorfius ad Plat. Phaedon. §. 2. monuit, post *μέν* alterum membrum, facile ex contextu supplendum, interdum omitti. Addimus id nonnunquam euphemistiee reticeri, quum qui loquitur malit id cogitari ab altero, quam ipse verbis exprimere. Sic h. l. *δίκαιον μὲν* (*εἰ καὶ δεινόν*).

38. *σωφρονεῖν ἐμαυτὸν ἡγού- μην*] Vide Excurs. IV.

www.libtool.com.cn

οἰκείας διακείμενος ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει, καὶ ἐπειδὴ καλῶς εἶχεν αὐτῷ,
40 ἀπιὼν ᾤχετο. καίτοι πρῶτον μέν, ὦ ἄνδρες, ἐνθυμήθητε, ὅτι, εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον αὐτῷ ἑτέρωθι δειπνεῖν, ἢ τὸν συνδειπνήσοντά μοι εἰςαγαγεῖν. οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνος εἰςελθεῖν εἰς τὴν οἰκίαν. εἶτα δοκῶ ἂν ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς μόνος καταλειφθῆναι καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖ-
41 νον μένειν, ἵνα μετ' ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο; ἔπειτα, ὦ ἄνδρες, οὐκ ἂν δοκῶ ὑμῖν τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τῶν ἐγγυτάτω, μᾶλλον ἢ ἐπειδὴ τάχιστα ᾐσθόμην, τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδώς, ὅντινα οἴκοι καταλήψομαι καὶ ὅντινα ἔξω; καὶ ὡς Ἁρμόδιον μὲν καὶ τὸν δεῖνα ἦλθον, οὐκ ἐπιδημοῦντας, (οὐ γὰρ ᾔδειν) ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον,
42 οὓς δ' οἷός τε ἦν λαβὼν ἐβάδιζον. καίτοιγε, εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν καὶ θεράποντας παρασκευάσασθαι καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν' ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰςῄειν (τί γὰρ ᾔδειν, εἴ τι κἀκεῖνος εἶχε σιδήριον;), ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην, νῦν δ' οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ τῇ νυκτί, οὓς οἷός τε ἦν παρέλαβον. καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΙΑΙ.

43 Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· σκέψασθε δὲ παρ' ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος, ζητοῦντες, εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται πλὴν ταύτης. οὐδεμίαν γὰρ εὑρήσετε.

40. ἐνθυμήθητε, ὅτι – πότερον ἦν μοι κρεῖττον] Vide Excurs. V.

ἵνα – ἐτιμωρεῖτο] Hermann. ad Viger. p. 850. »ἵνα cum indicativo praeteritorum temporum jungitur, quum significatur aliquid, quod futurum fuisset, si quid alind actum esset, sed nunc actum non est.« Vide Rost gr. Gr. §. 122. 12.

41. συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τῶν ἐγγυτάτω] Augerus post οἰκίαν addidit τινός; id necessarium esse frustra existimans. Vide Heindorf. ad Gorg. §. 148. Nempe genitivus partitivus saepe ponitur omisso pronomine τίς.

οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο, οὔτε ἐκ- 44
βάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν· οὔτε ἰδίας δίκας
ἐδικάζετο, οὔτε συνῄδει κακὸν οὐδὲν, ὃ ἐγὼ δεδιὼς
μή τις πύθηται ἐπεθύμουν αὐτὸν ἀπολέσαι. οὔτε, εἰ
ταῦτα διεπραξάμην, ἤλπιζον [μὲν] χρήματα λήψε-
σθαι· ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκεν θάνα-
τον ἀλλήλοις ἐπιβουλεύουσι. τοσούτου τοίνυν δεῖ 45
ἢ λοιδορία, ἢ παροινία, ἢ ἄλλη τις διαφορὰ ἡμῖν γε-
γονέναι, ὥστε οὐδὲ ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώ-
ποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί ἂν οὖν βουλόμε-
νος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέ-
γιστον τῶν ἀδικημάτων ἦν ὑπ᾽ αὐτοῦ ἠδικημένος;
ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν 46
μοι, εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδέ-
να μοι τούτων συνειδέναι; Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, 47
οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτην γενέσθαι τὴν
τιμωρίαν, ἀλλ᾽ ὑπὲρ τῆς πόλεως ἁπάσης. οἱ γὰρ τοι-
αῦτα πράττοντες, ὁρῶντες, οἷα τὰ ἆθλα πρόκειται
τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους
ἐξαμαρτήσονται, ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώ-
μην ἔχοντας. εἰ δὲ μή, πολὺ κάλλιον τοὺς μὲν κει- 48
μένους νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵτινες
τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας ταῖς ζη-

44. ἤλπιζον [μὲν] χρήματα λήψεσθαι] Μέν, quod abest a M, recte, opinor, uncis inclusit Bekkerus. Sluiter Lectt. Andd. p. 244. conjicit: ἤλπιζεν ἄν με χρήματα λήψεσθαι, hoc sensu: »neque si tale quid patrassem, ὃ συνῄδει κακόν, ὃ ἐγὼ δεδιὼς ἦν μή τις πύθηται, sperare potuisset me pecunia posse placari, quum hanc impune occidendi ejus meque me liberandi occasionem haberem.« Sed sententia lectionis codicum haec est: neque, si haec fecissem, i. e. si ipsum occidissem, sperabam me pecuniam inde laturum.

45. οὐδὲ] Bekkerus ex corr. M. pro vulgato οὔτε.

47. ἐξαμαρτήσονται] Sic Bekkerus ex libris pro vulgato ἐξαμαρτήσουσιν. X. supra scriptum habet ονται. Apud scriptores Atticos futurum verbi ἁμαρτάνω est formae mediae, aoristus formae activae, secundus.

48. ἑτέρους δὲ θεῖναι] Auger mavult θέσθαι: parum recte, opinor. Orator enim respicit ad legislatorem populo leges ferentem, non ad populum leges sibi ipsi statuentem.

www.libtool.com.cn

μίαις ζημιώσουσι, τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι.
49 πολὺ γὰρ οὕτω δικαιότερον ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας ἐνεδρεύεσθαι, οἳ κελεύουσι μὲν, ἐάν τις μοιχὸν λάβῃ, ὅ τι ἂν βούληται χρῆσθαι, οἱ δ' ἀγῶνες δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν, ἢ τοῖς παρὰ τοὺς νόμους
50 τὰς ἀλλοτρίας καταισχύνουσι γυναῖκας. ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος καὶ περὶ τῶν χρημάτων καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.

---

# ΛΥΣΙΟΥ

## ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ ΣΙΜΩΝΑ.

---

### PROOEMIUM.

Apologia est *περὶ τραύματος ἐκ προνοίας*. *Τραῦμα ἐκ προνοίας* dicebatur vulnus eo consilio inflictum, ut vulneratus periret. *Τραύματος* periphrasin habemus *κατ' Ἀνδοκ.* §. 16. p. 212. *ἂν μέν τις ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας.* Ad notionem *ἐκ προνοίας* eum, qui vulneraverit, voluisse interficere, patet ex hujus orationis §. 43. Ejusmodi *τραῦμα* par erat *φόνῳ*, et qui erat hujus criminis accusatus, ad eosdem judices adducebatur, ad quos qui caedem commiserat, et convictus iisdem suppliciis tenebatur. *Γραφαὶ περὶ τραύματος*, ut de *γραφαῖς περὶ φόνου* jam in prooemio antecedentis orationis vidimus, ad *βασιλέα ἄρχοντα* deferebantur, a quo praecognitione habita, in judicium adducebantur, et quidem haec *τραύματος ἐκ προνοίας* – *εἰς τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ*. Hinc allocutio judicum in hac oratione *ὦ βουλὴ* non quingentorum, sed *ἡ ἐν Ἀρείῳ πάγῳ*. Legem

*ταῖς ζημίαις ζημιώσουσι*] Inest emphasis in *ταῖς ζημίαις* tum in plurali, tum in articulo, ut non opus sit addi *ἐσχάταις* vel *μεγίσταις*.

49. *οἱ δ' ἀγῶνες*] Nos quidem, ubi Graeci usurpant *μέν – δέ*, priore particula omissa, alterum membrum annectere solemus per quum tameu; de quo monuit Heindorf. ad Plat. Gorgiam §. 43.

habemus apud Demosthenem *κατὰ Ἀριστοκρ.* p. 627. l. 21. *δικάζειν δὲ τὴν βουλὴν, τὴν ἐν Ἀρείῳ πάγῳ, φόνου καὶ τραύματος ἐκ προνοίας.* — Hic *ἀγὼν* autem erat *ἀτίμητος*, h. e. poena erat lege constituta. (De discrimine inter *ἀγῶνα τιμητόν* et *ἀτίμητον* accuratum examen instituit Aug. Matthiae Miscell. Philoll. T. I. p. 275. ss.) Poenam legimus apud Demosth. Mid. p. 528. l. 5. ss. *οἱ φονικοὶ νόμοι τοὺς μὲν ἐκ προνοίας ἀποκτιννύντας θανάτῳ καὶ ἀειφυγίᾳ καὶ δημεύσει τῶν ὑπαρχόντων ζημιοῦσι, τοὺς δ᾽ ἀκουσίως αἰδέσεως καὶ φιλανθρωπίας πολλῆς ἠξίωσαν.* Nostra oratione §. 38. *εἰς τοσοῦτον ἀγῶνα καθέστηκα, ἐν ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ ἁπάσης κινδυνεύω.*

Praepositio *πρός* in inscriptione non idem est quod *κατά*, sed, ut monuit F. A. Wolfius Prolegg. in Leptin. p. CLII., *πρός* Latine vertendum est adversus, quum *κατά* sit in. Quum ipsa oratio sit apologia, praepositio h. l. indicat repelli ea, quae a Simone reo culpae data erant. Num per eam etiam hoc indicetur, quod affirmatur in libro: der Attische Process. p. 167. s., accusationem nonnisi spectavisse non praestita fuisse, quae ex contractu praestanda erant, et hinc crimen exortum esse, equidem non decernam.

In exordio queritur orator de audacia Simonis, qui quum ipse inhumanus fuerit et agrestis, reum se agat de vi illata, quam passus non sit. Ob pudorem, pergit, aequo animo se injurias pertulisse, ne homines conscii fierent juvenilis suae levitatis, quam ita fatetur, ut judices bonam de reo opinionem concipere oporteat. Ambos ait Theodotum, adolescentulum Plataeensem, adamavisse. Simo, postquam cognovit adolescentem esse in domo rei, noctu ebrius irrupit in cubiculum mulierum, ubi puellae erant admodum modestae, eoque petulantiae progressus est, ut comites ipsi eum vi expulerint. Tum reum foras evocatum, simulatque exiverat, caedere aggreditur, dein lapidibus petit; sed ab reo aberrans, suorum comitum unius frontem lapide contundit. Reus, quem pudebat levitatis suae, cum adolescentulo peregre proficiscitur, ut et hujus injurias et ora hominum vitaret. Longum post tempus Athenas redit. Simo ubi rescierat Theodotum rediisse, insidiatur ei cum sociis, atque in reum, una cum Theodoto foras egressum, impetum facit. Adolescentulus pallio abjecto aufugit; reus alia via abit. Confugit adolescens in fullonium, unde illi, una irruentes, vi eum abripiunt. Quum jam esset pugna exorta inter Simonem et aliquos, qui adolescenti in auxilium accurrerant, obviam fit reus. In tumultu uniuscujusque caput contusum est. Simonis comites, quamprimum postea reum videbant, veniam orabant et excusabant se comissatione. *Πρόνοια* autem ab utraque parte nulla erat. Simonis autem improbitas et violentia etiam aliunde constat, imprimis quod Corinthi post expeditionem adversus Coroneam susceptam cum Lachete taxiarcho concertationem habebat eumque graviter verberabat; cuncta autem, quae in hac caussa acciderunt, satis demonstrant vim a Simonis parte esse profectam.

---

www.libtool.com.cn

1 Πολλὰ καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλή, οὐκ ἄν ποτ' αὐτὸν εἰς τοσοῦτο τόλμης ἡγησάμην ἀφικέσθαι, ὥςτε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων ὡς ἀδικούμενον ἔγκλημα ποιήσασθαι, καὶ οὕτω μέγαν καὶ σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλ-
2 θεῖν. εἰ μὲν οὖν ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώ-

Variantes lectiones etiam in hac oratione ex quinque codd. notatas inveni.

1. εἰς τοσοῦτο τόλμης] Bekkerus scripsit τοσοῦτο pro vulgato τοσοῦτον ex tribus codd. Si ad usum Lysiae attendamus, paucissimis locis exceptis, ubique legitur neutrum τοσοῦτον. Quid? quod B. semel pro vulgato τοσοῦτο ex optimo C. recepit τοσοῦτον κατ' Ἀλκ. Α. §. 2. p. 517. R. εἰς τοσοῦτον κακίας. κατ' Ἀνδ. §. 9. p. 202. R., ubi in omnibus edd. legitur εἰς τοσοῦτο δὲ τόλμης, duo Bekkeri MX habent τοσοῦτον. ib. §. 33. p. 230. ubi in ceteris editionibus legitur εἰς τοσοῦτον δὲ ἀναισχυντίας, Bekkerus nulla notata varietate scripsit τοσοῦτο. Infra §. 34. recte retinuit εἰς τοσοῦτον ἀμαθίας, quamquam τοσοῦτο habeant iidem tres libri.

1. ἔγκλημα ποιήσασθαι] Ἔγκλημα proprie est in caussis privatis libellus de injuria homini illata, non quae bona ejus spectat, sed personam. Nonnumquam, quamvis rarius, etiam in caussis publicis adhibetur, sed semper de crimine in personam commisso. Vocabulum, quod in caussis privatis libellum indicat omnis generis criminal complectentem, est λῆξις. Λῆξιν et ἔγκλημα ποιεῖσθαι est phrasis propria de eo, qui defert accusationem. Cf. der Attische Process. p. 594. ss.

οὕτω μέγαν καὶ σεμνὸν ὅρκον διομοσάμενον] Διομνύναι proprie duplex complectitur jusjurandum, quum actoris, tum rei. Bekkeri Anecdd. p. 409. l. 13. διωμοσία ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν διαδικαζομένων (i. e. τῶν φόνου ἀγῶνα διωκόντων ἢ φευγόντων), τοῦ μέν, ὡς πράξαντα διώκει, τοῦ δέ, ὡς οὐκ ἔπραξεν. Hic autem de actore adhibetur, cujus in caussis, in quibus is unus jurare debebat, dicebatur προωμοσία. Διομνύναι autem hic recte dicitur, quod jam etiam qui loquitur φεύγων, jurasse debuerat. cf. κατὰ Θεομν. §. 11. p. 351 s. R. Τὸν μέγαν καὶ σεμνὸν ὅρκον, ὃν Antiphon περὶ τοῦ Ἡ. φόνου p. 709. ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον appellat, exponit Demosth. κατὰ Ἀριστοκρ. p. 642. πρῶτον μὲν διομεῖται κατ' ἐξωλείας αὑτοῦ καὶ γένους καὶ οἰκίας ὅ τινα αἰτιώμενος εἰργάσθαι τι τοιοῦτον (φόνον) εἶτ' οὐδὲ τὸν τυχόντα τιν' ὅρκον, ἀλλ' ὃν οὐδεὶς ὄμνυσιν ὑπὲρ οὐδενὸς ἄλλου, στὰς ἐπὶ τῶν τομίων κάπρου καὶ κριοῦ καὶ ταύρου καὶ τούτων ἐσφαγμένων ὑφ' ὧν δεῖ καὶ ἐν αἷς ἡμέραις καθήκει, ὥςτε καὶ ἐκ τοῦ χρόνου καὶ ἐκ τῶν μεταχειριζομένων ἅπαν, ὅσον ἔσθ' ὅσιον, πεπρᾶχθαι.

εἰς ὑμᾶς ἐλθεῖν] Recte monet Bastius ad Gregor. Cor. p. 46. n.** oratoribus Graecis utrumque usitatum esse et ἐλθεῖν εἰς τὸ δικαστήριον et εἰςελθεῖν εἰς τὸ δικ. Demosth. κατὰ Ἀφόβου p. 813. εἰς δ' ὑμᾶς τοὺς οὐδὲν τῶν ἡμετέρων ἀκριβῶς ἐπισταμένους ἐλήλυθεν. Infra ὑπὲρ Πολυστρ. §. 14. p. 677. ἐλθὼν

www.libtool.com.cn

σεσθαι, σφόδρα ἂν ἐφοβούμην τὸν κίνδυνον, ὁρῶν,
ὅτι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίνονται,
ὥςτε πολλὰ καὶ παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύ-
ουσιν· εἰς ὑμᾶς δ' εἰςελθὼν, ἐλπίζω τῶν δι-
καίων τεύξεσθαι. μάλιστα δ' ἀγανακτῶ, ὦ βουλή, ὅτι 3
περὶ τῶν τραυμάτων εἰπεῖν ἀναγκασθήσομαι πρὸς ὑμᾶς,
ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος, εἰ μέλλοιεν πολλοί μοι συν-
είσεσθαι, ἠνεσχόμην ἀδικούμενος. ἐπειδὴ δὲ Σίμων
με εἰς τοιαύτην ἀνάγκην κατέστησεν, οὐδὲν ἀποκρυψά-
μενος, ἅπαντα διηγήσομαι πρὸς ὑμᾶς τὰ πεπραγμένα.
ἀξιῶ δέ, ὦ βουλή, εἰ μὲν ἀδικῶ, μηδεμιᾶς συγγνώμης 4
τυγχάνειν· ἐὰν δὲ περὶ τούτων ἀποδείξω, ὡς οὐκ ἔνο-
χός εἰμι οἷς Σίμων διωμόσατο, ἄλλως δὲ ὑμῖν φαίνωμαι
παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ ἀνοητότερον πρὸς τὸ
μειράκιον διατεθείς, αἰτοῦμαι ὑμᾶς μηδέν με χείρω
νομίζειν· εἰδότας, ὅτι ἐπιθυμῆσαι μὲν ἅπασιν ἀνθρώ-
ποις ἔνεστιν, οὗτος δὲ βέλτιστος ἂν εἴη καὶ σωφρονέ-
στατος, ὅςτις κοσμιώτατα τὰς συμφορὰς φέρειν δύνα-
ται. οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται Σίμων οὑ-

εἰς τὸ βουλευτήριον. §. 16. p. 679. εἰςελθὼν εἰς τὸ βουλευτήριον, ubi Marklandus ipse, qui nostro loco simplex tolerare nolebat, utrumque tolerandum esse agnoscit. Isaeus περὶ τοῦ Κλεων. κλ. 1. οὐδέποτ' ἤλθομεν ἐπὶ δικαστήριον.

2. κίνδυνος et vocabula conjugata sunt forensia; imprimis de reo, vel de actore, si periculum subit caussa cadens. Ita etiam Latini usurpant periculum. Cf. Ruhnken. ad Rutil. Lup. p. 27.

3. περὶ τῶν τραυμάτων] Articulum aut plane omitti aut ejus loco τοιούτων legi malim. [Fort. περὶ τῶν τοιούτων, omisso τραυμάτων. quod fortasse ex glossa natum. F. J.]

αἰσχυνόμενος εἰ] εἰ pro ὅτι post verba affectum animi denotantia. Rost. gr. Gr. §. 121. not. 3.

4. ἀδικῶ] i. q. ἠδίκηκα: quem frequentem hujus temporis in hoc et similibus usum esse docuit Heindorfius ad Plat. Protag. §. 4.

παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ] De hoc usu praepositionis παρά vide Casp. Orellium nostrum in Supplem. ad Aeschinem praefixo. Vol. II. nostrae editionis p. XXIII.

ὅςτις κοσμιώτατα τὰς συμφορὰς φέρειν δύναται] Per συμφοράς intelligit casus, qui accidere solent in amore: quales describit Terentius Eun. Act. I. Sc. 1.

injuriae,<br>
Suspiciones, inimicitiae, induciae,<br>
Bellum, pax rursum.

quem locum Cicero laudat in gravi sententia Tusc. IV. 35.

οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται Σίμων οὗτος] Nota ad-

www.libtool.com.cn

5 τος, ὡς ἐγὼ ὑμῖν ἐπιδείξω. Ἡμεῖς γὰρ ἐπεθυμήσαμεν,
ὦ βουλή, Θεοδότου, Πλαταϊκοῦ μειρακίου· καὶ ἐγὼ
μέν, εὖ ποιῶν αὐτόν, ἠξίουν εἶναί μοι φίλον· οὗτος
δὲ, ὑβρίζων καὶ παρανομῶν, ᾤετο ἀναγκάσειν αὐτὸν
ποιεῖν ὅ τι βούλοιτο. ὅσα μὲν οὖν ἐκεῖνος κακὰ ὑπ' αὐ-
τοῦ πέπονθε, πολὺ ἂν ἔργον εἴη λέγειν· ὅσα δὲ εἰς
ἐμὲ αὐτὸν ἐξημάρτηκεν, ἡγοῦμαι ταῦθ' ὑμῖν προςή-
6 κειν ἀκοῦσαι. πυθόμενος γάρ, ὅτι τὸ μειράκιον ἦν παρ' ἐ-
μοί, ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν ἐμὴν νύκτωρ μεθύων, ἐκ-
κόψας τὰς θύρας, εἰςῆλθεν εἰς τὴν γυναικωνῖτιν, ἔνδον
οὐσῶν τῆς τε ἀδελφῆς τῆς ἐμῆς καὶ τῶν ἀδελφιδῶν· αἳ
οὕτω κοσμίως βεβιώκασιν, ὥςτε καὶ ὑπὸ τῶν οἰκείων
7 ὁρώμεναι αἰσχύνεσθαι. οὗτος τοίνυν εἰς τοῦτο ἦλθεν
ὕβρεως, ὥςτ' οὐ πρότερον ἠθέλησεν ἀπελθεῖν, πρὶν
αὐτὸν ἡγούμενοι δεινὰ ποιεῖν οἱ παραγενόμενοι καὶ
οἱ μετ' αὐτοῦ ἐλθόντες, ἐπὶ παῖδας κόρας καὶ ὀρφα-
νὰς εἰςιόντα, ἐξήλασαν βίᾳ. καὶ τοσούτου ἐδέησεν
αὐτῷ μεταμελῆσαι τῶν ὑβρισμένων, ὥςτε, ἐξευρὼν οὗ
ἐδειπνοῦμεν, ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποί-
8 ησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. ἐκκαλέ-
σας γάρ με ἔνδοθεν, ἐπειδὴ τάχιστα ἐξῆλθον, εὐθύς
με τύπτειν ἐπεχείρησεν· ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην
ἐνστάς, ἔβαλλέ με λίθοις. καὶ ἐμοῦ μὲν ἁμαρτάνει,

jectivum πᾶς, ἅπας constructioni inseri, ubi nos adverbium ponimus omnino, prorsus. [Immo verba οἷς ἅπασι complectuntur virtutes modo nominatas, βέλτιστος, σωφρονέστατος, κοσμιώτατος, ut sit sensus: alle diese rühmlichen Eigenschaften zu bewähren hinderte mich dieser. V. C. F. R.]. Loquens concedit se non σωφρονέστατον aut κοσμιώτατον apparuisse.

5. *Πλαταϊκοῦ μειρακίου*] *Πλαταικός* frequentius esse quam *Πλαταϊκός* monet Lobeck ad Phryn. p. 41.

6. *ἐκκόψας τὰς θύρας*] supra de caed. Eratosth. §. 24. *ὤσαντες τὴν θύραν*, et infra §. 23. *τὰς θύρας ἐκβάλλων*. Haec omnia ejus sunt, qui effringit januam.

8. *ἐκκαλέσας*] *Εἰςκαλεῖν* et *ἐκκαλεῖν* sunt verba propria, illud introvocare e vestibulo, hoc foras evocare. Illustrat Valckenaer ad Theocriti Adoniaz. v. 43. T. II. p. 190. s. edit. Heind.

*ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην ἐνστάς*] Recte haec junxit Bekkerus. Sensus est: Quum ego me fortiter defenderem. *Ἐγστῆναι* de rebus vel hominibus dicitur, qui instant et urgent. Hinc de eo, qui se defendit, fortem animum et resistendi pertinaciam indicat. Taylor, qui conjiciens *ἐκστάς* et sequentibus

www.libtool.com.cn

Ἀριστόκριτον δέ, ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βα-
λὼν λίθῳ συντρίβει τὸ μέτωπον. ἐγὼ τοίνυν, ὦ βου- 9
λή, ἡγούμενος μὲν δεινὰ πάσχειν, αἰσχυνόμενος δὲ
(ὥσπερ ἤδη καὶ πρότερον εἶπον) τῇ συμφορᾷ, ἠνει-
χόμην, καὶ μᾶλλον ᾑρούμην μὴ λαβεῖν τούτων
τῶν ἁμαρτημάτων δίκην, ἢ δόξαι τοῖς πολίταις ἀ-
νόητος εἶναι, εἰδώς, ὅτι τῇ μὲν τούτου πονηρίᾳ
πρέποντα ἔσται τὰ πεπραγμένα, ἐμοῦ δὲ πολλοὶ κα-
ταγελάσονται τοιαῦτα πάσχοντος τῶν φθονεῖν εἰθι-
σμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρη-
στὸς εἶναι. οὕτω δὲ σφόδρα ἠπορούμην ὅ τι χρη- 10
σαίμην, ὦ βουλή, τῇ τούτου παρανομίᾳ, ὥστε ἔδοξέ
μοι κράτιστον εἶναι ἀποδημῆσαι ἐκ τῆς πόλεως. λα-
βὼν δὴ τὸ μειράκιον (ἅπαντα γὰρ δεῖ τἀληθῆ λέ-
γειν) ᾠχόμην ἐκ τῆς πόλεως. ἐπειδὴ δὲ ᾤμην ἱκανὸν
εἶναι τὸν χρόνον Σίμωνι ἐπιλαθέσθαι μὲν τοῦ νεανί-
σκου, μεταμελῆσαι δὲ τῶν πρότερον ἡμαρτημένων,
ἀφικνοῦμαι πάλιν. κἀγὼ μὲν ᾠχόμην ἐς Πειραιᾶ, 11
οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα τὸν Θεόδοτον
καὶ διατρίβοντα παρὰ Λυσιμάχῳ, ὃς ᾤκει πλησίον
τῆς οἰκίας ἧς οὗτος ἐμεμίσθωτο, παρεκάλεσέ τινας
τῶν τούτου ἐπιτηδείων. καὶ οὗτοι μὲν ἠρίστων καὶ

11. ἐς Πειραιᾶ] Bekkerus ex suis quinque pro vulgato εἰς. Codd. obsequendum erat, quamquam ceteroqui non legatur ἐς in Lysia, nisi in certis formulis, ut ἐς κόρακας.

jungens bene se de Lysia meruisse opinatur etiam Lectt. Lyss. c. 4, ab ingenio Lysiae aberravit. Ille enim non solet participia addere, quae ex notione verbi finiti sponte emanant; et gravius est indicari fortitudinem defendentis, quam qui ex ea ortus est aggredientis regressus.

ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ] Marklandus opinatur κατ' αὐτοῦ, contra illum, ut mihi opem ferret. Si ita locutus esset, facile suspicionem προνοίας movisset, quum opitulandi caussa hominem adfuisse affirmasset.

9. τῶν φθονεῖν εἰθισμένων] »Qui aegre ferre, irasci solent.« Sic interdum φθονεῖν: quod non ubique tolerarunt viri docti. κατὰ Πολ. p. 607. R. ὑπὲρ τῶν τοῦ Ν. ἀδ. §. 26. B. ἄξιον δὲ μάλιστα φθονῆσαι, ὅτι οὕτως οἱ τὰ τῆς πόλεως πράττοντες διάκεινται ὡς οὐχ, ὅ τι ἂν τῇ πόλει βέλτιστον ᾖ, τοῦτο οἱ ῥήτορες λέγουσιν, ἀλλ' ἀφ' ὧν ἂν κερδαίνειν μέλλωσι, τοῦτο ὑμεῖς ψηφίζεσθε. ubi Markland vult θαυμάσαι.

11. τῶν τούτου ἐπιτηδείων] Τοῦτον actorem spectat cum

www.libtool.com.cn

ἔπινον, φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους,
12 ἵν', ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰςαρπάσαιεν αὐτόν. ἐν
δὲ τούτῳ τῷ καιρῷ ἀφικνοῦμαι ἐγὼ ἐκ Πειραιῶς, καὶ
τρέπομαι παριὼν ὡς τὸν Λυσίμαχον· ὀλίγον δὲ χρόνον
διατρίψαντες, ἐξερχόμεθα ἤδη μεθύοντες. οὗτοι δ' ἐκ-
πηδῶσιν ἐφ' ἡμᾶς. καὶ οἱ μέν τινες αὐτῷ τῶν πα-

12. *ἐκ Πειραιῶς*] Sic scripsit Bekkerus ex solo C. Ceteri, ut editiones, habent *Πειραιέως*. Jam Taylor Lectt. Lys. c. 4. ex Atticistarum praeceptis probat *Πειραιῶς*, quam formam etiam F. A. Wolfius ad Demosth. Leptin. p. 229. solam pro Attica habet. Quum scribendi et pronuntiandi ratio, quae diversis aetatibus apud Graecos obtinuit, multis adhuc tenebris sit involuta, equidem optimos et antiquissimos codd. sequendos arbitror: quibus ducibus cognoscimus plerumque *Πειραιῶς* Lysiam scripsisse, nec omnino tamen abhorruisse a forma *Πειραιέως*. *κατ' Ἐρατοσθ*. §. 54. ubi vulgo *Πειραιῶς* legebatur, Bekkerus scripsit *Πειραιέως*, nulla varietate notata. Aliis locis dubia manet forma; ut nostro loco, sic *κατ' Ἀνδ*. §. 39. unus C. contractam habet formam, ceteri solutam. Alibi tamen idem hic optimus C. formam habet solutam, ubi ceteri contractam, v. c. *δημ. καταλ. ἀπολογ*. §. 28. p. 779. R. et ibi plus semel.

contemtu ex solemni oratorum usu. Multo languidius foret *αὐτοῦ*, quod Augerus de suo scripsit.

*ἐπὶ τοῦ τέγους*] Atticistae disputant, utrum *τέγος* an *στέγος* Atticis sit usitatum. Si codices attenderimus, observabimus optimos et antiquissimos *τέγος* praebere.

*εἰςαρπάσαιεν αὐτόν*] Nota *αὐτόν* genere mascul. adjectum, quum antecesserit *τὸ μειράκιον*. Determinationes saepius genus sequuntur naturae, non grammaticum. Eodem modo invenies infra §. 12. *ὁ δὲ ῥίψας*. et §. 35. *οὗτοι δὲ αὐτὸν ἐπεδίωκον*. cf. Rost. gr. Gr. §. 100. 4. d.

12. *ὀλίγον δὲ χρόνον διατρίψαντες ἐξερχόμεθα ἤδη μεθύοντες. οὗτοι δ' ἐκπηδῶσιν ἐφ' ἡμᾶς*] Quum non videatur loquens jam ebrius ex Piraeeo venisse, mira est appositio *ἤδη μεθύοντες* ad *ἐξερχόμεθα*, quia nonnisi *ὀλίγον χρόνον* in Lysimachi aedibus se commoratum esse affirmet: nisi forte arripuisse eum dicas cuncta, ut amoveret *προνοίας* suspicionem. Hinc Reiskius post *προςερχόμεθα* interpunxit, *ἤδη μεθύοντες* sequentibus jungens. Sed collocatio particulae *δέ* vix hoc patitur. Quapropter jam Schottus transpositione verborum locum curandum censuit: *οὗτοι δ' ἤδη μεθύοντες ἐκπηδῶσιν*: quod sine auctoritate dedit Auger. Quod si haec sententia restituenda, malim, puncto post *ἐξερχόμεθα* posito, delere *δέ*. Quum scilicet ex falsa interpunctione *ἤδη μεθύοντες* juncta essent antecedentibus, post *οὗτοι* additum est *δέ*, ut enuntiationis ratio appareret. Quum autem *ἤδη μεθύοντες* enuntiationem inchoet, asyndeton est, quod quomodo in Lysia adhibitum sit, uberius explicabo, si quando ad locum venerimus, quem contra codices tentarunt aut mutarunt viri docti.

www.libtool.com.cn

παραγενομένων οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, Σίμων δὲ οὑτοσὶ καὶ Θεόφιλος καὶ Πρώταρχος καὶ Αὐτοκλῆς εἷλκον τὸ μειράκιον. ὁ δὲ, ῥίψας τὸ ἱμάτιον, ᾤχετο φεύγων. ἐγὼ δὲ ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, 13
τούτους δ', ἐπειδὴ τάχιστα ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποτρέψεσθαι, ταῦτα διανοηθεὶς, ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών· οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα ταῦτα ὑπὸ τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον. καὶ ταῦτα μὲν, 14
δι' ἃ φησι Σίμων τὴν μάχην γενέσθαι, ἔνθα οὔτε τούτων οὔτε ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κεφαλὴν οὔτε ἄλλο κακὸν οὐδὲν ἔλαβεν, ὡς ἐγὼ τοὺς παραγενομένους ὑμῖν παρέξομαι μάρτυρας.

## ΜΑΡΤΥΡΙΑΙ.

Ὅτι μὲν τοίνυν οὗτος ἦν ὁ ἀδικήσας, ὦ βουλή, 15
καὶ ἐπιβουλεύσας ἡμῖν, καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν μειράκιον εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπεσόντες, ἦγον αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα καὶ μαρτυρόμενον. συνδραμόντων δὲ ἀνθρώπων 16

14. δι' ἃ φησι] Sic recte Bekkerus ex C. pro ceterorum lectione ἵνα φησί: unde viri docti se non poterant expedire. Sententia est: »et haec quidem sunt (non ea, quae ipse finxit), ob quae ista, quam appellavit pugnam, exorta est.«
ἔνθα οὔτε τούτων] Ἔνθα, quod vulgo deerat, Bekkerus addidit ex eodem codice.
ἔλαβεν] obtulerunt CO. In X est ἔλ^α. Vulgo ἔπαθεν.

13. ταῦτα διανοηθείς] Quum praecesserint complura membra, haec in progressu orationis per ταῦτα διανοηθείς aut similem formulam ἀσύνδετον complectuntur oratores Attici. Sic §. 18. ἐν τούτῳ τῷ θορύβῳ.

14. ὡς ἐγὼ — παρέξομαι μάρτυρας] Βραχυλόγως haec dicta significant: ὡς ἐγὼ ὑμῖν ταῦτ' ἀληθῆ λέγω, μάρτυρας παρέξομαι. Lenis quidem esset correctio ὧν, sed, opinor, non necessaria. [Sic accipio: καὶ ταῦτα μέν ἐστι, δι' ἃ κ. τ. λ. ὡς ἐγὼ ὑμῖν ἀποδείξω μάρτυρας παρέχων. F. J.]

15. μετὰ δὲ ταῦτα] Hic propriam suam vim habet post haec, nempe post eam, quam Simo appellavit pugnam.
γναφεῖον] Tradunt grammatici antiquos vocabulum per κ scripsisse, non per γ. Litem disceptavit Hemsterhusius ad Lucian. δίκη φωνηέντων c. 4.
καὶ μαρτυρόμενον] Et testantem, obtestantem. Frequentius sic etiam διαμαρτύρε-

www.libtool.com.cn

πολλῶν καὶ ἀγανακτούντων τῷ πράγματι καὶ δεινὰ φα-
σκόντων εἶναι τὰ γινόμενα, τῶν μὲν λεγομένων οὐδὲν
ἐφρόντιζον, Μόλωνα δὲ τὸν γναφέα καὶ ἄλλους τι-
17 νὰς ἐπαμύνειν ἐπιχειροῦντας συνέκοψαν. ἤδη δὲ αὐ-
τοῖς οὖσι παρὰ τὴν Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδί-
ζων ἐντυγχάνω. δεινὸν δὲ ἡγησάμενος εἶναι καὶ αἰ-
σχρὸν περιϊδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὑβρισθέντα
τὸν νεανίσκον, ἐπιλαμβάνομαι αὐτοῦ. οὗτοι δέ, διότι
μὲν τοιαῦτα παρηνόμουν εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν
εἰπεῖν ἐρωτηθέντες. ἀφέμενοι δὲ τοῦ νεανίσκου, ἔτυ-
18 πτον ἐμέ. μάχης δὲ γενομένης, ὦ βουλή, καὶ τοῦ
μειρακίου βάλλοντος αὐτοὺς καὶ περὶ τοῦ σώματος
ἀμυνομένου καὶ τούτων ἡμᾶς βαλλόντων, ἔτι δὲ τυ-
πτόντων αὐτὸν ὑπὸ τῆς μέθης, καὶ ἐμοῦ ἀμυνομένου
καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις ἡμῖν ἁπάν-
των ἐπικουρούντων, ἐν τούτῳ τῷ θορύβῳ συντριβό-
19 μεθα τὰς κεφαλὰς ἅπαντες. καὶ οἱ μὲν ἄλλοι οἱ μετὰ
τούτου παροινήσαντες, ἐπειδὴ τάχιστά με εἶδον μετὰ
ταῦτα, ἐδέοντό μου συγγνώμην ἔχειν, οὐχ ὡς ἀδικού-

16. *ἐπαμύνειν*] Hoc, quod Stephanus videtur ex codd. dedisse, pro *μεταμύνειν* ex tribus, quorum duo sunt optimi, restituit Bekkerus. Recte. Verbo *μεταμύνειν*, quod alibi non reperitur, Reiskius tribuit significationem p o n e c u r r e n d i, quod recte fieri dubito.

17. *Λάμπωνος*] Sic scripsit ex omnibus suis Bekkerus pro vulgato *Λάμπους* vel *Λαμποῦς*. Doniorum designationes a feminarum nominibus parum sunt usitatae.

σθαι vel *διαμαρτυρεῖσθαι* dicitur: de quo cf. ad Aeschinem in Ctes. c. 45.

16. *συνέκοψαν*] V e r b e r i b u s c o n t u d e r u n t. Verbum in ea re proprium.

17. *παρηνόμουν*] Cf. notam meam ad Aeschinem in Ctes. c. 23.

18. *ἔτι δὲ τυπτόντων αὐτὸν*] *Αὐτόν* positum videtur pro *ἐμαυτόν*, quod dederat Auger de suo. Sed alterum ex contextu idem significat, quoniam loquens pronomine *αὐτός* utitur de se, ut persona principe, et in qua res vertitur; praesertim quum sequatur *καὶ ἐμοῦ ἀμυνομένου*. [Neutiquam *αὐτόν* pro *ἐμαυτόν* positum hoc loco probaverim, praesertim quum proxime sequatur *ὑπὸ τῆς μέθης*, quo addito significatur Simonem cum sociis ebrios fecisse, quae sobrii haud facturi fuissent: nempe juvenem amatum Simoni verberibus petiisse. Ad *μειράκιον* igitur mihi referendum videtur *αὐτόν*. V. C. F. R.]

19. *παροινήσαντες*] Verbum proprium de iis, qui *ὕβρεις* committunt ex ebrietate, quas, si sobria mente fuissent, non commisissent. Spectat ad id, quod

www.libtool.com.cn

μενοι, ἀλλ' ὡς δεινὰ πεποιηκότες καὶ ἐξ ἐκείνου τοῦ χρόνου τεττάρων ἐτῶν παρεληλυθότων, οὐδέν μοι πώποτε ἐνεκάλεσεν οὐδείς. Σίμων δ' οὑτοσί, ὁ πάντων 20
τῶν κακῶν αἴτιος γενόμενος, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγε δεδιὼς περὶ αὑτοῦ· ἐπειδὴ δὲ δίκας ἰδίας ᾔσθετο κακῶς ἀγωνισάμενον ἐξ ἀντιδόσεως, καταφρονήσας μου, οὑτωσὶ τολμηρῶς εἰς τοιοῦτον ἀγῶνά με κατέστησεν. ὡς οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς παραγενομένους μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Τὰ μὲν οὖν γεγενημένα καὶ ἐμοῦ καὶ τῶν μαρ- 21
τύρων ἀκηκόατε. ἐβουλόμην δ' ἄν, ὦ βουλή, Σίμωνα τὴν αὐτὴν γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες τἀληθῆ ῥᾳδίως ἔγνωτε τὰ δίκαια. ἐπειδὴ δὲ αὐτῷ οὐδὲν μέλει τῶν ὅρκων ὧν διωμόσατο, πειράσομαι καὶ περὶ ὧν οὗτος ἔψευσται διδάσκειν ὑμᾶς. Ἐτόλμησε γὰρ εἰπεῖν, ὡς αὐτὸς μὲν τρι- 22
ακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ, συνθήκας πρὸς αὐτὸν ποιησάμενος, ἐγὼ δ' ἐπιβουλεύσας ἀπέστησα αὐτοῦ τὸ μειράκιον. καίτοι ἐχρῆν αὐτόν, εἴπερ ἦν

ante dictum est τυπτόντων ὑπὸ τῆς μέθης.

τεττάρων ἐτῶν παρεληλυθότων] Ex hoc loco cognoscimus γραφὴν τραύματος ἐκ προνοίας etiam quatuor annos post, quam vulnus inflictum erat, ad judicium deferri potuisse, ut accusatio per quinque annorum spatium non videatur evanuisse. Aliorum criminum tempus accusandorum lege erat per anni spatium constitutum. In alia oratione crimen cognoscemus, cujus accusatio semper patebat. Cf. der Attische Process p. 686. s.

20. ἐξ ἀντιδόσεως] Si quis designatus ad munus publicum praeteritum esse opulentiorem putabat, poterat, quemcunque vellet, nominare, ab eoque petere, ut aut ipse munus reciperet, aut secum facultates permutaret. Haec dicebatur ἀντίδοσις. Uberius eam explicarunt F. A. Wolfius Prolegg. ad Leptin. p. CXXIII ss. Boeckh. Staatshaush. T. II. p. 122. ss.

§. 21. ἵνα – ἔγνωτε] De Indicat. Praeteriti particulis finalibus conjuncto vid. Rost. gr. Gr. §. 122. 12.

22. συνθήκας πρὸς αὐτὸν ποιησάμενος] Habemus hic ἑταίρησιν κατὰ συνθήκας, cujus exemplum fingit Aeschines κατ. Τιμ. c. 66. ubi vide. In se infames erant ejusmodi συνθῆκαι. Hic autem actorem eo usque impudentiae processisse arguit reus, ut eas, quum factae non essent, tamen fingeret: quamquam fieri poterat, ut actorem factarum nonnisi puderet, quo minus ea via eas persequeretur, qua licebat legibus alius generis συνθήκας.

ταῦτ' ἀληθῆ, παρακαλέσαντα μάρτυρας ὡς πλείστους
23 κατὰ τοὺς νόμους διαπράττεσθαι περὶ αὐτῶν. οὗτος
δὲ τοιοῦτον οὐδὲν πώποτε φαίνεται ποιήσας, ὑβρί-
ζων δὲ καὶ τύπτων ἀμφοτέρους ἡμᾶς καὶ κωμάζων
καὶ τὰς θύρας ἐκβάλλων καὶ νύκτωρ εἰςιὼν ἐπὶ γυ-
ναῖκας ἐλευθέρας. ἃ χρὴ μάλιστα, ὦ βουλή, τεκμή-
24 ρια νομίζειν, ὅτι ψεύδεται πρὸς ὑμᾶς. σκέψασθε δὲ,
ὡς ἄπιστα εἴρηκε. τὴν γὰρ οὐσίαν τὴν ἑαυτοῦ ἅπα-
σαν πεντήκοντα καὶ διακοσίων δραχμῶν ἐτιμήσατο.
καίτοι θαυμαστὸν, εἰ τὴν ἑταιρήσοντα πλειόνων ἐμι-
25 σθώσατο ὧν αὐτὸς τυγχάνει κεκτημένος. εἰς τοῦτο
δ' ἥκει τόλμης, ὥςτε οὐκ ἐξαρκεῖ περὶ τούτου μόνον
αὐτῷ ψεύσασθαι, περὶ τοῦ δεδωκέναι τὸ ἀργύριον,
ἀλλὰ καὶ κεκομίσθαι φησί· καίτοι πῶς εἰκός ἐστι
τότε μὲν ἡμᾶς τοιαῦτα ἐξαμαρτάνειν, οἷα κατηγόρηκεν
οὗτος, ἀποστερῆσαι βουλομένους τὰς τριακοσίας δρα-
χμάς, ἐπειδὴ δὲ ἀπεμαχεσάμεθα, τηνικαῦτα ἀπο-
δοῦναι τὸ ἀργύριον αὐτῷ, μήτε ἀφειμένους τῶν
ἐγκλημάτων, μήτε ἀνάγκης ἡμῖν μηδεμιᾶς γενομέ-
26 νης; ἀλλὰ γάρ, ὦ βουλή, πάντα αὐτῷ ταῦτα σύγ-
κειται καὶ μεμηχάνηται. καὶ δοῦναι μέν φησιν, ἵνα
μὴ δοκῇ δεινὰ ποιεῖν, εἰ μηδενὸς αὐτῷ συμβολαίου
γεγενημένου τοιαῦτα ἐτόλμα ὑβρίζειν τὸ μειράκιον, ἀ-
πειληφέναι δὲ προςποιεῖται, διότι φανερός ἐστιν ἐγκα-

24. *ἐτιμήσατο*] Scilicet quum publice erant *εἰςφοραὶ* praestandae.

25. *κεκομίσθαι*] Drachmas trecentas a me ei restitutas esse.

*ἀφειμένους τῶν ἐγκλημάτων*] Nempe si quis injuriae illatae sibi conscius judicium timeret, reconciliare sibi laesum cupiens pecuniam ei sponte offerebat (*τίμημα*) sub ea conditione, ut desisteret ab actione forensi: cujus rei pactum per litteras consignabatur, *ἄφεσις τῶν ἐγκλημάτων*.

26. *σύγκειται καὶ μεμηχάνηται*] Callide et fraudulenter composita sunt. *κατ' Ἐρατοσθ.* §. 48. *τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰςαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ.*

*τοιαῦτα ἐτόλμα ὑβρίζειν τὸ μειράκιον*] Reiskius ait se malle *εἰς τὸ μειράκιον*, ut planius et mollius, non quod alterum in se sit damnandum. Immo si fides est Luciano Soloec. 10, nonnisi accusativus sine praepositione h. l. ponendus est. *τὸ μὲν σὲ ὑβρίζειν, τὸ σῶμά ἐστι τὸ σὸν, ἤτοι πληγαῖς ἢ δεσμοῖς ἢ καὶ ἄλλῳ τρόπῳ· τὸ δὲ εἰς σὲ, ὅταν εἴς τι τῶν σῶν γένηται ἡ ὕβρις.* cf. Rost. gr. Gr. §. 104. not. 2. Contra Mss. sane nihil tentandum.

www.tbtool.com.cn

λέσας οὐδέποτ' ἀργύριον, οὐδὲ μνείαν περὶ τούτου
οὐδεμίαν ποιησάμενος. Φησὶ δ' ἐπὶ ταῖς αὐτοῦ θύ- 27
ραις ὑπ' ἐμοῦ δεινῶς διατεθῆναι τυπτόμενος. φαίνεται
δὲ πλεῖον ἢ τέτταρα στάδια ἀπὸ τῆς οἰκίας διώξας τὸ
μειράκιον, οὐδὲν κακὸν ἔχων. καὶ ταῦτα πλέον ἢ δια-
κοσίων ἰδόντων ἀνθρώπων, ἔξαρνός ἐστι. Λέγει δ' ὡς 28
ἡμεῖς ἤλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τούτου ὄστρακον ἔχον-
τες, καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀποκτενεῖν, καὶ ὡς τοῦ-
τό ἐστιν ἡ πρόνοια. ἐγὼ δὲ ἡγοῦμαι, ὦ βουλή, ῥᾴ-
διον εἶναι γνῶναι, ὅτι ψεύδεται, οὐ μόνον ὑμῖν τοῖς
εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων, ἀλλὰ καὶ τοῖς
ἄλλοις ἅπασι. Τῷ γὰρ ἂν δόξειε πιστόν, ὡς ἐγὼ προ- 29
νοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον ἐπὶ τὴν Σίμωνος οἰ-
κίαν μεθ' ἡμέραν μετὰ τοῦ μειρακίου, τοσούτων ἀν-
θρώπων παρ' αὐτῷ συνειλεγμένων; εἰ μὴ εἰς τοῦτο μα-
νίας ἀφικόμην, ὥςτε ἐπιθυμεῖν εἷς ὢν πολλοῖς μάχε-
σθαι, ἄλλως τε καὶ εἰδώς, ὅτι ἀσμένως ἄν με εἶδεν
ἐπὶ ταῖς θύραις ταῖς αὐτοῦ, ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰ-
κίαν φοιτῶν εἰςῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς οὔτε τῶν
ἀδελφιδῶν φροντίσας, ζητεῖν με ἐτόλμα, καὶ ἐξευρὼν οὗ
δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με. καὶ τότε μὲν 30
ἄρα, ἵνα μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον, συμφορὰν
ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπειδὴ δὲ χρό-
νος διεγένετο, πάλιν (ὡς οὗτός φησιν) ἐπεθύμησα

ἐγκαλέσας — ἀργύριον] Ἐγκαλεῖν ἀργύριον est coram judicio pecuniam sibi vindicare vel ut debitam vel ut injuste detentam.

29. ὅτι ἀσμένως ἄν με εἶδεν] Taylor mavult ἄσμενος tamquam Ἀττικώτερον, nec negari potest Atticos saepe adjectivum ἄσμενος ponere, ubi vulgaris lingua ponat adverbium, atque in codicum varietate facile praeferam adjectivum, sed contra codd. adverbium non tentaverim. Haud raro enim apud optimos scriptores etiam adverbium legitur. κατ' Ἀγορ. §. 11. νομίζων, εἰ διαθείη ὑμᾶς ἀπόρως, ὥςπερ διέθηκεν, ἀσμένως ὁποιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. Ἀπολ. δωροδοκ. §. 18. p. 706. R. ἢ ὡς τὰς τῆς πόλεως συμφορὰς ἀσμένως εἶδον.

30. ἵνα μὴ περιβόητος εἴην] Apud scriptores Atticos vix alia ac mala significatione περιβόητος usurpatur: quod vel ex contextu vel ex additis aliis epithetis patet, ut αἰσχρός cet. Apud recentiores adhibetur etiam bona. De recentioribus igitur accipiendum, quod affirmat Victorius Varr. Lectt. L. VIII. 10., vocabulum esse μέσον.

www.libtool.com.cn

31 περιβόητος γενέσθαι; καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ
μειράκιον, εἶχεν ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ, ὡς
ἄρ' ἐγὼ διὰ τὴν ἐπιθυμίαν ἠναγκαζόμην ἀνοητότερόν
τι ποιεῖν τῶν εἰκότων· νῦν δὲ τούτῳ μὲν οὐδὲ διελέ-
γετο, ἀλλ' ἐμίσει πάντων ἀνθρώπων μάλιστα, παρ' ἐ-
32 μοὶ δὲ ἐτύγχανε διαιτώμενον. ὥςτε τῷ ὑμῶν πιστὸν,
ὡς ἐγὼ πρότερον μὲν ἐξέπλευσα ἐκ τῆς πόλεως ἔχων τὸ
μειράκιον, ἵνα μὴ τούτῳ μαχοίμην, ἐπειδὴ δὲ ἀφικό-
μην, πάλιν ἦγον αὐτὸν ἐπὶ τὴν οἰκίαν τὴν Σίμωνος,
33 οὗ πλεῖστα ἔμελλον πράγματα ἕξειν; καὶ ἐπεβούλευον
μὲν αὐτῷ, οὕτω δὲ ἦλθον ἀπαράσκευος, ὥςτε μήτε φί-
λους, μήτε οἰκέτας, μήτε ἄλλον ἄνθρωπον παρακαλέσαι
μηδένα, εἰ μὴ τοῦτό γε τὸ παιδίον, ὃ ἐπικουρῆσαι μὲν
μοι οὐκ ἂν ἠδύνατο, μηνῦσαι δὲ ἱκανὸν ἦν βασανι-
34 ζόμενον, εἴ τι ἐγὼ ἐξημάρτανον. ἀλλ' εἰς τοσοῦτον ἀμα-
θίας ἀφικόμην, ὥςτε ἐπιβουλεύων Σίμωνι, οὐκ ἐτήρησα
αὐτὸν οὗ μόνον οἷόν τε ἦν λαβεῖν, ἢ νύκτωρ ἢ μεθ' ἡμέ-
ραν, ἀλλ' ἐνταῦθα ἦλθον, οὗ αὐτὸς ἔμελλον ὑπὸ πλείστων
ὀφθήσεσθαί τε καὶ συγκοπήσεσθαι, ὥςπερ κατ' ἐμαυ-
τοῦ τὴν πρόνοιαν ἐξευρίσκων, ἵν' ὡς μάλιστα ὑπὸ [τῶν
35 ἐχθρῶν ὑβρισθείην. Ἔτι τοίνυν, ὦ βουλή, καὶ ἐκ τῆς μάχης
τῆς γενομένης ῥᾴδιον γνῶναι, ὅτι ψεύδεται. τὸ γὰρ μει-
ράκιον ὡς ἔγνω, ῥίψαν θοἰμάτιον, φεῦγον ᾤχετο· οὐ-

33. *τοῦτό γε τὸ παιδίον*] Est rhetorica emphasis notione deminuta. Nam ubique juvenis nominatur *τὸ μειράκιον* vel *ὁ νεανίσκος*.

*μηνῦσαι δὲ ἱκανὸν ἦν βασανιζόμενον*] In laqueos se ipse innectit Reiskius, concludens ex hoc loco servum fuisse Theodotum; ingenuos enim tormentis non fuisse obnoxios. Constat, addit, Plataeenses civitate Attica fuisse donatos. Addere poterat cives Athenienses nonnisi psephismatis permissu licuisse *βασανίζεσθαι*. Non autem omnes Plataeenses civitatis jure usos esse, nec semper uti potuisse, apparet ex Hippocratis psephismate *περὶ Πλαταιέων*, quod servatum est in oratione Demosthenica *κατὰ Νεαίρ*. p. 1380. s. Ingenui autem, qui non erant cives, in gravibus caussis auctoritate *ἡγεμονίας δικαστηρίου* tormentis erant obnoxii. Cf. der Attische Process. p. 684 ss.

34. *ὥςπερ κατ' ἐμαυτοῦ τὴν πρόνοιαν ἐξευρίσκων*] Ut si ipse diligenter id cogitassem, ut contra me fierent *ὕβρεις*. Taylor sententiae subtilitatem non intellexit. Non solum nullum ait in sua se gerendi ratione vestigium esse *προνοίας κατ' ἄλλον*, i. e. *πρὸς τὸ ὑβρίζειν ἄλλον*, verum *προνοίας* potius *καθ' ἑαυτοῦ*.

www.libtool.com.cn

τοι δὲ αὐτὸν ἐπεδίωκον· ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν ᾠχόμην. Καίτοι, ποτέρους χρῆν αἰτίους τῶν γεγενη- 36
μένων εἶναι νομίζειν; τοὺς φεύγοντας, ἢ τοὺς ζητοῦντας καταλαβεῖν; ἐγὼ μὲν γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον, ὅτι φεύγουσι μὲν οἱ περὶ αὑτῶν δεδιότες, διώκουσι δὲ οἱ βουλόμενοί τι ποιῆσαι κακόν. οὐ τοίνυν 37
ταῦτα μὲν εἰκότα, ἄλλως δὲ παρ' αὐτῶν πέπρακται, ἀλλὰ καταλαβόντες τὸ μειράκιον, ἐκ τῆς ὁδοῦ ἦγον βίᾳ, ἐντυχὼν δ' ἐγὼ τούτων μὲν οὐχ ἡπτόμην, τοῦ μειρακίου δ' ἐπελαμβανόμην. οὗτοι δὲ ἐκεῖνόν τε ἦγον βίᾳ, καὶ ἐμὲ ἔτυπτον. καὶ ταῦθ' ὑμῖν ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. ὥςτε δεινὸν, εἰ περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ ὧν οὗτοι τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πεποιηκότες. τί δ' ἂν 38
ποτε ἔπαθον, εἰ τἀναντία τῶν νῦν γεγενημένων ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγὼ, ἀπαντήσας Σίμωνι, ἐμαχόμην αὐτῷ καὶ ἔτυπτον αὐτὸν καὶ ἐδίωκον, καὶ καταλαβὼν ἄγειν βίᾳ ἐζήτουν· ὅπου νῦν, τούτου ταῦτα πεποιηκότος, ἐγὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα, ἐν ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ ἁπάσης κινδυνεύω; Τὸ δὲ μέγιστον 39
καὶ περιφανέστατον πάντων· ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ, ὥς φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψασθαι εἰς ὑμᾶς. καὶ οἱ μὲν ἄλλοι,

38. καὶ ἐδίωκον] Reiskius addere vult τὸ μειράκιον, ne verbum a minus attento referatur ad Simonem. Sed in primis Lysias attentos sibi et auditores et lectores cogitabat. Hinc quum in universum dixisset: εἰ τἀναντία τῶν νῦν γεγενημένων ἦν, existimabat, si breviter momenta notaret, neminem fore tam parum attentum, ut ea perperam intelligeret.

ἐν ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ ἁπάσης κινδυνεύω] Notandum, quod, quamquam lex jubeat eum, qui quem occidendi consilio vulneraverit nec tamen occiderit, φονέα εἶναι, leviore tamen eum poena afficiat, quam ipsum homicidam. Apparet enim ex nostro loco et ex Demosthene κατὰ Βοιωτ. p. 1018. poenam ei exsilii et bonorum publicationem impositam esse. Cf. Meursius Themis Att. I. c. 16.

39. ἐπισκήψασθαι εἰς ὑμᾶς] Ἐπισκήψασθαι hic inter varias, quas habet Harpocration s. v. ἐπεσκήψατο significationes, notat ἐγκαλέσαι φόνον, vel h. l. τραύματος ἐκ προνοίας. Persona, quae accusatur, ponitur in dativo, judices autem, apud quos accusatio fit, in accusativo cum εἰς.

www.libtool.com.cn

ὅταν ἐρῶσι καὶ ἀποστερῶνται ὧν ἐπιθυμοῦσι καὶ συγκοπῶσιν, ὀργιζόμενοι παραχρῆμα τιμωρεῖσθαι ζητοῦσιν, οὗτος δὲ χρόνοις ὕστερον.
40 Ὅτι μὲν οὖν, ὦ βουλή, οὐδενός αἴτιός εἰμι τῶν γεγενημένων, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω. οὕτω δὲ διάκειμαι πρὸς τὰς ἐκ τῶν τοιούτων πραγμάτων διαφορὰς, ὥστε καὶ ἄλλα πολλὰ ὑβρισμένος ὑπὸ Σίμωνος, καὶ καταγεὶς τὴν κεφαλὴν ὑπ' αὐτοῦ, οὐκ ἐτόλμησα αὐτῷ ἐπισκήψασθαι, ἡγούμενος δεινὸν εἶναι, εἰ ἄρα περὶ παιδικῶν ἐφιλονεικήσαμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου ἕνεκα ἐξε-
41 λάσαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. ἔπειτα δὲ καὶ οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος, ὅστις μὴ ἀποκτεῖναι βουλόμενος ἔτρωσε. τίς γὰρ οὕτως ἐστὶν εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται, ὅπως ἕλκος τις
42 αὐτοῦ τῶν ἐχθρῶν λήψεται; Ἀλλὰ δῆλον, ὅτι καὶ οἱ τοὺς νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον ἀλλήλων κατεάξαντες τὰς κεφαλάς, ἐπὶ τούτοις ἠξίωσαν τῆς πατρίδος φυγὴν ποιήσασθαι (ἢ πολλούς γ' ἂν ἐξήλασαν), ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἠδυνήθησαν, περὶ τῶν τοιούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο, ἡγούμενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι· εἰ δὲ μὴ κατέσχον, οὐδὲν ἧττον τό γε ἐκεί-

40. καταγεὶς] Quod recentiores ex conjectura Taylori receperunt κατεαγείς, nullo confirmatur codice. In re tam dubia et dissentientibus jam antiquis Grammaticis codd. sequendi sunt. Paullo post §. 42. libri omnes offerunt κατεάξαντες: quod quamquam sit anomalum, contra libros tamen ejicere non ausim, ut contra libros anomalum κατεαγείς invehere nolim. Istiusmodi deliciis seriores delectantur.

τούτου ἕνεκα ἐξελάσαι] vulgo ἕνεκεν. Vide Exc. VI.

§. 40. οὐκ ἐτόλμησα αὐτῷ ἐπισκήψασθαι. Pollux VIII. 33. Ἰσαῖος καὶ τὸ ἐπὶ φόνῳ προειπεῖν εἰς Ἄρειον πάγον ἐπισκῆψαι (dicendum ἐπισκήψασθαι) ἔφη· εἰς Ἄρειον πάγον αὐτῷ ἐπέσκημμαι.

42. ὑπὲρ ὧν ἐβούλευσαν] Βουλεύειν h. l. verbum forense de eo, qui aliquod meditatus est fa-

νων πεποιῆσθαι. καὶ ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωτε περὶ τῆς προνοίας. καὶ 43 γὰρ δεινὸν ἂν εἴη, εἰ ὅσοι ἐκ μέθης καὶ φιλονεικίας, ἢ ἐκ παιδικῶν, ἢ ἐκ λοιδορίας, ἢ περὶ ἑταίρας μαχόμενοι ἕλκος ἔλαβον, ἢ ὑπὲρ τούτων, ὧν, ἐπειδὰν βέλτιον φρονήσωσιν, ἅπασι μεταμέλει, οὕτως ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιήσεσθε, ὥςτε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πατρίδος. Θαυμάζω 44 δὲ μάλιστα τούτου τῆς διανοίας. οὐ γὰρ τοῦ αὐτοῦ μοι δοκεῖ εἶναι ἐρᾶν τε καὶ συκοφαντεῖν· ἀλλὰ τὸ μὲν τῶν εὐηθεστέρων, τὸ δὲ τῶν πανουργοτάτων. ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων ἐπιδεῖξαι τὴν τούτου πονηρίαν, ἵνα ἐπίστησθε,

42. *οὐδὲν ἧττον τό γ' ἐκείνων πεποιῆσθαι*] Vulgo *ἐπ' ἐκείνων*. *ἐπί* delevit Bekkerus auctoritate codd. C O, quibus praeiverat Vind. Recte. Vere enim monuit Reiskius praepositioni hac significatione (penes) addendum fuisse dativum, vel etiam accusativum.

43. *καὶ γὰρ δεινὸν ἂν εἴη*] *Ἂν* addidit Bekkerus ex C. et marg. M. De addendo *ἂν* nunquam incertus eram; incertus eram de collocatione. Tandem mecum constitueram: *καὶ γὰρ ἂν δεινὸν εἴη*. Nunc autem codd. sequor, et existimo *δεινόν* melius praeponi, ut vim habeat. Paucis similibus locis, in quibus *ἂν* adhuc deerat, ex codd. particula restituta est. *ὑπὲρ τῶν Ἀριστοφ.* §. 31. p. 633. R. *ἀλλ' οὐδὲ οἱ πάνυ πλούσιοι δοκοῦντες εἶναι, ἄξιον λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν*. *ἄν*, quod vulgo deerat, accessit ex C. X habet *ἔχοι ἄν*. *Ἀπολογ. δωροδ.* §. 18. p. 706. R. vulgo sic legebatur *τοῦτό γε εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας ἐκ τῶν ὑμετέρων ὠφέλημαι*. Locum corruptum esse intellexerunt viri docti. Proxime ad veritatem conjectura accessit Markland: *τοῦτό γ' εἰπεῖν οὐκ ἂν ἔχοι τις*. Verum restituit Bekkerus ex C *τοῦτο δ' οὐκ ἂν εἰπεῖν ἔχοι τις*.

*ποιήσεσθε*] Reiskius de suo dederat *ποιήσαισθε*. Reiskium, qui plus semel in hac constructione errabat, in viam reduxit Jacobs Additt. Animadvv. in Athen. p. 29 s. et hic quidem lectionem codd. Bekkerus vere restituit. Quum tamen etiamnum sint loci, in quibus resideat opinio Reiskiana, usum Lysiae illustrabo in Exc. VII., quem consulas.

cinus, sive perpetrare id potuit, sive minus.

44. *θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας*] Reiskius suspicabatur *τοῦτον*: perperam. *Τούτου* pendet ex *τῆς διανοίας*, et genitivus rectus ab alio nomine saepe regenti praepositus est, si primariam vim habet. In *τούτου* inest contemtus. Hac significatione mirandi potius construeretur cum genitivo personae et accusativo rei.

www.fbtool.com.cn

ὅτι πολὺ ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο, ἢ ἑτέρους ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη.
45 τὰ μὲν οὖν ἄλλα ἐάσω· ὃ δ' ἡγοῦμαι ὑμῖν προςήκειν ἀκοῦσαι, καὶ τεκμήριον ἔσεσθαι τῆς τούτου θρασύτητος καὶ τόλμης, περὶ τούτου μνησθήσομαι. ἐν Κορίνθῳ γάρ, ἐπειδὴ ὕστερον ἦλθε τῆς πρὸς τοὺς πολεμίους μάχης καὶ τῆς εἰς Κορώνειαν στρατείας, ἐμάχετο τῷ ταξιάρχῳ Λάχητι καὶ ἔτυπτεν αὐτόν, καὶ πανστρατιᾷ τῶν πολιτῶν ἐξελθόντων, δόξας ἀκοσμιώτατος εἶναι καὶ πονηρότατος, μόνος Ἀθηναίων ὑπὸ
46 τῶν στρατηγῶν ἐξεκηρύχθη. Ἔχοιμι δ' ἂν καὶ ἄλλα πολλὰ εἰπεῖν περὶ τούτου, ἀλλ' ἐπειδὴ παρ' ὑμῖν οὐ νόμιμόν ἐστιν ἔξω τοῦ πράγματος λέγειν, ἐκεῖνο ἐνθυμεῖσθε· οὗτοί εἰσιν οἱ βίᾳ εἰς τὴν ἡμετέραν οἰκίαν εἰςιόντες, οὗτοι οἱ διώκοντες, οὗτοι οἱ βίᾳ ἐκ τῆς
47 ὁδοῦ συναρπάζοντες ἡμᾶς. ὧν ὑμεῖς μεμνημένοι, τὰ δίκαια ψηφίζεσθε, καὶ μή με περιΐδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα, ὑπὲρ ἧς ἐγὼ πολλοὺς κινδύνους κεκινδύνευκα, καὶ πολλὰς λειτουργίας λελειτούργηκα· καὶ κακοῦ μὲν αὐτῇ οὐδενὸς αἴτιος γεγένημαι, οὐδὲ τῶν ἐμῶν προγόνων οὐδείς, ἀγαθῶν δὲ πολλῶν.
48 ὥςτε δικαίως ἂν ὑφ' ὑμῶν καὶ ὑπὸ τῶν ἄλλων ἐλεη-

45. *ἐν Κορίνθῳ γὰρ*] Quae tangit, acciderunt Ol. XCVI. 3. Cf. Xenophontis Agesil. c. 11.

*πανστρατιᾷ*] Magis hoc bonis scriptoribus usitatum fuisse quam *πανστρατί*, docuit Lobeck in Parergis post Phryn. p. 515. not.

46. *παρ' ὑμῖν*] Pollux VIII. 117. inter alia de Areopago dicit: *παροιμιάζεσθαι δὲ οὐκ ἐξῆν οὐδ' οἰκτίζεσθαι.* Morem accurate describit Lucianus in Anachars. c. 19. *ἔςτ' ἂν μὲν οἱ ῥήτορες περὶ τοῦ πράγματος λέγωσιν, ἀνέχεται ἡ βουλή, καθ' ἡσυχίαν ακούουσα. ἢν δέ τις ἢ φροίμιον εἴπῃ πρὸ τοῦ λόγου, ὡς εὐνουστέρους ἀπεργάσαιτο αὐτούς, ἢ οἶκτον ἢ δείνωσιν ἔξωθεν ἐπάγῃ τῷ πράγματι (οἷα πολλὰ ῥητόρων παῖδες ἐπὶ τοὺς δικαστὰς μηχανῶνται) παρελθὼν ὁ κῆρυξ κατεσιώπησεν αὐτούς, οὐκ ἐῶν ληρεῖν πρὸς τὴν βουλὴν καὶ περιπέττειν τὸ πρᾶγμα ἐν τοῖς λόγοις, ὡς γυμνὰ τὰ γεγενημένα οἱ Ἀρεοπαγῖται βλέποιεν.*

48. *ὥςτε δικαίως ἂν ἐλεηθείην, οὐ μόνον εἴ τι πάθοιμι ὧν Σίμων βούλεται*] Wakefield Sylvv. Critt. P. IV. p. 242. conjicit *οὐ μόνον ὡς μή τι πάθοιμι* vel *εἰς τὸ μὴ παθεῖν τι.* Sed ab ingenio et ratione Lysiae aberravit. Nam ex conjectura Wakefieldii Lysias misericordiam commovere voluisset, ne ea pateretur, quae Simo intendebat: quod lege Areopagitica vetitum erat. Ly-

θείην, οὐ μόνον εἴ τι πάθοιμι ὧν Σίμων βούλεται, ἀλλὰ καὶ ὅτι ἠναγκάσθην ἐκ τοιούτων πραγμάτων εἰς τοιούτους ἀγῶνας καταστῆναι.

www.libtool.com.cn

---

# ΛΥΣΙΟΥ

## ΥΠΕΡ ΚΑΛΛΙΟΥ ΙΕΡΟΣΥΛΙΑΣ ΑΠΟΛΟΓΙΑ.

---

### PROOEMIUM.

*Ἱεροσυλία*, **sacrilegium**, duobus modis in judicium deferri poterat. Aut enim respiciebatur violatio templi, et tum instituebatur γραφὴ ἀσεβείας; aut rapina rei sacrae, et tum erat γραφὴ κλοπῆς. Prior γραφὴ ad archontem βασιλέα deferebatur et judicium erat Ἄρειος πάγος; altera pertinebat ad undecimviros, τοὺς ἕνδεκα, et Thesmothetarum collegium; illa gravior, haec mitior. **Callias**, non dives ille, sed μέτοικος, **inquilinus**, **Beisass** (cf. F. A. **Wolf**. ad Demosth. Leptin. LXVII sqq.), et, ut videmus ex vocabulis πολλῶν συμβολαίων ἡμῖν πρὸς ἀλλήλους γεγενημένων, mercaturam exercens, ἱεροσυλίας accusatus erat apud βασιλέα, et quae sequitur Lysiae oratio, habita est coram **Areopago**.

**Deuterologia** vocatur a Tayloro, quem Reiskius propterea vituperat. Deuterologiam enim esse, quum reus idem ad actoris secundam actionem respondeat, hanc autem orationem esse advocati Calliam reum defendentis; hanc autem posteriorem defensionem Taylorum commiscuisse cum intercessione amici ad patrocinandum advocati. Sed deuterologiae vocabulum ea significatione, quam Taylor ei tribuit, usurpatam fuisse patet ex iis, quae F. A. **Wolfius** habet in Prolegg. ad Demosth. Leptin. p. XLVIII sqq., qui recte monet huic generi summam brevitatem propositam fuisse, ut nonnunquam, si quis rem ab omni parte illustratam putaret, nudo epilogo defungeretur. Talis haec est Lysiae oratiuncula. Caussa συνηγορίας erat amicitia in reum, certaque de ejus probitate et fide persuasio.

Servi sunt μηνυταί, i. e. indicant herum ἱεροσυλίαν commisisse. Servis enim licebat ἱεροσυλίας crimen indicare tum heri, ut ex nostra oratione patet, tum aliorum, ut patet ex Andocide

sius autem nonnisi hoc dicit, futurum fore, ut misericordia commoverentur omnes, si tale quid pateretur: quae subtilis est et vere rhetorica sententiae conformatio.

de Myst. p. 6. 8. et aliis locis. Sed quoniam, si reus hoc indicio noxius esse convinceretur, servi libertate donabantur, quam iis contigisse, etiam quum ipsi sceleris participes essent, apparet ex apol. ὑπὲρ σηκοῦ §. 16., et noster in hac oratione monet servorum indicio diffidendum esse, et praemii sperati cupiditas docet.

www.libtool.com.cn

---

1 Εἰ μὲν περὶ ἄλλου τινὸς ἢ τοῦ σώματος, ὦ ἄνδρες δικασταί, Καλλίας ἠγωνίζετο, ἐξήρκει ἂν μοι καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα. νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι, κελεύοντος καὶ δεομένου, καὶ φίλου ὄντος καὶ ἐμοὶ καὶ (ἕως ἔζη) τῷ πατρί, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς ἀλλήλους γεγενημένων, μὴ βοη-
2 θῆσαι Καλλίᾳ τὰ δίκαια, ὅπως ἂν δύνωμαι. ἐνόμιζον μὲν οὖν οὕτω μετοικεῖν αὐτὸν ἐν ταύτῃ τῇ πόλει, ὥστε πολὺ πρότερον ἀγαθοῦ τινος τεύξεσθαι παρ' ἡμῶν ἢ ἐπὶ τοιαύταις αἰτίαις εἰς τοσοῦτον κίνδυνον

2. παρ' ἡμῶν] Sic Bekkerus, nulla notata varietate pro vulgato παρ' ὑμῶν. Qui hanc δευτερολογίαν pronuntiabat, erat civis Atheniensis, isque prima persona apte utitur, populum Atheniensem complectens, non judices solos intelligens. §. 3. secundam quidem adhibet personam.

1. εἰ – περὶ ἄλλου τινὸς ἢ τοῦ σώματος – ἠγωνίζετο] Ἀγὼν περὶ τοῦ σώματος est caussa capitis, in qua agitur vel de vita, vel de patria, vel de libertate. Hinc etiam paullo post apte τοσοῦτον κίνδυνον, in quo agitur de summis hominis bonis. Diodor. Sic. XVI. 25. παρὰ πᾶσι τοῖς Ἕλλησι κοινὸς νόμος ἐστὶν ἀτάφους ῥίπτεσθαι τοὺς ἱεροσύλους: ubi vide Wesselingium.

κελεύοντος καὶ δεομένου] Multa verba, quae graviorem proprie notionem habent, mitius saepe ex contextu pro temporis, loci, hominis ratione intelligenda sunt. Sic κελεύειν h. l. non est jubentis, sed enixe flagitantis. κατὰ Ἀλκιβ. Α. §. 22. ἐὰν δὲ μηδὲν ἔχοντες δίκαιον κελεύωσιν αὐτῷ [μὴ] ὀργίζεσθαι. »sin autem, quamvis eum a crimine purgare non possint, enixe tamen petant, ne ei irascamini.« Sic κατ' Ἐρατοσθ. §. 71. Lysias ait de Theramene: μετεπέμψατο τὰς μετὰ Λυσάνδρου ναῦς, ubi Reiskius nimium erat curiosus, opinans singularem locum non habere, quoniam Theramini jus et potestas in Lysandrum non fuerit, proinde etiam illum arcessere non potuerit. Sed vult Lysias Lysandrum precibus a Theramene arcessitum, quibus ille facile persuadebatur.

ὅπως ἂν δύνωμαι] Est formula modesta ejus, qui quamvis affirmet pro viribus quam optime se rem esse facturum, significat tamen vires suas tantas non esse, quantas optet.

www.libtool.com.cn

καταστήσεσθαι· νῦν δὲ οἱ ἐπιβουλεύοντες οὐχ ἧττον
ἐπικίνδυνον ποιοῦσι τὸν βίον τοῖς μηδὲν ἀδικοῦσιν,
ἢ τοῖς πολλῶν κακῶν αἰτίοις οὖσιν. ὑμᾶς δὲ ἄξιον 3
μὴ τοὺς μὲν τῶν θεραπόντων λόγους πιστοὺς νομί-
ζειν, τοὺς δὲ τούτων ἀπίστους, ἐνθυμουμένους, ὅτι
Καλλίᾳ μὲν οὐδεὶς πώποτε οὔτ' ἰδιώτης ἐνεκάλεσεν,
οὔτε ἄρχων· οἰκῶν δ' ἐν ταύτῃ τῇ πόλει, πολλὰ μὲν
ἀγαθὰ ὑμᾶς ἐποίησεν, οὐδεμίαν δὲ σχὼν αἰτίαν εἰς
τοῦτο τῆς ἡλικίας ἀφῖκται· οὗτοι δὲ ἐν ἅπαντι τῷ
βίῳ μεγάλα ἡμαρτηκότες καὶ πολλῶν κακῶν πεπειρα-
μένοι, ὥσπερ ἀγαθοῦ τινος αἴτιοι γεγενημένοι, περὶ
ἐλευθερίας νυνὶ ποιοῦνται τοὺς λόγους. καὶ οὐ θαυ- 4
μάζω. ἴσασι γάρ, ὅτι, ἂν ψευδόμενοι ἐλεγχθῶσιν,
οὐδὲν μεῖζον τῶν ὑπαρχόντων πείσονται· ἐὰν δὲ ὑμᾶς
ἐξαπατήσωσι, τῶν παρόντων κακῶν ἔσονται ἀπηλλα-
γμένοι. καίτοι τοὺς τοιούτους οὔτε κατηγόρους, οὔτε
μάρτυρας πιστοὺς χρὴ νομίζειν εἶναι, οἵτινες αὐτοὶ
μεγάλα κερδαίνοντες περὶ ἑτέρων ποιοῦνται τοὺς λό-
γους· ἀλλὰ πολὺ μᾶλλον ὅσοι τῷ δημοσίῳ βοηθοῦντες,
εἰς κινδύνους σφᾶς αὐτοὺς καθιστᾶσιν. ἄξιον δέ μοι 5
δοκεῖ εἶναι οὐ τούτων ἴδιον ἡγεῖσθαι τὸν ἀγῶνα, ἀλλὰ
κοινὸν ἁπάντων τῶν ἐν τῇ πόλει. οὐ γὰρ τούτοις μό-
νοις εἰσὶ θεράποντες, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ
πρὸς τὴν τούτων τύχην ἀποβλέποντες, οὐκέτι σκέ-

3. *εἰς τοῦτο τῆς ἡλικίας*] Fuerunt Grammatici, qui affirmarent in hac constructione Atticos articulum substantivo non addidisse. Eos tamen errasse satis docent ea, quae habet Lobeck ad Phrynich. p. 276 ss. Raro autem articulum eos addidisse negari non potest.

4. *ἔσονται ἀπηλλαγμένοι*] [Futur. exact. pro futur. simplici. cf. Rost. gr. Gr. §. 116. not. 8. V. C. F. R.].

*μεγάλα κερδαίνοντες*] Marklandus, quia finis exprimitur, scribendum censet *κερδανοῦντες*. Quod si etiam Reiskii animadversioni, probata hac conjectura, etiam in seqq. scribendum esse *βοηθήσοντες*, non multum tribuimus (nam ibi res ponitur praesens), tamen praesens participii saepe conatum significat, ut jam Porson. animadvertit ad Eurip. Phoen. v. 79., imprimis si certa spes vel angens metus rei futurae indicatur. [Vid. Lobeck ad Phrynich. p. 13.].

5. *τούτων*] scilicet eorum, qui eadem conditione sunt, qua Callias, *μέτοικοι*.

*τὴν τούτων τύχην*] Servorum, opinor, intelligit fortunam, num hoc indicio iis contigerit libertatem assequi. cf. *περὶ τοῦ σηκοῦ*. §. 35.

φονται, ὅ τι ἀγαθὸν εἰργασμένοι τοὺς δεσπότας ἐλεύθεροι γένοιντο, ἀλλ' ὅ τι ψεῦδος περὶ αὐτῶν μηνύσαντες.

www.libtool.com.cn

---

## ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ ΥΠΕΡ ΤΟΥ ΣΗΚΟΥ ΑΠΟΛΟΓΙΑ.

---

### PROOEMIUM.

Tria sunt, quorum notiones ante omnia constituendae videntur: *ἐλαία, μορία, σηκός*. Tria haec vocabula tres diversas res notare videtur patere ex §. 10. *οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκόν*. *Ἐλαία* nomen est generis et significat oleam vel olivam, arborem in Attica sacram: quia, ut tradit mythus, Minerva de urbis possessione contendens primam procreasset, quae postea in arcis fano ostendebatur. Opinionem hanc arborem summa custodia deae dignam haberi eo diligentius fovebant, ne oleastri contagio corrupta tandem degeneraret atque laus olei Attici periret.

*Ἐλαῖαι* si opponuntur *μορίαις*, oleas privatorum hominum significant, quae unde propagatae essent, ignorabatur. Has etiam sacras fuisse, nec dominis licuisse ad arbitrium iis uti, patet ex lege, quam servavit Demosthenes *πρὸς Μακαρτ.* p. 1074. Licebat tantum ἑαυτῷ χρῆσθαι μέχρι δυοῖν ἐλαίαιν τοῦ ἐνιαυτοῦ ἑκάστου, ἢ ἐὰν ἐπὶ ἀποθανόντα δέῃ χρῆσθαι. Alioqui necesse erat ὀφείλειν ἑκατὸν δραχμὰς τῷ δημοσίῳ τῆς ἐλαίας ἑκάστης, ὀφειλέτω δὲ καὶ τῷ ἰδιώτῃ τῷ ἐπεξιόντι ἑκατὸν δραχμὰς καθ' ἑκάστην ἐλαίαν. Quid sit *ἐλαία* opposita *σηκῷ*, vide ad §. 2.

*Μορίαι* vel *μορίαι ἐλαῖαι* (nec enim de conjunctionis veritate debebat dubitare Marklandus) erant propagines ejus oleae, quae erat in arce. *Μορία* proprie est adjectivum, derivatum, opinor, a substantivo *μόρος*, portio, quia singulis oleis sacris agri portio sacra (*τέμενος*) adjuncta erat. Hae erant publicae, nec ipsas licebat laedere, nec colere τὰ περὶ τῆς μορίας χωρία. His curatores (*ἐπιμεληταί* §. 29) praepositi erant ab senatu Areopagitico (quos non ex ipso senatu fuisse necesse erat, ut concludo ex §. 29., ubi negatur actor *ἐπιμελητὴς ᾑρημένος*, ita ut is ipse creari *ἐπιμελητὴς* potuisset), qui certis hominibus vendebant fruges olearum, singulis mensibus judices sedebant et inspectores quotannis e suo collegio mittebant. §. 25. Qui fanum circa *μορίας* colebat, ab *ἐπιμεληταῖς* multabatur. §. 29.

Quid fuerit *σηκός*, et dubitanter tradunt Grammatici, nec sine dissensu. Harpocration: *σηκὸν δὲ, ὡς ἔοικε, καὶ μορίαν ὀνομάζουσι τὴν αὐτήν*, eumque, ut solet, Suidas ad verbum transscripsit et alii.

Photius in altero articulo s. v. *σηκοί — τὰς σηκούς* tertium genus *ἐλαιῶν* appellat, *τὰς πολυκλάδους καὶ κομητρίας*. Marklandus autem ad §. 10. *σηκόν* explicat truncum oleae sacrae jam effoetae: idque in Bekkeri anecdd. p. 183. s. vocabulo quidem nusquam obvio et, ni fallor, ex prava conjunctione vocabulorum orto *αἰμορίαι* (scriptum erat in loco *αἱ μορίαι*) videtur dici, *τῆς ἐλαίας τῆς λεγομένης αἰμορίας* (scrib. *μορίας*) *τὸ στέλεχος σηκὸς λέγεται*, eandemque explicationem sequitur Passow in Lexico Gr. eaque etiam nostra oratione videtur comprobari: §. 28. *τὴν μορίαν ἀφανίζειν — τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἓν ἐστι, μιᾶς δὲ ἐλαίας σηκός*, quod aliam non patitur interpretationem. Quod autem §. 22. 29. id, quod ceteris locis *σηκός* dicitur, *μορία* appellatur, id non mirum. Appellatur enim ita ratione aestimationis litis. Eadem enim poena erat *σηκοῦ καὶ μορίας ἐξορυττομένων*.

Nempe qui oleam Minervae sacram vel truncum exciderat, per *βασιλέα ἄρχοντα* ad Areopagum in judicium ducebatur, ibique, si noxius erat, puniebatur. De poena viri docti dissentiunt. Carol. Odofr. Müller Minerv. Poliad. p. 30. affirmat mortis poenam subisse, qui eradicassent *μορίαν* aut *σηκόν*, idque, si tantum generales formulas hujus orationis spectes, concedi posset. Reus ait se *περὶ τῆς μεγίστης ζημίας κινδυνεύειν*. §. 15. Concedit, si ea, quorum accusetur, patraverit, meriturum se fore *πολλὰς καὶ μεγάλας ζημίας* §. 14; loquitur *περὶ τῶν τοῦ σώματος κινδύνων* §. 26. Hi si soli essent loci, ubi de poena sermo foret, ea in dubio relinqueretur. Sed sunt alii, qui certius illam constituunt. §. 3. ait se *καὶ περὶ πατρίδος καὶ περὶ οὐσίας ἀγωνίσασθαι*. §. 32. *οὔτ' ἂν περὶ φυγῆς οὔτ' ἂν περὶ τῆς ἄλλης οὐσίας ἠγωνιζόμην*. §. 41. *πάντων ἂν ἀθλιώτατον γενέσθαι, εἰ φυγὰς ἀδίκως καταστήσεται*. Ex quibus patet eum, qui convictus fuerit, exsilio multatum ejusque bona publicata fuisse, ut jam Petitus monuit Legg. Att. L. V. Tit. I. p. 489. Wessel. et nuperrime der Attische Process. p. 302. not. 18.

Nomen quidem rei, qui defenditur, ignoramus, opibus tamen fuisse potentem cognoscimus ex §. 21. *κατηγορεῖς, ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως καὶ τῶν ἐμῶν χρημάτων οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν*.

Summa orationis haec est:

Exorditur ab importunitate calumniatorum, qui nulli rei pepercerint, ut hominem innocentem in pericula et damnum conjiciant. Primum eum, qui loquitur, criminari conati sunt oleam sacram ex agris sustulisse. Quod quum inspecta re fieri non posse intelligerent, truncum excidisse eum criminantur. Jam orator per seriem annorum eos commemorat, qui agros hos possederunt et coluerunt, et demonstrat multo ante, quam ipse fuerit agrorum possessor, neque oleam sacram neque truncum in his agris fuisse: quod testibus confirmatur. Ostendit porro diligentem hominem sedulo esse cauturum, ne quid faciat, unde multum ipsi mali, parum vero aut nihil boni redundet; jam vero ex commisso delicto nihil utilitatis, eo autem cognito poenas gravissimas exorturas fuisse. Etiam tempora, quibus rem fecisse dicatur, absurde ficta esse: interdiu eum fecisse, ne scilicet quemquam lateret; per servos, ut, horum indicantes, libertatem sibi compararent! Quidni actor in ipso facto adduxerit ad rem, quae tam aperte facta esse dicitur, magistratus aut homines certos, quibus fides haberi potuerit? Judices nunc ipsos testes innocentiae suae appellat, qui quum olearum curam gerant publica auctoritate, nihil a se sciant commissum, quod

www.libtool.com.cn

vel poena vel animadversione dignum esset. Ut autem in his semper culpa vacaverit, sic etiam in ceteris boni et fortis civis laudes meruisse. Calumniam tandem actoris inde patere, quod quum ipse (reus) famulos obtulerit quaestione examinandos, id recusaverit actor.

www.libtool.com.cn

---

1 Πρότερον μέν, ὦ βουλή, ἐνόμιζον ἐξεῖναι τῷ
βουλομένῳ, ἡσυχίαν ἄγοντι, μήτε δίκας ἔχειν μήτε
πράγματα. νυνὶ δὲ οὕτως ἀπροσδοκήτοις αἰτίαις καὶ
πονηροῖς συκοφάνταις περιπέπτωκα, ὥστ᾽, εἴπως οἷόν
τε, δοκεῖ μοι δεῖν καὶ τοὺς μὴ γεγονότας ἤδη δεδιέ-
ναι περὶ τῶν μελλόντων ἔσεσθαι. διὰ γὰρ τοὺς τοι-
ούτους οἱ κίνδυνοι κοινοὶ γίγνονται καὶ τοῖς μηδὲν
2 ἀδικοῦσι καὶ τοῖς πολλὰ ἡμαρτηκόσιν. Οὕτω δ᾽ ἄ-
πορος ὁ ἀγών μοι καθέστηκεν, ὥστε ἀπεγράφην τὸ
μὲν πρῶτον ἐλαίαν ἐκ τῆς γῆς ἀφανίζειν, καὶ πρὸς
τοὺς ἐωνημένους τοὺς καρποὺς τῶν μοριῶν πυνθα-

1. *οἱ κίνδυνοι κοινοὶ γίγνονται*] Libri manuscripti habent *οἱ κίνδυνοι οἱ κοινοὶ γ.* Articulum primus recte delevit Stephanus. *Κοινοί* enim, quod est praedicatum, non patitur articulum: qui si adsit, jungit adjectivum ut partem subjecti cum substantivo *κίνδυνοι*.

2. *ἀπεγράφην*] Verbum forense multifariam adhibitum. Nonnisi ea trademus, quae hujus loci sunt. *Ἀπογράφεσθαι* in medio (rarum est activum *ἀπογράψαι*, quod legitur infra §. 24.) est actoris in caussa capitis, qui apud archontem libellum actionis deponit; interdum etiam de archonte, qui caussam judicio tradit; *ἀπογράφεσθαι* in passivo est accusati in caussa capitis. Variae verbi significationes in re publica explicatae in libro: der Attische Process p. 254.

*ἐλαίαν ἐκ τῆς γῆς – – νυνί με σηκὸν ἀφανίζειν*] Ex hac oppositione, quae eadem est §. 5., certum fit *ἐλαίαν* significare arborem totam, arborem florentem; *σηκόν* autem truncum. Per *ἐλαίαν* hic non privatam arborem, sed publicam, *μορίαν*, intelligi nexus docet. Accesserant scilicet actores ad eos, qui *καρποὺς τῶν μοριῶν* redemerant, quaesituri, num non possit per calumniam actio *μορίας* in reum contendi. Quum autem ex tabulis redemtorum cognossent nullam *μορίαν* inesse in agris rei, nec umquam fuisse, non *μορίας*, ut primo constituerant, sed *σηκοῦ* excisi actionem intendebant. Ad *νυνί με σηκὸν ἀφανίζειν* ex passivo *ἀπεγράφην* medium *ἀπογράφονται* assumendum.

www.libtool.com.cn

νόμενοι προσῄεσαν ἐπειδὴ δ' ἐκ τούτου τοῦ τρόπου ἀδικοῦντά με οὐδὲν εὑρεῖν ἐδυνήθησαν, νυνί με σηκὸν ἀφανίζειν, ἡγούμενοι ἐμοὶ μὲν ταύτην τὴν αἰτίαν ἀπορωτάτην εἶναι ἀποδεῖξαι, αὐτοῖς δὲ ἐξεῖναι μᾶλλον ὅ τι ἂν βούλωνται λέγειν. καὶ δεῖ μέν με, περὶ ὧν 3
οὗτος ἐπιβεβουλευκὼς ἥκει, ἐν ὑμῖν τοῖς διαγνωσομένοις περὶ τοῦ πράγματος ἀκούσασι καὶ περὶ τῆς πατρίδος καὶ περὶ τῆς οὐσίας ἀγωνίσασθαι. ὅμως δὲ πειράσομαι ἐξ ἀρχῆς ὑμᾶς διδάξαι. Ἦν μὲν γὰρ 4
τοῦτο Πεισάνδρου τὸ χωρίον. δημευθέντων δὲ τῶν ὄντων ἐκείνου, Ἀπολλόδωρος ὁ Μεγαρεὺς δωρεὰν παρὰ τοῦ δήμου λαβὼν, τὸν μὲν ἄλλον χρόνον ἐγεώργει, ὀλίγῳ δὲ πρὸ τῶν τριάκοντα Ἀντικλῆς παρ' αὐτοῦ πριάμενος ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους

3. *καὶ δεῖ με - - ἐν ὑμῖν - ἀκούσασι - ἀγωνίσασθαι*] In omnibus codd. ante Reiskium collatis pro *ἐν* erat *ἀλλ'*. Ipse ex conjectura scripsit *ἐν*, quam confirmavit optimus Bekkeri liber. Usque ad Reiskium pro *ἀκούσασι* erat *ἀκούσαντες*. Is de suo dedit *ἅπαντος*. *Ἀκούσασι* Bekkerus scripsit ex eodem libro. Sic locum opinor restitutum. *Διαγινώσκειν* apud oratores est verbum proprium de judicibus caussam cognitam dirimentibus. Cognitionem autem sententiam oportere praecedere inest in participio *ἀκούσασι*, quod sua constructione positum. Aoristum *ἀγωνίσασθαι* tres praebuerunt codd. pro vulgato *ἀγωνίζεσθαι*.

*ἡγούμενοι - ἀπορωτάτην εἶναι ἀποδεῖξαι*] Cf. Excurs. VIII. - Ceterum *αἰτία ἀπορωτάτη* absolute jam est caussa difficillima, ex qua se expedire difficillimum est. Sic §. 39. *ἐπαιτιώτατοι καὶ ἀπορώτατοι τῶν κινδύνων*: qui locus ipse erat *ἄπορος* Schotto et Marklando. *Ἄπορος* enim non de homine solum dicitur, qui se expedire non potest, sed etiam de re, unde se expedire difficile sit. *Ἀποδεῖξαι* autem h. l. rara significatione positum. Quum enim vi sua significet d e m o n s t r a r e  a l i q u i d  e s s e, hic denotat d e m o n s t r a r e  a l i q u i d  n o n  e s s e,  r e f u t a r e: quae significatio inde potest locum habere, quod generalis notio est a l i q u i d  p l a n u m  f a c e r e,  e x p o n e r e,  v e r b i s  f a c t i s q u e  d e c l a r a r e.

malim ἀπελέγξαι

§. 4. *Πεισάνδρου*] Pisander hic, demagogus olim nimium atrox, Ol. XCII. praecipuus erat auctor democratiae dissolvendae et senatus Quadringentorum constituendi. Hoc autem senatu depulso, Pisander Deceleam profugit, et tum, ut ex nostra videmus oratione, bona ejus publicabantur. Rem narrat Thucydides L. VIII. 53—98. *Ἀπολλόδωρος ὁ Μεγαρεὺς* dicitur *χωρίον* praemium a populo accepisse. Caussam suspiceris ex iis, quae Lysias narrat *κατὰ Ἀγορ.* §. 71. P h r y n i c h o, item demagogo vario et potenti et eodem tempore optimatum fautori magno, ThrasybulumCalydoniumetApol-

www.libtool.com.cn

5 εἰρήνης οὔσης ὠνούμην. Ἡγοῦμαι τοίνυν, ὦ βουλή,
ἐμὸν ἔργον ἀποδεῖξαι, ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησά-
μην, οὔτε ἐλαία, οὔτε σηκὸς ἐνῆν ἐν αὐτῷ. νομίζω
γὰρ τοῦ μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἐνῆσαν
μυρίαι, οὐκ ἂν δικαίως ζημιοῦσθαι. εἰ γὰρ μὴ δι' ἡ-
μᾶς εἰσιν ἠφανισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλ-
λοτρίων ἁμαρτημάτων ὡς ἀδικοῦντας κινδυνεύειν.
6 πάντες γὰρ ἐπίστασθε, ὅτι πόλεμος καὶ ἄλλων πολ-
λῶν αἴτιος κακῶν γεγένηται, καὶ τὰ μὲν πόῤῥω ὑπὸ
Λακεδαιμονίων ἐτέμνετο, τὰ δ' ἐγγὺς ὑπὸ τῶν φίλων
διηρπάζετο· ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πό-
λει γεγενημένων συμφορῶν ἐγὼ νυνὶ δίκην διδοίην;
ἄλλως τε καὶ τοῦτο τὸ χωρίον ἐν τῷ πολέμῳ δημευ-
7 θὲν ἄπρατον ἦν πλείω ἢ τρία ἔτη. οὐ θαυμαστὸν
δ', εἰ τότε τὰς μορίας ἐξέκοπτον, ἐν ᾧ οὐδὲ τὰ ἡμέ-

4. ὠνούμην] [Mirari licet nullum librum habere ἐωνούμην, quod Atticismo magis foret consentaneum. V. C. F. R.].

5. οὐδ' εἰ πάλαι ἐνῆσαν μυρίαι] Μυρίαι dedit Bekkerus pro μορίαι: qua codicis lectione multitudinis notio, desiderata a Reiskio, melius exprimitur quam proposita ab eo conjectura πολλαί pro πάλαι. Sic et temporis notio et multitudinis aeque opportuna adest, nec ambiguitas nascitur ex eo, quod abest substantivum. Nam hoc ex nexu facile suppletur.

6. πλείω ἢ τρία ἔτη] Sic Bekkerus ex optimo libro pro vulgato πλείονα. Terminatio ονα rara est in Lysia, nec tamen ubique eam rejiciunt codd. ὑπὲρ τῶν Ἀριστοφ. χρ. §. 15. p. 622. R. ὃν οἱ πολλοὶ βελτίονα ἡγοῦνται εἶναι ἢ πλουσιώτερον. §. 35. p. 637. τὰ Κόνωνος εἶναι πλείονα ἢ δεκαπλασία. ὑπὲρ Πολυστρ. §. 29. p. 689. R. ὥστε νομίζειν μηδενὸς ἧττον εἶναι ἀνθρώπων τὴν ψυχήν. κατὰ Φιλοκρ. §. 8. p. 832. R. Bekkerus habet καὶ πολλῷ πλείω αὐτῷ τούτων περιέσται. Ald. et Reisk. πλεῖον. ceteri πλεῖον δ'.

7. οὐ θαυμαστὸν δ'] Sic Bekkerus ex optimo, quum in ceteris desit δ': quae negandi et conjungendi ratio Lysiae simplicitati convenientior, quam quod eleganter conjecit Marklandus: τί οὖν θαυμαστόν.

lodorum Megarensem insidiatos esse eumque trucidasse disertis verbis tradit Lycurgus contra Leocratem p. 217. R. Thucydides L. VIII. 92. mortem quidem narrat, sed momenta variant. Aliquot ceterum sunt exempla praemia ex bonis publicatis data esse iis, qui improbos cives interfecerant. Cf. Meier de bonis damnatorum p. 218.

εἰρήνης οὔσης] Intelligit tempus pacis per Thrasybulum restitutae.

6. ἄλλως τε καὶ cet.] Reiskius opinatur excidisse ὅπου. Et verum quidem est ἄλλως τε καί plerumque sequi conjunctionem; nec tamen ea necessaria est. Subtiliter locutionem illustravit Hermannus ad Vigerum p. 780. ss.

www.fbtool.com.cn

τερα αὐτῶν φυλάττειν ἠδυνάμεθα. ἐπίστασθε δέ, ὦ
βουλή, ὅσοι μάλιστα τῶν τοιούτων ἐπιμελεῖσθε, πολ-
λὰ ἐν ἐκείνῳ τῷ χρόνῳ δασέα ὄντα ἰδίαις καὶ μορί-
αις ἐλαίαις, ὧν νῦν τὰ πολλὰ ἐκκέκοπται, καὶ ἡ γῆ
ψιλὴ γεγένηται, καὶ τῶν αὐτῶν καὶ ἐν τῇ εἰρήνῃ καὶ
ἐν τῷ πολέμῳ κεκτημένων, οὐκ ἀξιοῦτε παρ' αὐτῶν,
ἑτέρων ἐκκοψάντων, δίκην λαμβάνειν. καίτοι εἰ τοὺς 8
διὰ παντὸς τοῦ χρόνου γεωργοῦντας τῆς αἰτίας ἀφίε-
τε, ἦπου χρὴ τούς γ' ἐν τῇ εἰρήνῃ πριαμένους ἀφ' ὑ-
μῶν ἀζημίους γενέσθαι. Ἀλλὰ γάρ, ὦ βουλή, πε- 9
ρὶ μὲν τῶν πρότερον γεγενημένων πολλὰ ἔχων εἰπεῖν,
ἱκανὰ νομίζω τὰ εἰρημένα. ἐπειδὴ δ' ἐγὼ παρέλαβον
τὸ χωρίον, πρὶν ἡμέρας πέντε γενέσθαι, ἀπεμίσθωσα
Καλλιστράτῳ, ἐπὶ Πυθοδώρου ἄρχοντος. δύο δ' ἔτη 10
ἐγεώργησεν, οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε ση-
κὸν παραλαβών· τρίτῳ δὲ ἔτει Δημήτριος οὑτοσὶ εἰρ-
γάσατο ἐνιαυτόν· τῷ δὲ τετάρτῳ Ἀλκίᾳ Ἀντισθένους
ἀπελευθέρῳ ἐμίσθωσα, ὃς τέθνηκε ταῦτα τρία ἔτη.
ὁμοίως καὶ Πρωτέας ἐμισθώσατο. καί μοι δεῦρ' ἴτε
μάρτυρες.

## ΜΑΡΤΥΡΙΑΙ.

Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. 11
φησὶ δὲ ὁ κατήγορος ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν

10. ὁμοίως καὶ Πρωτέας ἐμισθώσατο] Πρωτέας Bekkerus; vulgo πρότερον. Omnes Bekkeri libri habent Πρωτέως.

7. οὐδὲ τὰ ἡμέτερα αὐτῶν] Quamquam enim oleae sub tutela legum erant, tamen non mirum, si tempore istius anarchiae hae parum curarentur, quum suis quisque angustiis nimium quantum premeretur.

8. ἀφ' ὑμῶν] Jungendum hoc cum ἀζημίους γενέσθαι, nec dubitandum de recto praepositionis ἀπό usu in hoc loco. Significat enim a vestra parte, quantum a vobis proficiscitur.

9. πρὶν ἡμέρας πέντε γενέσθαι] Reiskius mallt διαγενέσθαι vel ἐπιγενέσθαι: quo non opus. Etiam simplex sic adhibetur. Xenoph. Hellen. II. 4, 25. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι.

10. ὃς τέθνηκε ταῦτα τρία ἔτη] Qui mortuus est ante hos tres annos. Hoc sensu Atticis quidem usitatior numerus ordinalis τρίτον τοῦτον ἐνιαυτόν, adeo ut in Lexico Ms., quod laudatur in Petri van Spaan Dissert. de Antiph. T. VII. 824. R. legatur τρίτην ἡμέραν χρὴ λέγειν, οὐχὶ τρεῖς ἡμέρας. Cf. Lobeck ad Phryn. p. 323.

www.libtool.com.cn

ὑπ' ἐμοῦ ἐκκεκόφθαι. ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρότερον ἐργαζόμενοι, καὶ πολλὰ ἔτη παρ' ἐμοῦ μεμισθωμένοι, μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς ἄν τις φανερῶς ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον; οὐ γὰρ οἷόν τε, ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον ἐργαζόμενον ἀφανίζειν.
12 Ἐγὼ τοίνυν, ὦ βουλή, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ, καὶ οὐδὲν ἂν εἰκῇ καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μᾶλλον λέγεσθαι, ὥς μοι προςῆκε· νῦν δὲ πάντας ἂν ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν, ἵνα ἡγῆσθέ με σκοπεῖν, εἴπερ τοιούτοις ἔργοις ἐπεχείρουν, καὶ ὅ τι κέρδος ἐγένετο τῷ ἀφανίσαντι, καὶ ἥτις ζημία τῷ ποιήσαντι, καὶ τί ἂν

12. τῷ ἀφανίσαντι] Sic restituit Bekkerus ex tribus pro vulgato τῷ ἀφανίζοντι. Aoristus optime convenit seq. ποιήσαντι: cui Marklandus μή praeponens, et τὴν ζημίαν de damno in re familiari, non de multa accipiens, procul dubio erravit. Ποιήσαντι h. l. vicem gerit verbi ἀφανίσαντι, ut ποιεῖν et facere saepe pro verbo statim antecedente ponuntur, et comparat orator ab omni parte lucrum, quod habiturus sit in re familiari, et poenam ex legibus ipsi ob idem facinus imminentem. Ut lucrum spectatur seq. διεπραξάμην, sic poenam seq. ἔπασχον. Idem ostendunt omnia, quae sequuntur.

11. καίτοι πῶς ἄν τις φανερῶς ἐξελέγξειε] Marklandus pro φανερῶς vult φανερωτέρως aut φανερώτερον; alii μᾶλλον praeponunt positivo; nec dubitandum altero utro modo Lysiam scribere potuisse. Sed quidni toleranda codicum lectio, sic intelligenda: Quomodo quis alterum manifesto mendacii coarguere posset, si hoc non est? Conditio autem facile suppletur ex sententiarum connexione.

12. ἠγανάκτουν ἄν] Reiskius delendum censet ἄν; non enim dicere se indignaturum fuisse, sed indignari consuevisse. Atque, si rem pinguiter exprimere velis, haec ipsa vis inest in particula ἄν. Dicendum autem ἄν conjecturalem vim habere et mitigare vim definitam indicativi. Ἠγανάκτουν esset diserte affirmantis; ἠγανάκτουν ἄν non negantis et, si quis instet, concedentis id plus semel factum fuisse. Subtilem hanc vim exemplis illustravit Wyttenbachius Bibl. Crit. P. XII. p. 33. ss. Cf. Rost gr. Gr. §. 120. 5. c. γ. Sic ὑπὲρ Πολυστρ. §. 9. p. 671. οἳ δὲ ἐκείνων ἔμελλον ἀκροᾶσθαι καὶ μηδὲν ἐπεβούλευον, τούτους ἂν καθίσταντο: ubi Reiskius pro ἄν malebat αὖ.

ἡγούμενος μᾶλλον λέγεσθαι ὥς μοι προςῆκε] Ὡς viris doctis offendiculo fuit, ita ut alii scribendum censerent ὤν, Taylor ἢ ὡς. Sed ὡς, particula comparativa, post comparativum, imprimis post μᾶλλον adhibetur. cf. Hermannum ad Vigerum. p. 720. Sic infra §. 31. πάντα προθυμότερον πεποίηκα, ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην, ubi Taylor item

λαθὼν διεπραξάμην, καὶ τί ἂν φανερὸς γενόμενος ὑφ' ὑμῶν ἔπασχον. πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα 13
οὐχ ὕβρεως, ἀλλὰ κέρδους ἕνεκα ποιοῦσι· καὶ ὑμᾶς εἰκὸς οὕτω σκοπεῖν, καὶ τοὺς ἀντιδίκους ἐκ τούτων τὰς κατηγορίας ποιεῖσθαι, ἀποφαίνοντας, ἥτις ὠφέλεια τοῖς ἀδικήσασιν ἐγένετο. οὗτος μέντοι οὐκ ἂν 14
ἔχοι ἀποδεῖξαι, οὔθ' ὡς ὑπὸ πενίας ἠναγκάσθην τοιούτοις ἔργοις ἐπιχειρεῖν, οὔθ' ὡς τὸ χωρίον μοι διαφθείρεται τοῦ σηκοῦ ὄντος, οὔθ' ὡς ἀμπέλοις ἐμποδὼν ἦν, οὔθ' ὡς οἰκίας ἐγγύς, οὔθ' ὡς ἐγὼ ἄπειρος τῶν παρ' ὑμῖν κινδύνων, εἴ τι τούτων ἔπραττον. πολλὰς ἂν καὶ μεγάλας ἐμαυτῷ ζημίας γενομένας ἀποφήναιμι· ὃς πρῶτον μὲν μεθ' ἡμέραν ἐξέκοπτον τὸν 15
σηκόν, ὥςπερ οὐ πάντας λαθεῖν δέον, ἀλλὰ πάντας Ἀθηναίους εἰδέναι. καὶ εἰ μὲν αἰσχρὸν ἦν μόνον τὸ πρᾶγμα, ἴσως ἄν τις τῶν παριόντων ἠμέλησε· νῦν δ' οὐ περὶ αἰσχύνης, ἀλλὰ τῆς μεγίστης ζημίας ἐκινδύνευον. πῶς δ' οὐκ ἂν ἦν ἀθλιώτατος ἀνθρώ- 16
πων ἁπάντων, εἰ τοὺς ἐμαυτοῦ θεράποντας μηκέτι δούλους ἔμελλον ἕξειν, ἀλλὰ δεσπότας τὸν λοιπὸν βίον, τοιοῦτον ἔργον συνειδότας; ὥςτε εἰ καὶ τὰ μέγιστα εἰς ἐμὲ ἐξημάρτανον, οὐκ ἂν οἷόν τε ἦν δίκην με παρ' αὐτῶν λαμβάνειν. εὖ γὰρ ἂν εἰδείην, ὅτι ἐπ' ἐκείνοις ἦν καὶ ἐμὲ τιμωρήσασθαι, καὶ αὐτοῖς μηνύσασιν ἐλευθέροις γενέσθαι. ἔτι τοίνυν εἰ τῶν οἰκετῶν 17
παρέστη μοι μηδὲν φροντίζειν, πῶς ἂν ἐτόλμησα, το-

17. εἰ τῶν οἰκετῶν παρέστη] Reiskius lectionem Ald. dedit παρεστήκοι. Illud autem recte revocavit Bekkerus, quod nititur auvult ἢ ὡς. Sic etiam ὥςπερ. Xenophon Hellen. II. 3, 16. εἰ δὲ, ὅτι τριάκοντά ἐσμεν καὶ οὐχ εἷς, ἧττόν τι οἴει ὥςπερ τυραννίδος ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ: ubi vocabula ὥςπερ τυραννίδος offendebant.

14. πολλὰς ἂν cet.] Reiskius fortasse asyndeton reformidavit, comma nonnisi post ἔπραττον ponens et jungens ὡς ἐγὼ ἄπειρος — — πολλὰς ἂν ζημίας ἀποφήναιμι, quod nihil est. Membrum per se absolutum est: οὔθ' ὡς ἐγὼ ἄπειρος sc. ἦν, et caussam πολλὰς ἂν — — ἀποφήναιμι continet per asyndeton fortiter affirmans ea ipsa de caussa, quod particula caussalis deest.

16. καὶ αὐτοῖς μηνύσασιν ἐλευθέροις γενέσθαι] Cf. prooemium ὑπὲρ Καλλίου.

σούτων μεμισθωμένων, καὶ ἁπάντων συνειδότων, ἀφανίσαι τὸν σηκὸν βραχέος μὲν κέρδους ἕνεκα, προθεσμίας δὲ οὐδεμιᾶς οὔσης τῷ κινδύνῳ, τοῖς εἰργασμένοις ἅπασι τὸ χωρίον ὁμοίως προσῆκον εἶναι σῶον τὸν σηκόν· ἵν᾽, εἴ τις αὐτοὺς ᾐτιᾶτο, εἶχον ἀνενεγκεῖν, ὅτῳ παρέδοσαν. νῦν δὲ καὶ ἐμὲ ἀπολύσαντες φαίνονται, καὶ σφᾶς αὐτοὺς, εἴπερ ψεύδονται, μετόχους τῆς αἰτίας καθιστάντες.
18 εἰ τοίνυν καὶ ταῦτα παρεσκευασάμην, πῶς ἂν οἷός τ᾽ ἦν πάντας πεῖσαι τοὺς παριόντας, ἢ τοὺς γείτονας, οἳ οὐ μόνον ἀλλήλων ταῦτ᾽ ἴσασιν, ἃ πᾶσιν ὁρᾶν ἔξεστιν, ἀλλὰ καὶ περὶ ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι, καὶ περὶ ἐκείνων πυνθάνονται; ἐμοὶ τοίνυν τούτων οἱ μὲν φίλοι, οἱ
19 δὲ διάφοροι περὶ τῶν ἐμῶν τυγχάνουσιν ὄντες. οὓς ἐχρῆν τοῦτον παρασχέσθαι μάρτυρας, καὶ μὴ μόνον οὕτω τολμηρὰς κατηγορίας ποιεῖσθαι· ὅς φησιν, ὡς ἐγὼ μὲν παρειστήκειν, οἱ δ᾽ οἰκέται ἐξέτεμνον τὰ πρέμνα,

ctoritate codicum et constructionis. Nempe aoristus indicativi cum εἰ ponitur in protasi, quum aliquid non factum esse indicatur, sequente in apodosi aor. ind. cum ἄν. Οἰκετῶν praeclara est Palmerii emendatio pro lectione codicum εἰκότων.

ἵν᾽ εἶχον ἀνενεγκεῖν] Recte sic Bekkerus ex optimo suo pro vulgato ἂν ἐνεγκεῖν. Verbum enim ἀναφέρειν proprium est de iis, qui culpam in aliquem transferunt, vel in genere alicui aliquid tribuunt, et ἵνα cum imperfecto sine ἄν construitur de fine, quem quis non assecutus est, vel quem assequi non opus erat.

19. οὓς ἐχρῆν τοῦτον παρασχέσθαι μάρτυρας] Sic Bekkerus ex libris pro vulgato τούτων, recte, opinor. Quando δεῖ, χρή, cum infinitivo non universe positum est, accusativus infinitivo addi solet.

17. προθεσμίας δὲ οὐδεμιᾶς οὔσης] Hoc unum certum exemplum est criminis, cujus nulla προθεσμία in Attico jure fuisse traditur. Cf. der Attische Process p. 637.

18. εἰ τοίνυν καὶ ταῦτα παρεσκευασάμην] Παρασκευάζεσθαί τι frequens est de eo, qui callide et subdole aliquid struit, machinatur. Demosth. πρὸς Μακάρτ. p. 1062. ἀλλὰ πολλὰ καὶ ἀναίσχυντα παρεσκευάσατο εἰς τὸν ἀγῶνα. Sic etiam παρασκευαί. Non opus, ut cum Reiskio τούτους pro ταῦτα scribatur.

19. ἐξέτεμνον τὰ πρέμνα] Hesychius πρέμνον explicat πᾶν ῥίζωμα, δένδρον τὸ γηράσκον. Etymologus τὸ ἀπογηράσκον τῶν στελέχων. De ima parte interdum dicitur; hinc de truncis et stipitibus arborum, non de ramis crassioribus, ut interpretatur Reiskius.

www.libtool.com.cn

ἀναθέμενος δὲ ὁ βοηλάτης ᾤχετο ἀπάγων τὰ ξύ-
λα. καίτοι, ὦ Νικόμαχε, χρῆν σε τότε καὶ παρακα- 20
λεῖν τοὺς παριόντας μάρτυρας, καὶ φανερὸν ποιεῖν
τὸ πρᾶγμα· καὶ ἐμοὶ μὲν οὐδεμίαν ἂν ἀπολογίαν ἀπέ-
λιπες, αὐτὸς δέ, εἰ μέν σοι ἐχθρὸς ἦν, ἐν τούτῳ τῷ
τρόπῳ ᾔσθα ἄν με τετιμωρημένος· εἰ δὲ τῆς πόλεως
ἕνεκα ἔπραττες, οὕτως ἐξελέγξας οὐκ ἂν ἐδόκεις εἶναι
συκοφάντης· εἰ δὲ κερδαίνειν ἐβούλου, τότ᾽ ἂν πλεῖ-
στον ἔλαβες. φανεροῦ γὰρ ὄντος τοῦ πράγματος, οὐ- 21
δεμίαν ἄλλην ἡγούμην ἂν εἶναί μοι σωτηρίαν ἢ σὲ
πεῖσαι. τούτων τοίνυν οὐδὲν ποιήσας, διὰ τοὺς
σοὺς λόγους ἀξιοῖς με ἀπολέσθαι, καὶ κατηγορεῖς,
ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως καὶ τῶν ἐμῶν χρημάτων
οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν. καίτοι εἰ φήσας μ᾽ ἰδεῖν 22
τὴν μορίαν ἀφανίζοντα τοὺς ἐννέα ἄρχοντας ἐπήγα-
γες, ἢ ἄλλους τινὰς τῶν ἐξ Ἀρείου πάγου, οὐκ ἂν
ἑτέρων ἔδει σοι μαρτύρων. οὕτω γὰρ ἄν σοι συνῄ-
δεσαν ἀληθῆ λέγοντι, οἵπερ καὶ διαγινώσκειν ἔμελλον
περὶ τοῦ πράγματος. δεινότατα οὖν πάσχω· ὅς, εἰ 23
μὲν παρέσχετο μάρτυρας, τούτοις ἂν ἠξίου πιστεύειν·
ἐπειδὴ δὲ οὐκ εἰσὶν αὐτῷ, ἐμοὶ καὶ ταύτην [τὴν] ζη-
μίαν οἴεται χρῆναι γενέσθαι. καὶ τούτου μὲν οὐ θαυ-

ὁ βοηλάτης] Ante Taylorum pro βοηλάτης legebatur βουλευτής. Bekkerus tamen βοηλάτης in textu habens ex solo M. laudat βασιλευτής. Taylori emendationem jure laudarunt Marklandus et Piersonus ad Moerin p. 70. Quod si apud Atticos βοηλάτης nusquam legitur, tamen vocabulum rite et ad analogiam est factum, et apud recentiores adhibetur pro plaustrario. Ὀνηλάτας hac significatione habet Demosthenes πρὸς Φαιν. p. 1040.

23. ταύτην [τὴν] ζημίαν] Vide Excurs. II.

ἀναθέμενος] Atticistae tradunt ἀναθεῖναι τὸ φορτίον Ἀττικῶς· ἐπιθεῖναι Ἑλληνικῶς. Ostenderunt tamen interpretes ad Thomam M. s. v. etiam ἐπιθεῖναι a bonis scriptoribus usurpari.

20. ἐν τούτῳ τῷ τρόπῳ] Praepositionem inusitatiorem esse monet Reiskius, nec verisimile tamen, quod conjicit ἐνί με τούτῳ τῷ τρόπῳ. Est cum praepositione quod nos diceremus qua ratione innixi, fidentes. Thucydides I. 8. fin. ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες ὕστερῳ χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν. I. 97. ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει, ἐν οἵῳ τρόπῳ κατέστη.

22. τοὺς ἐννέα ἄρχοντας] Similis hoc illi fuisset actioni, quam ἐφήγησιν appellabant, quum

www.libtool.com.cn

μάξαι. οὐ γὰρ δήπου συκοφαντῶν ἅμα τοιούτων τε
λόγων ἀπορήσει καὶ μαρτύρων. ὑμᾶς δ' οὐκ ἀξιῶ
24 τὴν αὐτὴν τούτῳ γνώμην ἔχειν. ἐπίστασθε γὰρ ἐν
τῷ πεδίῳ πολλὰς μορίας οὔσας καὶ πυρκαϊὰς ἐν τοῖς
ἄλλοις τοῖς ἐμοῖς χωρίοις, ἅς, εἴπερ ἐπεθύμουν, πο-
λὺ ἦν ἀσφαλέστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι καὶ
ἐπεργάσασθαι, ὅσῳπερ ἧττον τὸ ἀδίκημα πολλῶν οὐ-
25 σῶν ἔμελλε δῆλον ἔσεσθαι. νῦν δ' οὕτως αὐτὰς περὶ
πολλοῦ ποιοῦμαι ὥσπερ καὶ τὴν ἄλλην οὐσίαν, ἡγού-
μενος περὶ ἀμφοτέρων τούτων εἶναί μοι τὸν κίνδυ-
νον. αὐτοὺς τοίνυν ὑμᾶς τούτων μάρτυρας παρέξο-
μαι, ἐπιμελομένους μὲν ἑκάστου μηνός, γνώμονας δὲ
πέμποντας καθ' ἕκαστον ἐνιαυτόν· ὧν οὐδεὶς πώποτε
ἐζημίωσεν ὡς ἐργαζόμενον τὰ περὶ τὰς μορίας χωρία.

ἅμα] Sic Bekkerus de conjectura. Codices ἄλλα vel ἀλλά; facile autem *ΑΛΛΑ* corruptum ex *ΑΜΑ*; quod multo melius, quam Reiskii θεμά. Simplicissime item unius litterae mutatione sequentia correxit τοιούτων τε (libri γε) λόγων ἀπορήσει καὶ μαρτύρων: pro quo Reiskius audacissime τοιούτων γε λόγων ἀπορήσει, εἰ καὶ μαρτύρων ἀπορήσει. Multo probabilius et elegantius correxerat Jacobs Add. Ann. in Athen. p. 130. τοιούτων γε λόγων ἀπορήσει, ἀπορήσας μαρτύρων.

25. ὡς ἐργαζόμενον] Quod Marklandus conjecit, recepit ex optimo cod. Bekkerus pro vulgato ἐργαζομένους. Reiskius post ἐζημίωσεν inserendum opinabatur ἡμᾶς: quo pronomine reum conductores fundorum suorum, item servos secum complecti. Nihil quidem addendum. Personale enim objectum aut aliud, si nulla ambiguitas oriatur, saepe omittitur. κατὰ Θεομν. §. 6. ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι, ubi Reiskius vult ἐάν τινά τις εἴπῃ. §. 13. ὅταν δεήσῃ κακῶς ἀκούοντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, ubi σε omisit ex suis codd. Bekkerus. Singularis autem aptior. Reus enim cuncta scit in se esse inventa, nec quicquam in suorum quemquam vult devolvere, sed suo jure rem prorsus negat.

actor ἡγεμόνα δικαστηρίου cum ὑπηρέταις in illum locum adduceret, ubi reus crimen committebat vel commiserat, ut scilicet eo ipso loco comprehenderetur.

24. ἐν τῷ πεδίῳ] in campo, qui a Cephisso late patebat.

25. γνώμονας] Harpocration s. v. ἐπιγνώμονας ἀντὶ τοῦ ἐπισκόπους Λυσίας ἐν τῷ περὶ σηκοῦ. Bekkeri tamen Anecdd. p. 228 l. 23. Γνώμονας: ἄρχοντάς τινας εἶναι τοὺς ἐπισκεπτομένους καθ' ἕκαστον ἐνιαυτὸν τὰ χωρία πάντα, μή πώς τις ἐξέκοψε τὰς μορίας. Num alterutrum vocabulum, γνώμων vel ἐπιγνώμων, de inspectore moriarum alio loco legatur, dubito. Nusquam certe inveni. In aliis rationibus utrumque usurpatur. Ergo h. l. codd.

www.libtool.com.cn

καίτοι οὐ δήπου τὰς μὲν μικρὰς ζημίας οὕτω περὶ 26
πολλοῦ ποιοῦμαι, τοὺς δὲ περὶ τοῦ σώματος κινδύνους οὕτω περὶ οὐδενὸς ἡγοῦμαι· καὶ τὰς μὲν πολλὰς ἐλαίας, εἰς ἃς ἐξῆν μᾶλλον ἐξαμαρτάνειν, οὕτω θεραπεύων φαίνομαι, τὴν δὲ μορίαν, ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα, ὡς ἀφανίζων νυνὶ κρίνομαι. Πότερον δέ μοι κρεῖττον ἦν, ὦ βουλή, δημο- 27
κρατίας οὔσης παρανομεῖν, ἢ ἐπὶ τῶν τριάκοντα; καὶ οὐ λέγω ὡς τότε δυνάμενος, ἢ ὡς νῦν διαβεβλημένος, ἀλλ' ὡς τῷ βουλομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν ἢ νυνί. ἐγὼ τοίνυν οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ οὔτε τοιοῦτον οὔτε ἄλλο οὐδὲν κακὸν ποιήσας φανήσομαι.
Πῶς δ' ἄν, εἰ μὴ πάντων ἀνθρώπων ἐμαυτῷ κακο- 28
νούστατος ἦν, ὑμῶν οὕτως ἐπιμελουμένων, ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἕν ἐστι, μιᾶς δὲ ἐλαίας σηκός, ὡς οὗτός φησιν, εἶναι, κυκλόθεν δὲ ὁδὸς περιέχει, ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν, ἄερκτον δὲ καὶ πανταχόθεν κάτοπτόν ἐστιν; ὥςτε τίς ἂν ἀπετόλμησε, τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ πράγματι;
Δεινὸν δέ μοι δοκεῖ εἶναι ὑμᾶς μέν, οἷς ὑπὸ τῆς 29
πόλεως τὸν ἅπαντα χρόνον προςτέτακται τῶν μοριῶν ἐλαιῶν ἐπιμελεῖσθαι, μήθ' ὡς ἀπεργαζόμενον πώποτε

sequendos esse recte arbitratus est Bekkerus.

26. μικρὰς ζημίας] ducentarum drachmarum. Vide prooemium.

27. ὡς τότε δυνάμενος, ἢ ὡς νῦν διαβεβλημένος] Supplendum ex antecedente παρανομῆσαι, hoc sensu: »Non quod ego tunc potuissem, imperantibus τοῖς τριάκοντα, aut quod nunc id potuisse accuser.« Tempore enim triginta virorum ei soli licebat impune violare leges, qui ab eorum partibus stabat. Ergo enuntiatio idem significat ac si dixisset: »non quod ego ab eorum partibus steterim, aut nunc hac fama laborem.« Interpretes locum non ceperunt.

28. ὑμῶν οὕτως ἐπιμελουμένων, ἐκ τούτου] Etiam hic locus ostendit, imperio triginta virorum exstincto, Areopago restitutam esse auctoritatem, eumque diligenter et accurate fecisse, quae suae erant potestatis.

ἄερκτον] Harpocration s. v. ἄερκτον ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν καθορώμενον Λυσίας. Idem Suidas et Bekkeri Anecd. p. 347.

www.libtool.com.cn

ζημιῶσαι, μηθ' ὡς ἀφανίσαντα εἰς κίνδυνον καταστῆσαι· τοῦτον δ', ὃς οὔτε γεωργῶν ἐγγὺς τυγχάνει, οὔτ' ἐπιμελητὴς ᾑρημένος, οὔθ' ἡλικίαν ἔχων εἰδέναι περὶ τῶν τοιούτων, ἀπογράψαι με ἐγγὺς μορίαν ἀφανίζειν.

30 Ἐγὼ τοίνυν δέομαι ὑμῶν μὴ τοὺς τοιούτους
λόγους πιστοτέρους ἡγήσασθαι τῶν ἔργων, μηδὲ περὶ
ὧν αὐτοὶ σύνιστε, ταῦτ' ἀνασχέσθαι τῶν ἐμῶν ἐχθρῶν
λεγόντων, ἐνθυμουμένους καὶ ἐκ τῶν εἰρημένων, καὶ
31 ἐκ τῆς ἄλλης πολιτείας. ἐγὼ γὰρ τὰ ἐμοὶ προστεταγμένα ἅπαντα προθυμότερον πεποίηκα, ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην, καὶ τριηραρχῶν καὶ εἰσφορὰς εἰσφέρων καὶ χορηγῶν καὶ τἆλλα λειτουργῶν οὐδενὸς

29. *ἀφανίσαντα*] Sic Bekkerus ex tribus codd. recte. Aoristus enim praeteriti significationem habet, quod hic optimum, quamquam praecessit praesens *ἐπεργαζόμενον*, quod item optimum. Nam in laborando facillime quis indicabatur et puniebatur.

29. *ἀπογράψαι με ἐγγὺς μορίαν ἀφανίζειν*] Taylor delendum censet *ἐγγύς*, natum, ut ait ex socio, h. e. ex eodem, quod modo praecessit, vocabulo. Marklandus pro eo *εὐθύς* scribi vult. Opinor *ἐγγὺς* temeritatem actionis indicare, quamquam nunc simile exemplum indicare non possum. [Fortasse; *ἐκ γῆς μορίαν ἀφανίζειν*. ut supra §. 2. F. J.]

30. *ταῦτ' ἀνασχέσθαι τῶν ἐμῶν ἐχθρῶν λεγόντων*] Reiskius scribere mavult *ψευδῆ λεγόντων*. Sed Lysias res magis significare solet quam pinguiter enuntiare. Ait *ταῦτα λεγόντων* et liberum relinquit judicibus ea aestimare, qua ratione velint.

*καὶ ἐκ τῆς ἄλλης πολιτείας*] »et omnino ex ea ratione, qua civem me gessi.« Adjectivum *ὁ ἄλλος* saepe vertendum per adverbium omnino, in universum. §. 25. *μορίας περὶ πολλοῦ ποιοῦμαι, ὥςπερ καὶ τὴν ἄλλην οὐσίαν.* §. 32. *οὔτε περὶ φυγῆς οὔτε περὶ τῆς ἄλλης οὐσίας.* Unde patet minime opus esse eo, quod Schottus conjecit *ὅλης*. Cf. Astium ad Plat. de legg. II. 9. p. 121. — Hac autem re Athenienses cum patriae amore gloriabantur, si quis munera liberaliter et magnifice fecerat, ut turpe erat ea vel defugisse vel sordide fecisse. Vide Fr. Aug. Wolfium prolegg. ad Leptin. p. CXVII.

31. *προθυμότερον πεποίηκα, ὡς — — ἠναγκαζόμην*] De *ὡς* post comparativum posito vide ad §. 12.

*εἰςφορὰς εἰςφέρων*] *Εἰςφορά* imprimis est pecunia ad necessitates belli conferenda, unde praecipue stipendium militibus persolveretur. Cf. imprimis Boeckh. Staatshaushaltung viertes Buch T. II. init. Ab his diversae sunt *λειτουργίαι*, quae sunt munera ab hominibus ipsis magnis cum impensis et laboribus praestita, ut choregia, trierarchia, gymnasiarchia, de quibus accurate exponit Boeckh. lib. laud. T. I. inde a pag. 481.

www.libtool.com.cn

ἧττον πολυτελῶς τῶν πολιτῶν. καίτοι ταῦτα μὲν με- 32
τρίως ποιῶν, ἀλλὰ μὴ προθύμως, οὔτ᾽ ἂν περὶ φυ-
γῆς, οὔτ᾽ ἂν περὶ τῆς ἄλλης οὐσίας ἠγωνιζόμην.
πλείω δ᾽ ἂν ἐκεκτήμην, οὐδὲν ἀδικῶν οὐδ᾽ ἐπικίνδυ-
νον ἐμαυτῷ καταστήσας τὸν βίον. ταῦτα δὲ πράξας,
ἃ οὗτός μου κατηγορεῖ, ἐκέρδαινον μὲν οὐδέν, ἐμαυ-
τὸν δ᾽ εἰς κίνδυνον καθίστην. καίτοι πάντες ἂν ὁμο- 33
λογήσαιτε δικαιότερον εἶναι τοῖς μεγάλοις χρῆσθαι
τεκμηρίοις περὶ τῶν μεγάλων, καὶ πιστότερα ἡγεῖσθαι,
περὶ ὧν ἅπασα ἡ πόλις μαρτυρεῖ, μᾶλλον ἢ περὶ ὧν
μόνος οὗτος κατηγορεῖ.

Ἔτι τοίνυν, ὦ βουλή, ἐκ τῶν ἄλλων σκέψα- 34
σθε. μάρτυρας γὰρ ἔχων αὐτῷ προσῆλθον, λέγων,
ὅτι μοι πάντες εἰσὶν οἱ θεράποντες, οὓς ἐκεκτήμην,
ἐπειδὴ παρέλαβον τὸ χωρίον, καὶ ἕτοιμος ἤμην, εἴ
τινα βούλοιτο, παραδοῦναι βασανίζειν, ἡγούμενος
οὕτως ἂν τὸν ἔλεγχον ἰσχυρότερον γενέσθαι τῶν τού-
του λόγων καὶ τῶν ἔργων τῶν ἐμῶν. οὗτος δ᾽ οὐκ 35
ἤθελεν, οὐδὲν φάσκων πιστὸν εἶναι τοῖς θεράπουσιν,

32. μετρίως ποιῶν, ἀλλὰ μὴ προθύμως] Ἀλλὰ μή est fortiter negantis, neutiquam, minime. Sensus est: »Si ita, ut nihil contra praestationes dici posset, nunquam studiose, ita ut laudem mererer, officia praestitissem.« Marklandus, qui pro μή-καί scribendum censebat, sententiam non solum non percepit, sed pervertit.

ταῦτα μὲν — ταῦτα δὲ] Idem pronomen de diversis rebus paullo negligentius positum esse negari non potest. Propterea tamen facile condonandum, quod ipsa enuntiatio omnem ambiguitatem tollit.

34. ἤμην] Phrynich. p. 152. ἤμην εἰ καὶ εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις, οὐκ ἐρεῖς, ἀλλ᾽ ἦν ἐγώ. Raros esse certos apud antiquos locos monuit ibi Lobeckius.

παραδοῦναι βασανίζειν] Antequam res in judicium adduceretur, ut aut actori de veritate constaret, isque ab actione desisteret, aut judicio statim indicari posset, quid δοῦλοι βασανιζόμενοι professi fuerint.

ἰσχυρότερον γενέσθαι τῶν τούτου λόγων καὶ τῶν ἔργων τῶν ἐμῶν] Sensus est: »existimans certius fore, quid de illius sermone et de meis factis habendum sit.« Ex opposito quidem; vere enim existimabat ex servorum testimoniis fore, ut appareret vanitas eorum, quae actor mentitus sit, et veritas eorum, quae reus se fecisse affirmet. Bekkerus pro ἰσχυρότερον fortasse legendum censet ἰσχυρότατον, nec negari potest aptiorem esse superlativum, qui saepissime a librariis confusus est cum comparativo.

www.libtool.com.cn

ἐμοὶ δὲ δοκεῖ εἶναι, εἰ περὶ αὑτῶν μὲν οἱ βασανιζόμενοι κατηγοροῦσιν, εὖ εἰδότες, ὅτι ἀποθανοῦνται· περὶ δὲ τῶν δεσποτῶν, οἷς πεφύκασι κακονούστατοι, μᾶλλον ἂν ἕλοιντο ἀνέχεσθαι βασανιζόμενοι ἢ κατει-
36 πόντες ἀπηλλάχθαι τῶν παρόντων κακῶν; καὶ μὲν δή, ὦ βουλή, φανερὸν οἶμαι εἶναι, ὅτι, εἰ, Νικομάχου ἐξαιτοῦντος τοὺς ἀνθρώπους, μὴ παρεδίδουν, ἐδόκουν ἂν ἐμαυτῷ ξυνειδέναι· ἐπειδὴ τοίνυν, ἐμοῦ παραδιδόντος, οὗτος παραλαβεῖν οὐκ ἤθελε, δίκαιον καὶ περὶ τούτου τὴν αὐτὴν γνώμην σχεῖν· ἄλλως τε καὶ
37 τοῦ κινδύνου οὐκ ἴσου ἀμφοτέροις ὄντος. περὶ ἐμοῦ μὲν γὰρ εἰ ἔλεγον, οὐδ᾽ ἂν ἀπολογήσασθαί μοι ἐξεγένετο· τούτῳ δ᾽ εἰ μὴ ὡμολόγουν, ἃ οὗτος ἐβούλετο, οὐδεμιᾷ ζημίᾳ ἔνοχος ἦν. ὥστε πολὺ μᾶλλον τοῦτον παραλαμβάνειν ἐχρῆν ἢ ἐμὲ παραδοῦναι προσήκει.

35 δίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν, εἰσόμενοι, τίνα γνώμην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν ὑμέτεροι ὄντες πολῖται μαθόντες ἄπιασιν, ὅτι ἢ δίκην δώσουσιν ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ τὸ ἴσον ὑμῖν ἕξουσιν. ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται, πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων, ἢ δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσουσιν, ἦπου σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τειρομένους.
36 οὔκουν δεινόν, εἰ τοὺς μὲν στρατηγούς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ᾽ ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ παρ᾽ ἐκείνων δίκην λαβεῖν· τούτους δὲ δή, οἳ ἰδιῶται μὲν ὄντες καθ᾽ ὅσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι

34. *ὡμολόγηκεν*] Sic ex utroque cod. Bekkerus pro vulgato *ὡμολόγησεν*. Sermo est de eo, quod modo concessit Eratosthenes; non narrantis est in genere.

35. *τειρομένους*] Emendatio Canteri pro lectione librorum *τηρομένους*.

36. *ὅτι διὰ χειμῶνα*] Sic Bekkerus ex cod. pro vulgato *ὅτε δ. χ.*
*τεθνεώτων*] Sic unus Bekkeri; alter *τεθνεότων*, pro vulgato *τεθνειότων*. Illud Lysiae ubique restituendum esse recte judicavit Reisk. Ex codd. enim ubique restitutam vidi eam formam a Bekkero, ubi ante altera vulgabatur.

*ἀπεψηφίσασθε;*] Recte hoc solum vocabulum constituit interrogationem, et, quod monet Marklandus deesse *ἄν*, id supplendum, ut docet Excursus IV. Neque opus cum Reiskio addere responsionem *οὔ*. Omittitur enim ea saepe, ubi ex toto contextu clara est.

*διαψήφισιν*] *Διαψήφισις* proprie est disquisitio atque suffragium, quo praejudicabatur, utrum is, qui postulabatur, criminis sit reus: quo facto judicibus juratis tradebatur. Hic dicitur praejudicium reus ipse fecisse.

35. *ἦπου σφᾶς αὐτοὺς ἡγήσονται περὶ ὑμῶν τειρομένους*] Opinabuntur opus se operatum acturos, si se pro vobis vexari patiantur.

ναυμαχοῦντας, ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν,
ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους
ἀποκτιννύναι, οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας
ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι;
Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ἠξίουν ἱκανὰ 37
εἶναι τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι
κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια
εἰργάσθαι. ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα
παρ' αὐτῶν λαβεῖν. ὥστ' οὐκ οἶδ', ὅ τι δεῖ πολλὰ κα-
τηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου
τῶν πεπραγμένων δὶς ἀποθανόντες δίκην δοῦναι δύ-
ναιντ' ἄν. οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ προσήκει 38
ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστίν, πρὸς
μὲν τὰ κατηγορημένα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ
σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν
ἀποδεικνύντες, ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς
πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες,
ἢ πόλεις, πολεμίας οὔσας, φίλας ἐποίησαν. ἐπεὶ κε- 39
λεύετε αὐτὸν ἀποδεῖξαι, ὅπου τοσούτους τῶν πολε-
μίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν, ἢ ναῦς ὅπου
τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδοσαν, ἢ πόλιν
ἥντινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ἡμετέραν
κατεδουλώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύ- 40

ὑφ' ὑμῶν] Sic Bekkeri liber pro vulgato ἀφ' ὑμῶν; indicatur enim caussa efficiens. Conferantur nostra ad Aeschinem in Ctes. c. 30.

38. κατηγορημένα] Sic Bekkeri liber pro vulgato κατηγορούμενα.

39. παρέδοσαν] Bekkerus ex utroque codice pro vulgato παρέδωκαν. Lysiae hic est usus, ut verbi δίδωμι et compositorum aoristum 1. adhibeat in singulari omnium personarum, et aoristum 2. in plurali, item omnium personarum, praeter locum ὑπὲρ τῶν Ἀριστοφ. χρ. §. 7. p. 616. ubi omnes codd. tuentur ἀπέδωκαν.

36. οὐκ ἄρα χρὴ] Vide Excursum V.

38. λέγοντες ἐνίοτε ἐξαπατῶσιν] Vide Excursum V.

39. οἵαν τὴν ἡμετέραν κατεδουλώσαντο] Breviter hoc dictum sic intelligendum: οἵα ἐστὶν ἡ ἡμετέρα, ἣν κατεδ. Ἡμετέραν autem noli mutare in ὑμετέραν ea de caussa, quod Lysias sit μέτοικος, non πολίτης. Abripitur orator, qui quae bono civi praestanda erant, studiose se praestitisse vere praedicaverat, ut, quum de urbis calamitate sermo sit, se ipsum etiam includat in eorum numerum, quos misereat patriae.

λεύσαν, ὥσπερ ὑμῶν ἀφείλοντο· ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν; οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμῖν ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, ἀλλ' οἷς αὐτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι.

41 Πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν· πλὴν ὅταν ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστὶν αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι καὶ
42 τοὺς τοιούτους ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττεν. καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

43 Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταί-

40. ἀλλ' οἷς αὐτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι] Taylor conjicit: ἀλλ' ὅτι αὐτοῖς cet. Non percepit Lysiae mentem. Negari quidem non potest Lacedaemonios in eo perseverasse, ut τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ destruerent, sed Lysias hoc vult, nec gravissimum hoc nec alia minus gravia ea de caussa fecisse reum, quod instarent Lacedaemonii, sed quod suae ipsius dominationi opportunum esset. Pergit igitur ad sententiam, quam hanc in animo habebat: καὶ ὑμῖν ἐδήλωσαν πράττοντες πάντα, οἷς αὐτοῖς cet.

41. τοὺς τοιούτους] i. e. τοὺς κακὰ ἐργαζομένους.

43. ἡ ναυμαχία καὶ ἡ συμφορά] Saepe a Lysia ναυμαχία illa ad Aegospotamos ipsa appellatur ἡ ἐν Ἑλλησπόντῳ συμφορά; hic tamen quum ναυμαχία suo nomine appelletur, per συμφοράν intelligo calamitatem, quae Athenienses superbia et importunitate triginta virorum opprimebat, quae item originem habebat in fatali illa pugna navali.

πέντε ἄνδρες ἔφοροι] Horum ceteroqui nulla fit mentio. Videtur fuisse consilium, quod ad Lacedaemoniorum arbitrium res Athenarum publicas instrueret et ordinaret. Ἑταῖροι videtur collegii nomen eorum, qui prae ceteris Lacedaemoniorum partibus studebant, iidem qui paullo post συνωμόται appellantur, quorum ἄρχοντες οἱ πέντε ἔφοροι, qui

www.libtool.com.cn

ρων, συναγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυ- 44
λάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν, καὶ ὅ τι δέοι χειροτονεῖσθαι καὶ οὕστινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν, οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε, ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσαισθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. τοῦ- 45
το γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων, δυνήσονται. καὶ ὑμᾶς ἡγοῦντο, τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας 46
ὑμῖν παρέξομαι οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην), ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας. καίτοι εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐ- 47
τῶν, καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημά-

44. ὅπως-ψηφίσαισθε] Sic unus Bekkeri pro vulgato ψηφίσεσθε. alter ψηφίσησθε. Ψηφίσεσθε verum esse non potest. Attici enim verborum polysyllaborum in ίζομαι futurum non formant in ίσομαι, sed in ιοῦμαι, aoristum autem in ισάμην; et quae vitiosa adhuc in Lysia residebant, a Bekkero ex codd. correcta sunt. κατ' Ἀγορ. §. 93. fin. ubi quum vulgo legeretur καταψηφίσεσθε, quod medium inter praesentia jam per contextum rejiciebatur, Bekkerus ex utroque cod. scripsit καταψηφίζεσθε. κατ' Ἀλκιβ. A. §. 47. καὶ τούτων μεμνημένοι ψηφιοῦνται τὰ δίκαια Bekkerus ex C. pro vulgato ψηφίσονται. Eodem modo, si qui erant alii loci, restituti.

Itidem συναγωγεῖς τῶν πολιτῶν vocantur, opinor, qui habent comitia parum, credo, frequenter et nonnisi de rebus levibus, quippe quum graves sua auctoritate moderarentur, fortasse ne totum quidem convocabant populum, sed eos cives, quos norant faciles se habituros assentatores.

44. ἐπὶ τὰς φυλακὰς] In custodiam eorum locorum, quae maximi erant momenti, si quis repente vellet tumultum excitare, et unde obsiderent urbem.

46. οὐ γὰρ ἂν δυναίμην] Non certo affirmaverim, cur se posse neget. Non improbabile est neminem sociorum posse produci, quoniam eorum nemo tunc temporis supererat. Fortasse etiam triginta viri jurejurando se obstrinxerant neminem quinque ephororum indicare seu contra eum testari.

47. αὐτῶν] τῶν πέντε ἐφόρων. Subjectum ad κατεμαρτύρουν sunt οἱ τριάκοντα.

τῶν σφόδρα ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους, εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω, τοὺς δὲ μάρτυράς μοι κάλει. καὶ ὑμεῖς ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ.

48 Τῶν μὲν μαρτύρων ἀκηκόατε. τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν· καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθός, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ Βάτραχος καὶ Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ.
49 καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες. ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες;

50 Ἴσως δ' ἂν ἔχοι εἰπεῖν, ὅτι ἐδεδοίκει, καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται. ὅπως τοίνυν μὴ φανήσεται

48. *ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι*] Sic liber Bekkeri pro vulgato *ἀλλὰ τἀληθῆ ὑπὸ* cet. quam simplicissimam correctionem Des. Heraldus conjectura assecutus erat.

50. *ἱκανὸν ἔσται. ὅπως τοίνυν*] Sic Bekkerus ex utroque codice pro vulgato *ἱκανὸν ἔσται, ὅπως τι.* Post *ἔσται* recte plena inter-

48. *ἄλλων δὲ πολλῶν*] Ἄλλος h. l. vi oppositionis significat malus. Ἕτερος hac significatione frequentius est, nec tamen *ἄλλος* inusitatum. Quod hoc loco dubitationem facit, est, quod hic non euphemistice velit loqui, sed clara et rem aperte notantia contra adversarium sint aptiora. Hinc non celandum, quod Marklandus conjecit *κακῶν*, a Bekkero in optimo libro inventum esse. Videtur tamen nonnisi glossa. Vir doctus in Museo Attico propius ad litteras conjecit *ἀδίκων*. Non ausim tamen vulgatam mutare.

*ὅτι ψευδεῖς εἶεν*] Hic est optativus, quoniam certa vanitatis argumenta accuratae rerum disquisitioni relinquuntur. In sequenti autem indicativus *μηνύουσιν*, quoniam hoc certo pronuntiare licebat.

ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μή,
ἐνταῦθα δῆλος ἔσται, ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ
τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν
παθεῖν ὑπ' αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας
σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ
Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν· ἀλλ' οὗτος 51
τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέ-
ρους ἐχθροὺς φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολ-
λοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους
διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γιγνομέ-
νας, ὁπότεροι ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρ-
ξουσι. καὶ γὰρ εἰ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, 52
ποῦ κάλλιον ἦν ἀνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυ-
λὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὑτοῦ συν-
ουσίαν; ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι, ἢ πρᾶξαι
ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρ-
χόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε τριακοσίους τῶν
πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ
αὐτῶν ἁπάντων θάνατον κατεψηφίσατο. ἐπειδὴ δὲ εἰς 53

punctio posita est. ὅπως μὴ apud Atticos scriptores frequens est, omisso, unde pendeat, σκεπτέον, φοβητέον, similive vocabulo. Sensus est: metuendum esse, ne appareat eum verbo, dicis caussa, non re et serio se opposuisse importunitati triginta virorum, aut si non hoc, certe dubitationi non obnoxium fore ei hanc triginta virorum agendi rationem placuisse, et tantum eum auctoritate potuisse, ut nihil quicquam ipsi ab iis timendum esset.

52. καὶ γὰρ εἰ] Εἰ primus addendum vidit Canterus. Memorandum tamen, quod optimus Bekkeri liber, qui, ut ceteri, conjunctionem omittit, in seqq. habet ποῦ δέ, ut enuntiatio καὶ γὰρ --- ἐστασίαζον videri possit esse objectio adversarii, ad quam respondet jam forma interrogativa ποῦ δὲ κάλλιον ἦν, in quo ἄν, quod vulgo post κάλλιον erat, auctoritate ejusdem cod. Bekkerus omisit.

52. τὴν αὑτοῦ συνουσίαν] Συνουσία videtur h. l. vocabulum euphemisticum de partibus in republica conjunctis. Certe αἱ συνουσίαι dicebantur circuli, in quibus aut de republica disputaretur aut de philosophia sermo haberetur. Conjectura εὔνοιαν non probanda.

Ἐλευσῖνάδε] Triginta viri, quum jam periclitaretur eorum tyrannis, Eleusina sibi paraverunt perfugium; civesque ejus urbis dolo abreptos interfecerunt, et quidem μιᾷ ψήφῳ, quum κατὰ τὸ Καννώνου ψήφισμα ἰσχυρότατον oporteret διειλημμένους τοὺς κρινομένους ἀπολογεῖσθαι. Cf. Schneiderum ad Xenoph. Hellen. I. 7, 21. Occupationem Eleusinis per triginta viros narrat Xenophon. Hellen. II. 4, 8.

www.libtool.com.cn

τὸν Πειραιᾶ ἤλθομεν, καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν, καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίγνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι, ὡς ἀμφότεροι ἔδοξαν. οἱ μὲν γὰρ ἐκ Πειραιῶς, κρείττους
54 ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες τοὺς μὲν τριάκοντα ἐξέβαλον, πλὴν Φείδωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φι-
55 λεῖσθαι. τούτων τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος καὶ Ἱπποκλῆς καὶ Ἐπιχάρης ὁ Λαμπρεὺς, καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ τοῖς ἐξ ἄστεος
56 ἐποίησαν. ᾗ καὶ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον, οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπουν, οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι
57 καὶ θᾶσσον πλουτοῦντες. λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν, τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις καὶ ὑμῖν πάντα κακὰ πεπον-

56. τεθνεῶτες] Vulgo τεθνειότες.

53. εἴασαν αὐτοὺς ἀπελθεῖν] concesserunt eos salvos discedere. Nam (ut tradit Cornelius Nepos Thrasyb. II. 6.) Thrasybulus cedentes violari vetuit. Cives enim civibus parcere aequum censebat. Neque quisquam est vulneratus, nisi qui prior impugnare voluit. Incolumes igitur in urbem redibant. Qui quum rediissent, et restituere eos, qui in Piraeo erant, sincera mente vellent, ejecerunt triginta viros praeter Phidonem et Eratosthenem, decem delegerunt, Critiae et Charicli, qui, dum vivebant, crudelissimi erant triginta virorum, inimicissimos, sperantes hos aequissimos fore in procuranda omnium civium felicitate sine ira et studio.

54. ἄρχοντας] Δέκα erant numero, ἕνα ἀπὸ φυλῆς, teste Xenophonte Hellen. II. 4, 24., quos appellare possis decemviros reipublicae constituendae.

55. ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ τοῖς ἐξ ἄστεος] Notanda constructionis variatio; primum ἐπί cum accusativo, ut indicetur animus inimicus, quo tumultus sit excitatus contra eos in Piraeo, tum simplex dativus, quo significatur nec in favorem eorum, qui erant in urbe, rem esse factam.

www.lbtool.com.cn

θόσι. καίτοι τοῦτο πᾶσι δῆλον ἦν, ὅτι, εἰ μὲν ἐκεῖ-
νοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως, εἰ δ' ὑμεῖς ἀδί-
κως, οἱ τριάκοντα δικαίως· οὐ γὰρ δι' ἑτέρων ἔργων αἰ-
τίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων.
ὥστε σφόδρα χρὴ ὀργίζεσθαι, ὅτι Φείδων αἱρεθεὶς 58
ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν τῶν αὐτῶν ἔργων Ἐρα-
τοσθένει μετεῖχε καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν κρείττους
αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν δὲ ἀδί-
κως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν,
ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα ἔπειθεν αὐτοὺς στρατεύ-
σασθαι, διαβάλλων, ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ
ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. οὐ δυνάμενος 59
δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων,
εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανεί-
σατο, ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι. καὶ Λύσαν-
δρον ἄρχοντα ᾐτήσατο, εὐνούστατον μὲν ὄντα τῇ ὀλι-
γαρχίᾳ, κακονούστατον δὲ τῇ πόλει, μισοῦντα δὲ μά-
λιστα τοὺς ἐν Πειραιεῖ. μισθωσάμενοι δὲ πάντας ἀν- 60
θρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγον-
τες, καὶ τελευτῶντες Λακεδαιμονίους καὶ τῶν συμμά-
χων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀ-
πολέσαι παρεσκευάζοντο τὴν πόλιν· εἰ μὴ δι' ἄνδρας
ἀγαθούς, οἷς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δί-
κην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. ταῦ- 61
τα δὲ ἐπίστασθε μὲν καὶ αὐτοί, καὶ οἶδ' ὅτι οὐ δεῖ
μάρτυρας παρασχέσθαι· ὅμως δ'· ἐγώ τε γὰρ δέομαι
ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλεῖστον τοὺς
αὐτοὺς λόγους ἀκούειν.

58. στρατεύσασθαι.] Vulgo στρατεύεσθαι.
59. ἵνα ἔχῃ] Vide Excurs. I.

58. *Βοιωτῶν*] Thebanorum nempe. Quoniam Thrasybulus ejusque solitudo jam ab initio ab his auxilium acceperat, commeatu imprimis, opinor, et pecunia.

60. *εἰ μὴ δι' ἄνδρας ἀγαθούς*] *Εἰ μή* est formula inhibitionem indicans, et *διά* cum accusativo vel personae vel rei caussam inhibentem indicat. Demosth. *κατ' Ἀριστοκρ.* p. 680. l. 26. *ψήφισμα τοιοῦτόν τι παρ' ὑμῶν εὕρετο, ἐξ οὗ, κυρωθέντος ἄν, εἰ μὴ δι' ὑμᾶς καὶ ταύτην τὴν γραφὴν, ἠδίκηντο φανερῶς οἱ δύο τῶν βασιλέων.*

## ΜΑΡΤΥΡΕΣ.

www.libtool.com.cn

62 Φέρε δὴ καὶ περὶ Θηραμένους ὡς ἂν δύνωμαι
διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι
ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. καὶ μηδενὶ τοῦτο
παραστῇ, ὡς, Ἐρατοσθένους κινδυνεύοντος, Θηραμένους κατηγορῶ. πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσασθαι αὐτόν, ὅτι ἐκείνοις φίλος ἦν, καὶ τῶν αὐτῶν
63 ἔργων μετεῖχε. καίτοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ
Θεμιστοκλέους πολιτευόμενον προςποιεῖσθαι πράττειν,
ὅπως οἰκοδομηθήσεται τὰ τείχη, ὁπότε καὶ μετὰ Θηραμένους, ὅπως καθαιρεθήσεται. οὐ γάρ μοι δοκοῦσιν ἴσον ἄξιοι γεγενῆσθαι. ὁ μὲν γὰρ Λακεδαιμονίων
ἀκόντων ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πολίτας ἐξα-
64 πατήσας καθεῖλε. περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους προςαπολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων. νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥςπερ πολλῶν ἀγαθῶν

62. Φέρε δὴ] Δὴ obtulit cod. pro δέ; et in sequenti idem ὡς ἂν δύνωμαι pro ὡς δύνωμαι.

ὅτι ἐκείνοις φίλος ἦν] Taylor mavult ἐκείνῳ, ut Theramenes intelligatur: quod si in codd. esset, simplicissimum foret et contextui aptissimum. Contra libros tamen nihil mutandum. Per pluralem intelligitur Theramenes cum asseclis, cum civibus, qui eadem sentiebant.

63. ἴσον] Sic uterque codex pro vulgato ἴσον: quod si non ex his codd. correctum esset, scribendum erat ex Marklandi emendatione ἴσων.

62. μηδενὶ τοῦτο παραστῇ] nemo opinetur. Locutionem illustrat Dorville ad Charit. p. 438. Lips.

ὡς, Ἐρατοσθένους κινδυνεύοντος, Θηραμένους κατηγορῶ] Me accusare Theramenem ea nonnisi de caussa, quia res Eratosthenis agatur; Therameni me culpam ideo tantum tribuere, quod Eratosthenem, qui se amicum Theramenis et ὁμαγνώμονα profiteatur, culpa liberare nolim. Nempe post violentam Theramenis mortem plerorumque civium animi erant mutati, eumque servatorem patriae habere coeperunt, ut est mutabile vulgus, et solet efferre laudibus mortuos, quos vivos detestatus erat.

63. ὁπότε καὶ μετὰ Θηραμένους] Supplendum ex antecedente ἔπραξεν, non περιεποιήσατο πράττειν.

αἰτίου, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένου. ὃς πρῶ- 65
τον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο,
πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέ-
σθαι. καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν
ταὔτ' ἔπραττεν, αὐτὸς δὲ, δοκῶν εὐνούστατος εἶναι
τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτοῦ ᾑρέθη. καὶ ἕως 66
μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν· ἐπει-
δὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους
ἑώρα πραοτέρους αὐτοῦ γινομένους, τὸ δὲ ὑμέτερον
πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤ-
δη διά τε τὸν πρὸς ἐκείνους φθόνον καὶ τὸ παρ' ὑ-
μῶν δέος μετέσχε τῶν Ἀριστοκράτους ἔργων. βουλό- 67
μενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀν-
τιφῶντα καὶ Ἀρχεπτόλεμον, φιλτάτους ὄντας αὑτῷ,
κατηγορῶν ἀπέκτεινεν. εἰς τοσοῦτον δὲ κακίας ἦλθεν,
ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατε-
δουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους ἀπώ-
λεσεν. τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, αὐ- 68
τὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς ἀπώλεσε,

64. *αἰτίου — γεγενημένου*] Sic correxit de suo Bekkerus accusativum pluralis librorum. De uno nonnisi sermo esse potest Theramene, cujus merita alii etiam sibi vindicare studebant, ut invidiam, quae post exactos triginta viros eorum asseclas premeret, evitarent.

66. *γινομένους*] Hoc obtulit uterque codex pro vulgato *γενομένους*. Praesens verum, quod ostendit, quales se gerant eo ipso tempore, de quo sermo est.

65. *τῶν προβούλων*] Intelligit eos, quos Thucydides VIII. 67. appellat *ξυγγραφέας αὐτοκράτορας*, decemviros cum summa potestate legibus conscribendis praefectos, *οἳ ξυγγράψουσι τοὺς νόμους, καθ' οὓς πολιτεύσονται*. Hi etiam *πρόβουλοι* appellabantur, ut patet ex nostro loco et Harpocratione s. v. *συγγραφεῖς*.

66. *πραοτέρους*] humaniores, minus importunos.

*τούτων*] patris et ipsius.

67. *Ἀντιφῶντα*] Antiphon Rhamnusius, celeberrimus suae aetatis orator, tristissimum fatum expertus est, auctore, si fides Lysiae, Theramene. Poena enim ipsi constituta erat, ut undecim viris traderetur, bona ejus publicarentur, aedes solo aequarentur, titulo in aedium area posito: *Antiphontis proditoris*. Van Spaan Dissertatio de Antiphonte, oratore Attico p. 818, T. VII. R.

68. *αὐτὸς*] Bis positum varia significatione. Primo loco est sponte sua, nemine postulante, jubente; altero sua dementia et fraude. [Num *αὐτὸς* fortasse utroque loco solus significat? F. J.]

www.libtool.com.cn

φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ εἰρήνην ποιήσειν μήτε ὅμηρα δοὺς μήτε τὰ τείχη καθελὼν μήτε τὰς ναῦς παραδούς. ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ
69 πιστεύειν. ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰδότες δὲ, ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων εἵνεκεν τἀπόῤῥητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὑτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ', ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα καὶ παῖδας καὶ γυναῖ-
70 κας καὶ ὑμᾶς αὐτούς. ὁ δὲ ὧν μὲν ὑπέσχετο οὐδὲν ἔπραξεν, οὕτω δὲ ἐνετεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν. ὥςτε περὶ ὧν οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι· οὐχ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι, εὖ εἰδὼς, ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖ-
71 σθε. καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταί, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη,

69. εἵνεκεν] Vide Excurs. VI.

ταῦτα δὲ εἰπεῖν] Ταῦτα, qua ratione pacem sit conciliaturus, qua vel prudentia vel calliditate; dicens tantum, quales conditiones concessurus non sit, nolebat disertis verbis eloqui, quid fieri operteret pro concilianda pace.

69. πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν] Πραττούσης videtur conatum significare.

70. αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος] Haec est hyperbole rhetorica. Ut enim historia docet et rerum quae tunc erat conditio, id agebatur, utrum essent Athenienses, an facerent, quae juberentur. Pauci erant, qui perire malebant, quam imperata facere.

71. ὑπ' αὐτοῦ ἐτηρήθη] Negari nequit consulto Theramenem tempus duxisse, ut aut pacis conditiones ineundae, aut certa mors oppetenda esset Atheniensibus; sed non celandum post cladem Aegospotamensem socios Lacedaemoniorum exitio Athenarum inhiasse, et nisi se Lacedaemonii opposuissent, Athenas futuras

www.libtool.com.cn

καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς
ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατό-
πεδον. τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόν- 72
των Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου,
περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν, ἵνα μήτε
ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο μήτε ἀπειλοῖτο, ὑμεῖς
τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκεί-
νοις δοκοῦντα ψηφίσαισθε. ἀναστὰς δὲ Θηραμένης 73
ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πό-
λιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν Δρακοντίδης ἀπέ-
φαινεν. ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι, ἐθο-
ρυβεῖτε, ὡς οὐ ποιήσοντες ταῦτα. ἐγιγνώσκετε γάρ,
ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
ἐκκλησιάζετε. Θηραμένης δέ, ὦ ἄνδρες δικασταί, 74
(καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι) εἶ-
πεν, ὅτι οὐδὲν αὐτῷ μέλοι τοῦ ὑμετέρου θορύβου,
ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια
πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακε-
δαιμονίοις λέγοι. μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς
ἄλλα τε πολλὰ εἶπε, καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι,
καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας
[ὁ λόγος], εἰ μὴ ποιήσαιθ' ἃ Θηραμένης κελεύοι. τῶν 75

73. *ἀπέφαινεν*] Reiskius scripserat *ἀπέφηνεν* e cod. Vindob. Sed imperfectum, quod est in ceteris codd., aptius, quoniam eo ipso tempore Dracontides civitatis formam ferebat.

74. *ἀλλὰ περὶ σωτηρίας* [*ὁ λόγος*] *Ὁ λόγος*, quod in se quidem non damnandum, ab utroque tamen codice abest; nec improbabile a grammatico id additum esse. *Ἔστι περὶ τούτου* absolute est haec res agitur, vel etiam Latine de hac re agitur.

non fuisse. In Theramene autem vigebat opinio tempori cedere, id est necessitati parere, sapientis esse. Hinc rem eo perduxit, ut fame defatigati cederent tandem. Quae ratio si non erat viri vere fortis, nos ei facile condonabimus, non immemores, quot et qualia monumenta per exitium Athenarum in illo momento cum maxima nostra jactura interciderint et quam grave exemplum posteris sit Graecia et Athenarum civitas aetate Philippi et Alexandri.

*μετεπέμψατο*] Cf. *ὑπὲρ Καλλ.* §. 1.

72. *μήτε ἐναντιοῖτο μήτε ἀπειλοῖτο*] *Ἐναντιοῦσθαι* facta respicit, *ἀπειλεῖσθαι* verba. Sic dubia cadunt, quibus se implicuit vir doctus in Museo Attico.

www.fbtool.com.cn

ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν εἶχον, οἱ δὲ ᾤχοντο ἀπιόντες, τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο· ὀλίγοι δέ τινες, καὶ πονηροὶ καὶ κακῶς
76 βουλευόμενοι, τὰ προσταχθέντα ἐχειροτόνησαν. παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν, οὓς Θηραμένης ἀπέδειξε, χειροτονῆσαι, δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων. οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων καὶ τὴν αὑτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκ-
77 κλησίᾳ πραχθήσεσθαι. ταῦτα δὲ οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ. πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν· ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν, φροντίζων δὲ τῶν Λακεδαιμονίων, ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ αὐτὸς αἴτιος γεγενημένος, τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτοῖς ἔργῳ δεδω-

75. ἡσυχίαν εἶχον] Sic unus cod. pro vulgato ἡσ. ἦγον. Saepe hae locutiones sunt confusae. Si quod sit inter utramque discrimen, opinor ἡσυχίαν ἔχειν de eo dici, qui, quamquam ipse non sit pronus ad tranquillitatem, sed libenter se moveat, tamen temporis et loci esse judicat se ipsum retinere et otiosum esse; ἡσυχίαν ἄγειν de eo, qui sponte sequitur tranquillitatem, et gaudet, si ejus otium non interpellatur, vel in genere de eo, cujus otium nulla re nec externa, nec interna turbatur.

★ 77. φροντίζων δὲ τῶν Λακεδαιμονίων] Vulgo οὐδὲν φρ. cet. Sed Bekkerus auctoritate optimi cod. recte delevit οὐδέν. Quod si omnes codd. tenerent, jam collocatio particulae δέ dubitationem moveret; nec credibile est Theramenem in apologia contemtum erga Lacedaemonios ostendisse: quod nec temporis erat nec loci. Et quamquam Xenophontem non opinor ipsa Theramenis verba, quibus usus sit, conservasse, tamen sententias videtur expressisse, aut saltem non iis contraria posuisse. Ex ea autem apologia maxime patet cum φροντίσαι τῶν Λακεδαιμονίων.

76. Hic locus per partes docet, quo modo triginta viri sint creati, quum Xenophon breviter non nisi dicat Hellen. II. 3, 2. ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι.

lege φροντισάντων Λακεδαιμονίων — Dobree, p. 219

πῶς, καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. τοσούτων 78
οὖν καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ καὶ μικρῶν καὶ μεγάλων αἴτιοι γεγενημένοι τολμήσουσιν αὐτοὺς φίλους ὄντας ἀποφαίνειν, οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὑτοῦ πονηρίας, καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος (ἤδη γὰρ αὐτὴν κατέλυσε), δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν, καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς.

Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοί ἐστι τὰ 79
κατηγορημένα. ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρός, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τουτουῒ συναρχόντων δίκην λαμβάνειν, μηδὲ μαχομένους μὲν κρείττους εἶναι τῶν πολεμίων, ψηφιζομένους δὲ ἥττους τῶν ἐχθρῶν. μηδ' ὧν φασι μέλλειν πράξειν πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀ- 80
ποῦσι μὲν τοῖς τριάκοντα ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολο- 81

78. τοσούτων οὖν] Vulgo: καὶ τοσούτων, cui illud vel ob euphoniam praeferendum, et particula οὖν multo aptior, quum ad finem ea, quae de Theramene copiosius exposita erant, pauca complectatur et concludat.

79. δίκην λαμβάνειν] Vulgo δίκην λαβεῖν. Praesens praeferendum, quum de multis sermo sit, a quibus poena sumenda.

μηδὲ μαχομένους μὲν] Quod addendum censebat Reiskius μέν, addidit Bekkerus, non tamen in libris inventum, sed de conjectura; atque etiam ego opinor negligentes potius librarios particulam emisisse, quam accuratum Lysiam.

78. ἤδη γὰρ αὐτὴν κατέλυσε] Quatenus scilicet in ipso erat, improbans ea, quae ceteri faciebant, ut oligarchiam corroborarent. Saepe autem verba, quae effectum proprie indicant, non- nisi conatum, qui pro rerum conditione agebat, indicant.

τῷ καλλίστῳ ὀνόματι] Πατρίδος καὶ δῆμου similiumque, quae in ore gerentes demagogi verba dant populo.

www.libtool.com.cn

γίας ἀνοίσει, καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ὁ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει. οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γινομένων· ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολο-
82 γίαν καθέσταμεν. καίτοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀπέκτειναν ἀκρίτως, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν· παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι, λάβοιτε. τί γὰρ ἂν παθόντες, δίκην τὴν ἀξίαν εἴησαν
83 τῶν ἔργων δεδωκότες; πότερον, εἰ αὐτοὺς ἀποκτείνοιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτους ἀπέκτειναν; ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσετε, καλῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας
84 ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτῶν οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν ἀπολιπεῖν, ἥντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν; πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅςτις νυνὶ οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονη-

82. *ἀπέκτειναν ἀκρίτως*] Hanc verborum collocationem obtulit cod. pro vulgato *ἀκρίτως ἀπέκτειναν*, et haud scio an Bekkerus indicare voluerit adverbium *ἀκρίτως* in hac phrasi nonnisi tum locum habere, quum verbo sit postpositum et potior vis insit in verbo. Nam §. 83., ubi item vulgo legitur *ἀκρίτως ἀπέκτειναν*, Bekkerus ex eodem libro dedit *ἀκρίτους*, quia jam vim inesse oportent in adjectivo.

83. *δημεύσετε*] Vide Excurs. VII.

84. *ἐπειδὴ - - - οὐκ ἂν δύναισθε λαβεῖν*] De suo scripsit Bekkerus *δύναισθε* pro librorum lectione *δύνησθε*: vere, opinor. De re enim sermo est, quae ponitur, non quae futura spectatur. Quod autem Reiskius post *λαβεῖν* addendum censet *ἱκανήν*, eo non opus videtur. Locutio enim emphatice est accipienda: a qua ratione nimium abhorrebat Reiskius, quum tamen in sono et viva actione multum insit, quod eam auditoribus prodat.

81. *τῶν γινομένων*] Praesens participii ponitur, ut ea, quae fiebant, multa fuisse significentur, non una aliqua res.

www.libtool.com.cn

φίας. τοσοῦτον δ' ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πε-
πίστευκεν. ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμου- 85
μένοις, ὅτι οὔτ' ἂν ἐκεῖνα δύναιντο ποιεῖν, μὴ ἑτέρων
συμπραττόντων, οὔτ' ἂν νῦν ἐπεχείρησαν ἐλθεῖν, μὴ
ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι, οἳ οὐ τούτοις
ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν
σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποι-
εῖν ὅ τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους
λαβόντες ἀφήσετε.

Ἀλλὰ καὶ τῶν συνερούντων αὐτοῖς ἄξιον θαυμά- 86
ζειν, πότερον ὡς καλοὶ κἀγαθοὶ αἰτήσονται, τὴν αὐ-
τῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας·
ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώ-
ζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι· ἢ ὡς δεινοὶ
λέγειν ἀπολογήσονται, καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια
ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ
τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν.

Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις 87
μαρτυροῦντες αὐτῶν κατηγοροῦσι, σφόδρα ἐπιλήσμο-

85. ἐλθεῖν] Sic unus liber pro vulgato ἰέναι. Ἐλθεῖν h. l. est verbum aptissimum de iis, qui prodeunt suam aut aliorum rem defensuri. Vidimus jam supra viros doctos hoc verbum in εἰσελθεῖν mutare voluisse.

86. τῆς πονηρίας] Bekkerus cum Marklando sine libris τούτων addidit, uncis quidem inclusum: τῆς [τούτων] πονηρίας. Primum enim πονηρία cum emphasi positum significare potest malitia, quae tota hac oratione uberius exponitur; et, si quid desit, difficile fuerit, ne dicam, impossibile, sine libris certi quid statuere; immo tentare jam audax.

ἀπολλύναι] Egregia Marklandi emendatio pro librorum lectione ἀποδοῦναι.

87. αὐτῶν in editione Bekkeri Berolinensi est error typographorum pro αὐτῶν.

84. τοσοῦτον δ' ὑμῶν cet.] Etiam me offendit h. l. particula δ', quae abesse solet in tali epiphonemate, vel non δὲ ponitur, sed δή, nec memini me legere similem locum.

86. πότερον ὡς καλοὶ κἀγαθοὶ αἰτήσονται] Num ipsi egregios se cives jactantes precibus eos deprecabuntur? Saepe hoc fiebat, ut amici judices implorarent suam virtutem suaque in rempublicam merita reo imputare.

www.libtool.com.cn

ὅτι τὰ ψηφίσματα τὰ ἐξ ἐκείνης τῆς βουλῆς οὐκέτι
εὐνοίᾳ τῇ ὑμετέρᾳ, ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ
ὑμετέρου ἅπαντα ἐλέγετο, καὶ ὡς τοιούτοις οὖσιν
21 αὐτοῖς τὸν νοῦν προσέχητε. εἰσελθὼν δὲ εἰς ταύτην
τὴν βουλὴν ἐν ἀποῤῥήτῳ Θεόκριτος μηνύει, ὅτι συλ-
λέγονταί τινες ἐναντιωσόμενοι τοῖς τότε καθισταμένοις
πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη αὐτῶν ἐρεῖν
καθ' ἕκαστον· ὅρκους τε γὰρ ὀμωμοκέναι τοὺς αὐτοὺς
ἐκείνοις, καὶ εἶναι ἑτέρους, οἳ ἐροῦσι τὰ ὀνόματα, αὐ-
22 τὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι ταῦτα. καίτοι εἰ μὴ ἐκ
παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ βου-
λὴ εἰπεῖν τὰ ὀνόματα Θεόκριτον καὶ μὴ ἀνώνυμον τὴν
μήνυσιν ποιήσασθαι; νυνὶ δὲ τοῦτο τὸ ψήφισμα ἐψη-
φίσατο.

ΨΗΦΙΣΜΑ.

23 Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κα-
τέρχονται ἐπὶ τὸν Ἀγόρατον εἰς τὸν Πειραιᾶ οἱ αἱρε-
θέντες τῶν βουλευτῶν, καὶ περιτυχόντες αὐτῷ ἐν ἀγο-
ρᾷ ἐζήτουν ἄγειν. παραγενόμενος δὲ Νικίας καὶ Νι-
κομένης καὶ ἄλλοι τινές, ὁρῶντες τὰ πράγματα οὐχ
οἷα βέλτιστα ἐν τῇ πόλει ὄντα, ἄγειν μὲν τὸν Ἀγόρα-
τον οὐκ ἔφασαν προήσεσθαι, ἀφῃροῦντο δὲ καὶ ἠγ-
24 γυῶντο καὶ ὡμολόγουν ἄξειν εἰς τὴν βουλήν. γραψά-

*καὶ ὡς τοιούτοις οὖσιν αὐτοῖς τὸν νοῦν προσέχητε*] Vulgo legebatur *οὐκ οὖσιν*. Sed negatio deest in optimo cod. Post *νοῦν* Reiskius de conjectura addidit *ἧσσον* idque retinuit Bekkerus sine auctoritate librorum: ego autem ejeci ut non necessarium. Haec enim notio satis inest in vocabulis *ὡς τοιούτοις οὖσιν*. *μή* codicis item scholiastae videtur explicatio vel additamentum.

21. *ποιῆσαι ταῦτα*] Perperam Marklandus vult *τοῦτο*. Nihil frequentius quam pluralem *ταῦτα* adhiberi de una re; et sane mirum toties Marklandum de mutanda lectione cogitasse.

21. *τοῖς τότε καθισταμένοις πράγμασι*] Significatur rerum publicarum qualis tunc erat conditio. Cf. Platner der Process. p. 53. not.

23. *ἐπὶ τὸν Ἀγόρατον*] i. e. ἐπὶ τὸ συλλαβεῖν τὸν Ἀγόρατον.

*ἀφῃροῦντο*] Hoc est verbum proprium de iis, qui se opponunt, ne quis in custodiam abripiatur.

*ἠγγυῶντο*] Hanc solam augmentationem in hoc verbo Atticis usitatam fuisse docet Lobeck ad Phryn. p. 155. Recentiores etiam scripserunt *ἐνεγυῶντο*: quae corruptio per librarios etiam codices optimorum scri-

www.libtool.com.cn

μενοι δὲ οἱ βουλευταὶ τὰ ὀνόματα τῶν ἐγγυωμένων καὶ
κωλυόντων, ἀπιόντες ᾤχοντο εἰς ἄστυ. ὁ δὲ Ἀγόρα-
τος καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν Μου-
νυχίασιν· ἐπειδὴ δὲ ἐκάθισαν, ἐβουλεύοντο, τί χρὴ
ποιεῖν. ἐδόκει οὖν τοῖς ἐγγυηταῖς καὶ τοῖς ἄλλοις
ἅπασιν ἐκποδῶν ποιῆσαι τὸν Ἀγόρατον ὡς τάχιστα,
καὶ παρορμίσαντες δύο πλοῖα Μουνυχίασιν ἐδέοντο 25
αὐτοῦ παντὶ τρόπῳ ἀπελθεῖν Ἀθήνηθεν, καὶ αὐτοὶ
ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγματα κατασταίη,
λέγοντες, ὅτι, εἰ κομισθείη εἰς τὴν βουλήν, βασανι-
ζόμενος ἴσως ἀναγκασθήσεται ὀνόματα εἰπεῖν Ἀθη-
ναίων ὧν ἂν ὑποβάλωσιν οἱ βουλόμενοι κακόν τι ἐν τῇ
πόλει ἐργάζεσθαι. ταῦτα ἐκείνων δεομένων καὶ παρα- 26
σκευασάντων πλοῖα, καὶ αὐτῶν ἑτοίμων ὄντων συνεκ-
πλεῖν, οὐκ ἠθέλησε πείθεσθαι αὐτοῖς Ἀγόρατος οὑ-
τοσί. καίτοι, ὦ Ἀγόρατε, εἰ μή τί σοι ἦν παρεσκευα-
σμένον καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι, πῶς οὐκ
ἂν ᾤχου, καὶ πλοίων παρεσκευασμένων καὶ τῶν ἐγγυη-
τῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν; ἔτι γὰρ οἷόν τέ
σοι ἦν, καὶ οὔπω ἡ βουλή σου ἐκράτει. ἀλλὰ μὲν δὴ
οὐχ ὅμοιά γε σοὶ καὶ ἐκείνοις ὑπῆρχε. πρῶτον μέν γε 27
Ἀθηναῖοι ἦσαν, ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι·

24. *ἐκάθισαν*] Bekkerus ex cod. pro vulgato *ἐκίνησαν*.

25. *ὑποβάλωσιν*] Obtulit idem cod. pro vulgato *ὑποβάλλωσιν*. Aoristus conjunctivi cum ὅς *ἄν*, *ὅταν* similibusque significationem habet futuri exacti.

ptorum haud raro invasit; cf. Rost. gr. Gr. §. 68. not. 1. Vades autem plerumque tres adesse oportebat; hic, nisi vim verbis facere velis, plures fuisse statuendum est.

24. *ἐπὶ τὸν βωμὸν Μουνυχίασιν*] In Munychia, quae pars erat Piraei, templum erat Artemidis, quo confugiebant trierarchi et nautae, qui se injuriam passos esse credebant, et in ara Artemidis considebant. Cf. Demosthenem *περὶ στεφ.* c. 31. p. 262.

25. *παρορμίσαντες δύο πλοῖα*] duo navigia in ancoris tenentes. Locutionem vindicavit et illustravit Dorville ad Chariton. p. 271. Lips.

*βασανιζόμενος*] Quia non erat civis Atheniensis, ne ingenuus quidem, sed *δοῦλος ἐκ δούλων*, in quos inquirebatur per tormenta.

27. *ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι*] Nonnisi psephismate per populum facto licebat in civem Atheniensem per tormenta inquiri. Cf. der Attische Process

www.libtool.com.cn

ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες ἕτοιμοι
ἦσαν συνεκπλεῖν μετὰ σοῦ, ἡγησάμενοι ταῦτα μᾶλλον
λυσιτελεῖν ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπὸ
σοῦ ἀδίκως ἀπολέσθαι. σοὶ δὲ πρῶτον μὲν κίνδυνος
ἦν βασανισθῆναι ὑπομείναντι· ἔπειτα οὐ πατρίδα ἂν
28 σαυτοῦ ἀπέλιπες· ὥςτε ἐκ παντὸς τρόπου σοὶ μᾶλλον
ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν, ᾧ ἐπί-
στευες. νῦν δὲ ἄκων μὲν προςποιῇ, ἑκὼν δὲ πολλοὺς
καὶ ἀγαθοὺς Ἀθηναίων ἀπέκτεινας. ὡς δὲ παρεσκευά-
σθη ἅπαντα, ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ
τὸ ψήφισμα σοῦ τὸ τῆς βουλῆς καταμαρτυρήσει.

## ΨΗΦΙΣΜΑ.

29 Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, καὶ
ἦλθον οἱ ἐκ τῆς βουλῆς Μουνυχίαζε, ἑκὼν ἀνέστη
Ἀγόρατος ἀπὸ τοῦ βωμοῦ. καίτοι νῦν γε βίᾳ φησὶν
30 ἀφαιρεθῆναι. ἐπειδὴ δὲ εἰς τὴν βουλὴν ἐκομίσθησαν,
ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὑτοῦ ἐγγυητῶν
τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν,
ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη
τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε τὰ ὀνό-
ματα, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν· εἰ δὲ
μή, ἐπ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. ἀπόκριναι
δή μοι.

p. 684 ss. Adde Platner der Process. p. 237. ss.

ὑπομείναντι] Vel pro simplice μείναντι, quomodo compositum hoc verbum usitatum esse monet Phavorinus, vel est remanenti, quam significationem item huic verbo tribuit Suidas, explicans καταλειφθῆναι.

28. ἄκων μὲν προςποιῇ] sc. ἀπεκτονέναι: qui infinitivus est ex verbo finito sequente assumendus. Nam προςποιεῖσθαι est inter ea verba, ad quae supplendus est infinitivus vel ex antecedente vel ex sequente verbo finito.

29. βίᾳ φησὶν ἀφαιρεθῆναι] Ἀφαιρεθῆναι h. l. dicitur, qui vi loco abripitur, ut in vincula conjiciatur.

30. ἀπογράφει] Hoc verbum proprium est de μηνύσει, quoniam indicia scripto consignari solebant. Andoc. περὶ μυστηρ. §. 13. p. 7. R. πρῶτος μὲν οὗτος ταῦτα ἐμήνυσε καὶ ἀπέγραψε τούτους. §. 15. p. 8. R. καὶ κομισθεὶς ἄδειαν εὑράμενος, μηνύει τοὺς μεθ' ἑαυτοῦ.

www.libtool.com.cn

Ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταί, ἔτι πλειό- 31
νων αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔῤῥω-
το ἡ βουλὴ κακόν τι ἐργάζεσθαι αὐτόν, ὥςτ' οὐκ ἐδό-
κει αὐτοῖς ἅπαντα τἀληθῆ πω κατηγορηκέναι. τούτους
μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ
ἀνάγκης οὔσης. μετὰ τοῦτο προςαπογράφει ἑτέρους 32
τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχίασιν ἐν
τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο,
ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν
ταξιαρχῶν μήνυσις γένοιτο· (περὶ δὲ τῶν ἄλλων ἀπέ-
χρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη.) ὥςτε καὶ
ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. καί μοι ἀπόκριναι, ὦ
Ἀγόρατε. οὐ γὰρ οἶμαί σε ἔξαρνον γενέσθαι ἃ ἐναν-
τίον Ἀθηναίων ἁπάντων ἐποίησας.

## ΕΡΩΤΗΣΙΣ.

Ὁμολογεῖ μὲν καὶ αὐτός, ὅμως δὲ καὶ τὰ ψηφί- 33
σματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται.

## ΨΗΦΙΣΜΑ.

Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος ούτοσὶ τῶν ἀνδρῶν
ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ
δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς
ἐπίστασθαι. ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ

31. *οὕτω σφόδρα ἔῤῥωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι αὐτόν, ὥςτ'* ] Sic Bekkerus ex optimo cod. [Sic nos quoque emendavimus in Museo Attico novo T. III. p. 95. F. J.]. Vulgo *ἐργάζεσθαι. αὐτὸς δ'.* Recepta lectio acerbe est ironica. Si Agoratus sui ipsius caussa esset abreptus, simulac se ipsum et principes consilii indicasset, supplicium ab ipso sumsissent. Sed quoniam indicandorum aliorum caussa eum comprehenderant, non erant primo statim indicio contenti, nec ejus supplicii meminerant.

32. *ἡ ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο*] Primum in Pnyce habebantur populi conciones; tum, Bacchi theatro in urbe aedificato, plerumque ibi populus congregabatur. Extra ordinem autem etiam aliis locis conciones agebantur, quorum unus erat theatrum in Munychia, quod, si sana in Thucydide lectio VIII. 93, item erat Dionyso sacrum, *Διονυσιακόν*.

*ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη*] Sufficeret et naturali verborum structurae aptum foret *ἡ ἐν τῇ βουλῇ γεγενημένη*. Sed contra libros nihil tentandum. Praepositum autem est *ἐν τῇ βουλῇ* oppositionis caussa cum *ἐν τῷ δήμῳ*.

πόλει ἐγένετο, καὶ οὐδ᾽ ὑφ᾽ ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ
34 γὰρ ἐκεῖνοι συλληφθέντες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε, καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη κατεσκάφη, καὶ οἱ τριάκοντα κατέστη-
35 σαν, καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τοίνυν οἱ τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ, ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

36 Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο· ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε, οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ᾽ εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη ἐγένετο, οἵαν καὶ ὑμεῖς
37 αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι, τὴν μὲν ἐπὶ τὴν

34. κατεσκάφη] Ex conjectura receptum. Nam libri habent κατεσκάφησαν. Corruptionem tamen hic irrepsisse haud improbabile, quum etiam, quod sequitur καί, desit in omnibus libris. Cf. Excurs. X.

35. ἐν δισχιλίοις] Haec est [illegible] ad vocabula ἐν τῷ δικαστηρίῳ. Cf. Aeschin. κατὰ [illegible] c. 1. τὴν βουλὴν τοὺς πεν-[illegible] A populi jussu dis-[illegible] triginta viri. Populus [illegible], quos indicave-[illegible], eorum judicio his [illegible] judicari; trigin-[illegible] ad senatum detu-[illegible]

ὁ ὄπισθεν, ἕτερος δὲ ὁ ἔμπροσθεν θανάτου, in quas κρύβδην suffragia mittebantur. Non igitur solum τὸ κρύβδην ψηφίζεσθαι abrogabant triginta viri, sed etiam ordinem urnarum mutabant, ut magis deterrerentur judices, ne absolutionis suffragium ponerent.

τὴν μὲν ἐπὶ τὴν προτέραν] Τὴν μὲν [illegible]: quod ex opposito assumendum est: τὴν δὲ [illegible]. Fit enim saepe, [illegible] unum tantum [illegible] quo ad al- [illegible] assumen-

www.libtool.com.cn

πρώτην, τὴν δὲ καθαιροῦσαν εἰς τὴν ὑστέραν. ἔπειτα
ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; ἑνὶ δὲ 38
λόγῳ, ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰς-
ῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγιγνώσκετο,
καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουΐ·
τοῦτον δὲ ἀφεῖσαν ὡς εὐεργέτην ὄντα. ἵνα δὲ εἰδῆτε,
ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ
ὀνόματα αὐτῶν ἀναγνῶναι.

## ΟΝΟΜΑΤΑ.

Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, θάνατος αὐ- 39
τῶν κατεγνώσθη, καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μετα-
πέμπονται εἰς τὸ δεσμωτήριον ὁ μὲν ἀδελφήν, ὁ δὲ
μητέρα, ὁ δὲ γυναῖκα, ὁ δ᾽, εἴ τις ἦν ἑκάστῳ αὐτῶν
προσήκουσα, ἵνα τὰ ὕστατα ἀσπασάμενοι τοὺς αὑτῶν
οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδω- 40
ρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δε-
σμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ᾽ ἐκεί-
νη ἀφικνεῖται μέλαν τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς
ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς τοιαύτῃ συμφορᾷ κεχρημένῳ.
ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά 41
τε οἰκεῖα τὰ αὑτοῦ διέθετο, ὅπως αὐτῷ ἐδόκει, καὶ
περὶ Ἀγοράτου τούτου ἔλεγεν, ὅτι αἴτιος ἦν τοῦ θα-
νάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ, τῷ
ἀδελφῷ τῷ αὑτοῦ, καὶ τοῖς φίλοις πᾶσι, τιμωρεῖν
ὑπὲρ αὑτοῦ Ἀγόρατον· καὶ τῇ γυναικὶ τῇ αὑτοῦ ἐπέ- 42
σκηπτε (νομίζων αὐτὴν κύειν ἐξ αὑτοῦ), ἐὰν γένηται
αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ, ὅτι τὸν πατέρα
αὐτοῦ Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ

39. ὁ μὲν ἀδελφήν] Imprimis οἰκεῖαι γυναῖκες adesse solebant ei, qui damnatus erat ad cicutam bibendam.

οὕτω τὸν βίον τελευτήσειαν] Nota οὕτω saepe quod dicunt pleonastice post participium poni, cf. Heindorf ad Plat. Phaed. p. 23. eoque adverbio sententiam per participium expressam quasi denuo breviter repeti.

40. μέλαν τε ἱμάτιον ἠμφιεσμένη] Τε semel positum reddi potest et quidem. Quae nempe determinatio per hanc particulam adjungitur, non est ita necessaria, sed accedit per temporum conditionem.

www.libtool.com.cn

αὐτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

43 Οὗτοι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου ἀπογραφέντες ἀπέθανον. ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποιήσαντο οἱ τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι, ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο· ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημέ-
44 νας συμφορὰς τῇ πόλει· ἀνάγκη δ' ἐστίν, ὦ ἄνδρες δικασταί, ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε, ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει Ἀγόρατον. ἴστε μὲν γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας οἷοι ἦσαν καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τριάκοντα ἀπώλοντο· ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος ὡς πολλοὶ ταύτῃ τῇ συμφορᾷ ἐχρήσαντο. μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον·
45 οἳ, οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες, ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι, οἱ μὲν γονέας σφετέρους αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσαιεν τὸν βίον, ταφήσεσθαι, οἱ δὲ ἀδελφὰς ἀνεκδότους, οἱ δὲ παῖδας μικροὺς πολλῆς
46 ἔτι θεραπείας δεομένους. οὓς, ὦ ἄνδρες δικασταί, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο, ἀποστερηθέντας διὰ τοῦτον τῶν ἡδίστων; ἔτι δὲ τὰ τείχη ὡς

46. *γένοιτο*] Necessaria Taylori emendatio pro librorum lectione *γένοιντο*.

44. *ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει Ἀγόρατον*] Non intelligo, cur viri docti nusquam ironicam in Lysia orationem tolerare voluerint. Patet Lysiam acerbe hoc velle, nulla prorsus venia vel misericordia dignum esse Agoratum, hominem, qui ipse nullam norit misericordiam. De pluribus locis similibus, itidem perperam tentatis, jam supra vidimus.

*οἷοι ἦσαν καὶ ὅσοι*] Κατὰ Ἐρατοσθ. §. 52. numerum habet *τριακοσίων*, unde patet custodiae locum grandem fuisse et castelli instar.

www.libtool.com.cn

κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ τὰ νεώρια καθῃρέθη, καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥςτε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς δὲ τούτοις τὰς ἰδίας οὐσίας 47
ἀπωλέσατε, καὶ τὸ τελευταῖον συλλήβδην ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε. ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην, ὦ ἄνδρες δικασταί, ποιήσασθαι. οὓς σύ, Ἀγόρατε, βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ 48
πόλει ἀπέκτεινας, μηνύσας αὐτοὺς τῇ βουλῇ ἐπιβουλεύειν τῷ πλήθει τῷ ἡμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυςτυχημάτων καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων.

Θαυμάζω δ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅ τι 49
ποτὲ τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι, ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων, οὐδ' αἴτιος αὐτοῖς ἐστι τοῦ θανάτου· ὅπερ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι. πρῶτον μὲν γὰρ τὰ ψηφί- 50
σματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ, διαῤῥήδην ἀγορεύοντα περὶ ὧν Ἀγόρατος κατείρηκεν· ἔπειτα ἡ κρίσις, ἣν ἐκρίθη ἐπὶ τῶν τριά-

47. οὐκ ἔφασαν ἐπιτρέψαι] Cf. Excurs. VIII.

48. τῇ βουλῇ] Emendatio Reiskii ex rerum natura et conditione necessaria pro librorum lectione τῇ πόλει. Nisi forte τῇ πόλει significet i. q. τῷ δήμῳ, ut apud Xenophontem. Videtur tamen τῇ πόλει ex sequente versu translatum. [Fortasse delenda verba. Totum locum sic legerim: ἀπέκτεινας μηνύσας αὐτούς, ἐπιβουλεύων τῷ πλήθει – i. e. τῷ δήμῳ, populari formae insidiatus; quae sic lecta opponuntur superioribus: βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ πόλει. F. J.].

49. ὅπερ οὐκ ἂν δύναιτο] Bekkerus ex optimo cod. Ante Reiskium, qui dederat ex conj. Taylori ὃ οὐκ ἂν δ., legebatur simpliciter κἂν δύναιτο.

48. ἀγαθόν τι πρᾶξαι τῇ πόλει] Rarus dativus, quem tamen contra libros mutare non ausim. Legitimus est apud Atticos ad πράττειν et synonyma duplex accusativus personae et rei.

κοντα καὶ ἀφεθ[illegible] λέγει; Διότι (φησὶν) ἔδοξε τἀληθῆ εἰσαγγεῖλαι. καί μοι ἀνάγνωθι.

ΨΗΦΙΣΜΑΤΑ. ΓΡΑΦΑΙ. ΓΝΩΣΙΣ.

51 Ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι. δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας. οἴομαι δ' οὐδ' ἂν τοῦτον αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ τριάκοντα, δεδιότες μὴ καταλυθείη ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου.

52 Ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι. ἐγὼ δ' οὐκ οἶμαι, ὦ ἄνδρες δικασταί, οὐδ' ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ἐστὶν ὑπερβολήν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. εἶτα δὲ καὶ ἐκείνων μεμνῆσθαι, ὅτι ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτε ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνυχίασι, σωθῆναι. καὶ γὰρ πλοῖα παρεσκεύαστο, καὶ οἱ ἐγ-
53 γυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου, καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων, οὔτ' ἂν ἑκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίους ἀπέκτεινας· νῦν δὲ πεισθεὶς ὑφ' ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ' αὐτῶν διαπράξασθαι. οὐκοῦν τούτου ἕνεκα δεῖ σε παρ' ἡμῶν συγγνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκ-
54 τεινας. καὶ Ἱππίας μὲν ὁ Θάσιος καὶ Ξενοφῶν ὁ Ἰκαριεύς, οἱ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βου-

52. ἐκείνων] ex cod. pro vulgato ἐκεῖνο.
οἱ ἐγγυηταί] Articulus ex conjectura Marklandi accessit.

50. εἰσαγγεῖλαι] h. l. idem est, quod alias μηνῦσαι. cf. §. 56.

53. πεισθεὶς ὑφ' ὧν τότε ἐπείσθης] Formula, quae multis modis variatur, qua utuntur ii, qui rem aut exprimere nolunt, aut nequeunt. Cf. Hermannum ad Viger. p. 709.

διαπράξασθαι] Vide Excurs. VIII.

www.libtool.com.cn

ὑμετέρῳ. ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα ἔμει- 11
νεν ἐκεῖ πολὺν χρόνον, καταλιπὼν ὑμᾶς πολιορκουμέ-
νους, εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον,
καὶ διὰ τὸν πόλεμον καὶ τὰ κακὰ τοὺς πολλοὺς τῶν
ἐπιτηδείων ἐνδεεῖς ὄντας, νομίζων, εἰ διαθείη ὑμᾶς
ἀπόρως, ὥσπερ διέθηκεν, ἀσμένως ὁποιαντινοῦν ἐθε-
λῆσαι ἂν εἰρήνην ποιήσασθαι. οἱ δ' ἐνθάδε ὑπομένον- 12
τες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν εἰς
ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρόφασιν μὲν, ὅτι οὐκ
ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος, τὸ δ' ἀληθὲς, ὅτι
ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν
οὖν δικαστήριον παρασκευάσαντες καὶ εἰσελθόντες οἱ
βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι, ἀπέκτειναν ἐν
τῇ προφάσει ταύτῃ. Θηραμένης δὲ ὕστερον ἀφικνεῖ- 13
ται ἐκ Λακεδαίμονος, προσιόντες δ' αὐτῷ τῶν τε στρα-
τηγῶν τινες καὶ τῶν ταξιαρχῶν, ὧν ἦν Στρομβιχίδης
καὶ Διονυσόδωρος, καὶ ἄλλοι τινὲς τῶν πολιτῶν εὐνο-
οῦντες ὑμῖν (ὥς γ' ἐδήλωσαν ὕστερον) ἠγανάκτουν
σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν ἡμεῖς

11. ἔμεινεν] Ex cod. Vulgo: ἔμενεν. Simplex h. l. est narratio.
13. στρατηγῶν] Emendatio Marklandi pro librorum lectione στρα-τιωτῶν.

11. καὶ διὰ τὸν πόλεμον καὶ τὰ κακὰ] Hoc per ἓν διὰ δυοῖν dictum: per mala, quae bellum secum ferebant. Aberravit Reiskius, quum scribendum censeret καὶ τὰ τούτου κακά.

τοὺς πολλοὺς] Non erat, cur Marklandus offenderet. Haud raro οἱ πολλοί sine contemtu notat plerosque. Cf. Matthiae Gr. Gr. §. 268.

εἰ διαθείη ὑμᾶς ἀπόρως, ὥσπερ διέθηκεν] Si vos ad inopiam redegisset, ut fecit. Hanc constructionem verbi διατιθέναι cum adverbio, interdum perperam acceptam, accurate exposuit Hemsterhusius ad Luciani Nigrin. 38.

12. ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν] Rarior est constructio verbi ἐπιβουλεύειν cum infinitivo, praesertim sine articulo. Solet construi cum dativo substantivi.

ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος] Cleophontis στρατηγοῦ officium erat armatum adesse militibus. Jam oligarchiae studiosi eum calumniabantur officio defuisse socordia et segnitie.

δικαστήριον παρασκευάσαντες] In hoc inest non legitimo eos illum tradidisse judicio: quod qua ratione factum sit, cognoscitur ex oratione κατὰ Νικομάχου, imprimis p. 847.

ἐν τῇ προφάσει ταύτῃ] Notanda praepositio cum substantivo praetextus. Cf. ὑπὲρ τοῦ σηκοῦ §. 20.

www.libtool.com.cn

ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι,
57 τῷ δημίῳ παρέδοτε, καὶ ἀπετυμπανίσθη. καίτοι εἰ
ἐκεῖνος ἀπέθανεν, ἦπου Ἀγόρατός γε δικαίως ἀποθα-
νεῖται. ὥςτε τόν τε Μενέστρατον ἀπογράψας, αἴτιος
ἐκείνῳ ἐστὶ τοῦ θανάτου· καὶ τοῖς ὑπὸ Μενεστράτου
ἀπογραφεῖσι τίς αἰτιώτερος ἢ ὁ εἰς τοιαύτην ἀνάγκην
ἐκεῖνον καταστήσας;

58 Ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ
Χολλίδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο, καὶ τὰ
πλοῖα παρασκευάσας Μουνυχίασιν ἕτοιμος ἦν συνεκ-
πλεῖν μετὰ τούτου. καὶ τό γε ἐπ' ἐκεῖνον εἶναι ἐσώ-
θης, καὶ οὔτ' ἂν Ἀθηναίων οὐδένα ἀπώλεσας, οὔτ' ἂν
59 αὐτὸς εἰς τοιούτους κινδύνους κατέστης· νυνὶ δὲ
καὶ τὸν σωτῆρα τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι,
καὶ ἐπέτριψας καὶ ἐκεῖνον καὶ τοὺς ἄλλους ἐγγυητάς.
τοῦτον μέντοι, ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα, ἐβού-
λοντό τινες βασανισθῆναι· καὶ τουτὶ τὸ ψήφισμα τὸν
δῆμον ἀναπείθουσι ψηφίζεσθαι.

ΨΗΦΙΣΜΑ.

60 Μετὰ τοῦτο τοίνυν προςιόντες τῷ Ἀριστοφάνει
οἱ πράττοντες τότε τὰ πράγματα, ἐδέοντο αὐτοῦ κατει-
πεῖν καὶ σώζεσθαι, καὶ μὴ κινδυνεύειν ἀγωνισάμενον
τῆς ξενίας τὰ ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη οὐδέ-
ποτε. οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους
καὶ περὶ τὸν δῆμον τῶν Ἀθηναίων, ὥςτε εἵλετο μᾶλ-

56. *τῷ δημίῳ*] Schotti est emendatio pro librorum lectione *τῷ δήμῳ*.
58. *τό γε ἐπ' ἐκεῖνον εἶναι*] Scaligerus conjecit *ἐκείνῳ*, idque recepit Reiskius. Non opus esse jam monuit Porsonus ad Eurip. Or. v. 1338. De *εἶναι* autem in hac locutione cf. Lobeck ad Phryn. p. 275, qui item monet perperam scribi *ἐκείνῳ*. Priscianus, qui locum laudat XVIII, 30, 295., *εἶναι* omittit, accusativum tamen agnoscit et vindicat.
59. *ἐπέτριψας*] Ex conjectura Reiskii pro librorum lectione *ἀπέγραψας*.

60. *κατειπεῖν*] h. l. synonymum *τῷ μηνῦσαι*.

*τὰ ἔσχατα παθεῖν*] Qui enim *ξενίας* coram judicio convictus erat, capitis damnabatur, quod significant verba *τὰ ἔσχατα παθεῖν* et synonyma.

www.libtool.com.cn

λον ἀποθανεῖν ἢ κατειπεῖν καὶ ἀδίκως τινὰς ἀπολέσαι.
ἐκεῖνος μὲν τοίνυν, καὶ ὑπὸ σοῦ ἀπολλύμενος, τοιου- 61
τοσὶ ἐγένετο, καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς καὶ Ἱππίας
ὁ Θάσιος· σὺ δ᾽ οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνει-
δώς, πεισθεὶς δέ, ὡς σύ γε, ἂν ἐκεῖνοι ἀπόλωνται,
μεθέξεις τῆς τότε πολιτείας καθισταμένης, ἀπέγραφες
καὶ ἀπέκτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

Βούλομαι δ᾽ ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδεῖξαι, 62
οἵων ἀνδρῶν ὑπὸ Ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν οὐ
πολλοὶ ἦσαν, καθ᾽ ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε·
νῦν δὲ συλλήβδην περὶ πάντων. οἱ μὲν γὰρ στρατη-
γήσαντες ὑμῖν πολλάκις μείζω τὴν πόλιν τοῖς διαδε-
χομένοις στρατηγοῖς παρεδίδοσαν, οἱ δ᾽ ἑτέρας μεγά-
λας ἀρχὰς ἄρξαντες καὶ τριηραρχίας πολλὰς τριηραρ-
χήσαντες οὐδεπώποτε ὑφ᾽ ὑμῶν οὐδεμίαν αἰτίαν αἰ-
σχρὰν ἔσχον. οἱ δ᾽ αὐτῶν περιγενόμενοι καὶ σωθέν- 63
τες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὠμῶς, καὶ θάνατος
αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίη-
σε· φυγόντες γὰρ ἐνθένδε, καὶ οὐ συλληφθέντες,
οὐδὲ ὑπομείναντες τὴν κρίσιν, κατελθόντες ἀπὸ Φυ-
λῆς, τιμῶνται ὑφ᾽ ὑμῶν ὡς ἄνδρες ἀγαθοὶ ὄντες.

Τούτους μὲν τοιούτους ὄντας Ἀγόρατος τοὺς 64
μὲν ἀπέκτεινε, τοὺς δὲ φυγάδας ἐντεῦθεν ἐποίησε.
τίς ὢν αὐτός; δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι δοῦλος καὶ
ἐκ δούλων ἐστίν· ἵν᾽ εἰδῆτε, οἷος ὢν ὑμᾶς ἐλυμαίνετο.
τούτῳ μὲν γὰρ πατὴρ ἦν Εὐμάρης· ἐγένετο δὲ ὁ Εὐ-

63. *φυγόντες γὰρ ἐνθένδε*] Vide Excurs. V.

62. *εἰ μὲν οὐ πολλοὶ ἦσαν*] Negatio non jungenda cum *εἰ*; sed cum *πολλοί* conjunctam format notionem: *οὐ πολλοί*, i. q. *ὀλίγοι*. *εἰ* — *οὐ* si leguntur in eadem enuntiatione, non opinandum est negationem afficere totam enuntiationem, sed unum nonnisi vocabulum, verbum imprimis, cum quo in unam quasi coalescit notionem oppositam. Elmslejum ad Eurip. Med. v. 87. et 348. graviter in his errantem vere correxit Hermannus. Lysiae hic locos, qui sunt pauci, colligam et illustrabo. Infra §. 76. *ἐὰν μὲν οὖν φάσκῃ Φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε — — ἐὰν δ᾽ οὐ φάσκῃ, ἔρεσθε αὐτόν, διότι φησὶν Ἀθηναῖος ποιηθῆναι.* *οὐ φάσκειν* est Latinorum negare. §. 82. *ὑπολαμβάνειν χρή, εἰ ἔρριψεν αὐτοῦ Αἴσιμος τὴν ἀσπίδα καὶ οὐκ εἴα μετὰ τῶν πολιτῶν πέμπειν τὴν πομπήν.* *οὐκ εἴα* idem est, quod uno verbo dici posset *ἐκώλυε*. Plures non memini me legere apud nostrum.

ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες ἕτοιμοι
www.libtool.com.cn
ἦσαν συνεκπλεῖν μετὰ σοῦ, ἡγησάμενοι ταῦτα μᾶλλον
λυσιτελεῖν ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπὸ
σοῦ ἀδίκως ἀπολέσθαι. σοὶ δὲ πρῶτον μὲν κίνδυνος
ἦν βασανισθῆναι ὑπομείναντι· ἔπειτα οὐ πατρίδα ἂν
28 σαυτοῦ ἀπέλιπες· ὥςτε ἐκ παντὸς τρόπου σοὶ μᾶλλον
ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν, ᾧ ἐπί-
στευες. νῦν δὲ ἄκων μὲν προςποιῇ, ἑκὼν δὲ πολλοὺς
καὶ ἀγαθοὺς Ἀθηναίων ἀπέκτεινας. ὡς δὲ παρεσκευά-
σθη ἅπαντα, ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ
τὸ ψήφισμα σοῦ τὸ τῆς βουλῆς καταμαρτυρήσει.

## ΨΗΦΙΣΜΑ.

29 Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, καὶ
ἦλθον οἱ ἐκ τῆς βουλῆς Μουνυχίαζε, ἑκὼν ἀνέστη
Ἀγόρατος ἀπὸ τοῦ βωμοῦ. καίτοι νῦν γε βίᾳ φησὶν
30 ἀφαιρεθῆναι. ἐπειδὴ δὲ εἰς τὴν βουλὴν ἐκομίσθησαν,
ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὑτοῦ ἐγγυητῶν
τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν,
ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη
τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε τὰ ὀνό-
ματα, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν· εἰ δὲ
μή, ἐπ᾽ αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. ἀπόκριναι
δή μοι.

p. 684 ss. Adde Platner der Process. p. 237. ss.

ὑπομείναντι] Vel pro simplice μείναντι, quomodo compositum hoc verbum usitatum esse monet Phavorinus, vel est remanenti, quam significationem item huic verbo tribuit Suidas, explicans καταλειφθῆναι.

28. ἄκων μὲν προςποιῇ] sc. ἀπεκτονέναι: qui infinitivus est ex verbo finito sequente assumendus. Nam προςποιεῖσθαι est inter ea verba, ad quae supplendus est infinitivus vel ex antecedente vel ex sequente verbo finito.

29. βίᾳ φησὶν ἀφαιρεθῆναι] Ἀφαιρεθῆναι h. l. dicitur, qui vi loco abripitur, ut in vincula conjiciatur.

30. ἀπογράφει] Hoc verbum proprium est de μηνύσει, quoniam indicia scripto consignari solebant. Andoc. περὶ μυστηρ. §. 13. p. 7. R. πρῶτος μὲν οὗτος ταῦτα ἐμήνυσε καὶ ἀπέγραψε τούτους. §. 15. p. 8. R. καὶ κομισθεὶς ἄδειαν εὑρόμενος, μηνύει τοὺς μεθ᾽ ἑαυτοῦ.

www.libtool.com.cn

Ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταί, ἔτι πλειό- 31
νων αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔῤῥω-
το ἡ βουλὴ κακόν τι ἐργάζεσθαι αὐτόν, ὥςτ' οὐκ ἐδό-
κει αὐτοῖς ἅπαντα τἀληθῆ πω κατηγορηκέναι. τούτους
μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ
ἀνάγκης οὔσης. μετὰ τοῦτο προσαπογράφει ἑτέρους 32
τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχίασιν ἐν
τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο,
ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν
ταξιαρχῶν μήνυσις γένοιτο· (περὶ δὲ τῶν ἄλλων ἀπέ-
χρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη.) ὥςτε καὶ
ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. καί μοι ἀπόκριναι, ὦ
Ἀγόρατε. οὐ γὰρ οἶμαί σε ἔξαρνον γενέσθαι ἃ ἐναν-
τίον Ἀθηναίων ἁπάντων ἐποίησας.

## ΕΡΩΤΗΣΙΣ.

Ὁμολογεῖ μὲν καὶ αὐτός, ὅμως δὲ καὶ τὰ ψηφί- 33
σματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται.

## ΨΗΦΙΣΜΑ.

Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι. ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ

31. *οὕτω σφόδρα ἔῤῥωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι αὐτόν, ὥςτ'*] Sic Bekkerus ex optimo cod. [Sic nos quoque emendavimus in Museo Attico novo T. III. p. 95. F. J.]. Vulgo *ἐργάζεσθαι. αὐτὸς δ'*. Recepta lectio acerbe est ironica. Si Agoratus sui ipsius caussa esset abreptus, simulac se ipsum et principes consilii indicasset, supplicium ab ipso sumsissent. Sed quoniam indicandorum aliorum caussa eum comprehenderant, non erant primo statim indicio contenti, nec ejus supplitii meminerant.

32. *ἡ ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο*] Primum in Pnyce habebantur populi conciones; tum, Bacchi theatro in urbe aedificato, plerumque ibi populus congregabatur. Extra ordinem autem etiam aliis locis conciones agebantur, quorum unus erat theatrum in Munychia, quod, si sana in Thucydide lectio VIII. 93, item erat Dionyso sacrum, *Διονυσιακόν*.

*ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη*] Sufficeret et naturali verborum structurae aptum foret *ἡ ἐν τῇ βουλῇ γεγενημένη*. Sed contra libros nihil tentandum. Praepositum autem est *ἐν τῇ βουλῇ* oppositionis caussa cum *ἐν τῷ δήμῳ*.

πόλει ἐγένετο, καὶ οὐδ' ὑφ' ἑνὸς αὐτῷ προσήκει ἐλεεῖ-
34 σθαι; ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ γὰρ ἐκεῖνοι συλληφθέντες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰςέπλευσε, καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη κατεσκάφη, καὶ οἱ τριάκοντα κατέστη-
35 σαν, καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τοίνυν οἱ τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ, ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

www.libtool.com.cn

## ΨΗΦΙΣΜΑ.

36 Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο· ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε, οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰςάγουσιν. ἡ δὲ κρίσις τοιαύτη ἐγένετο, οἵαν καὶ ὑμεῖς
37 αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι, τὴν μὲν ἐπὶ τὴν

34. *κατεσκάφη*] Ex conjectura receptum. Nam libri habent *κατεσκάφησαν*. Corruptionem tamen hic irrepsisse haud improbabile, quum etiam, quod sequitur *καί*, desit in omnibus libris. Cf. Excurs. X.

35. *ἐν δισχιλίοις*] Haec est oppositio ad vocabula *ἐν τῷ δικαστηρίῳ*. Cf. Aeschin. *κατὰ Κτησ.* c. I. *τὴν βουλὴν τοὺς πεντακοσίους*. A populi jussu discesserant triginta viri. Populus enim jusserat eos, quos indicaverat Agoratus, coram judicio bis mille judicum judicari; triginta vero viri eos ad senatum detulerunt.

37. *οὐκ εἰς καδίσκους*] Duae scilicet erant urnae, *καδίσκοι*, *εἷς μὲν ὁ ἐλέου* (verba sunt Scholiastae ad Aristoph. Vesp. 985.) *ὁ ὄπισθεν, ἕτερος δὲ ὁ ἔμπροσθεν θανάτου*, in quas *κρύβδην* suffragia mittebantur. Non igitur solum *τὸ κρύβδην ψηφίζεσθαι* abrogabant triginta viri, sed etiam ordinem urnarum mutabant, ut magis deterrerentur judices, ne absolutionis suffragium ponerent.

*τὴν μὲν ἐπὶ τὴν πρώτην*] *Τὴν μὲν* sc. *σώζουσαν*: quod ex opposito assumendum est: *τὴν δὲ καθαιροῦσαν*. Fit enim saepe, ut ad *ὁ μέν — ὁ δέ* unum tantum epitheton addatur, ex quo ad alterum oppositum sit assumendum.

www.libtool.com.cn
προτέραν, τὴν δὲ καθαροῦσαν εἰς τὴν ὑστέραν· ποίου
ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; ἑνὶ δὲ 38
λόγῳ, ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰσῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγινώσκετο, καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουΐ· τοῦτον δὲ ἀφεῖσαν ὡς εὐεργέτην ὄντα. ἵνα δὲ εἰδῆτε, ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι.

## ΟΝΟΜΑΤΑ.

Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, θάνατος αὐ- 39
τῶν κατεγνώσθη, καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται εἰς τὸ δεσμωτήριον ὁ μὲν ἀδελφήν, ὁ δὲ μητέρα, ὁ δὲ γυναῖκα, ὁ δ', εἴ τις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα, ἵνα τὰ ὕστατα ἀσπασάμενοι τοὺς αὑτῶν,
οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδω- 40
ρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ' ἐκείνη ἀφικνεῖται μέλαν τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς τοιαύτῃ συμφορᾷ κεχρημένῳ.
ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά 41
τε οἰκεῖα τὰ αὑτοῦ διέθετο, ὅπως αὐτῷ ἐδόκει, καὶ περὶ Ἀγοράτου τούτου ἔλεγεν, ὅτι αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ, τῷ ἀδελφῷ τῷ αὐτοῦ, καὶ τοῖς φίλοις πᾶσι, τιμωρεῖν
ὑπὲρ αὐτοῦ Ἀγόρατον· καὶ τῇ γυναικὶ τῇ αὐτοῦ ἐπέ- 42
σκηπτε (νομίζων αὐτὴν κύειν ἐξ αὐτοῦ), ἐὰν γένηται αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ, ὅτι τὸν πατέρα αὐτοῦ Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ

39. *ὁ μὲν ἀδελφήν*] Imprimis *οἰκεῖαι γυναῖκες* adesse solebant ei, qui damnatus erat ad cicutam bibendam.

*οὕτω τὸν βίον τελευτήσειαν*] Nota *οὕτω* saepe quod dicunt pleonastice post participium poni, cf. Heindorf ad Plat. Phaed. p. 23. eoque adverbio sententiam per participium expressam quasi denuo breviter repeti.

40. *μέλαν τε ἱμάτιον ἠμφιεσμένη*] *Τε* semel positum reddi potest et quidem. Quae nempe determinatio per hanc particulam adjungitur, non est in se necessaria, sed accedit per temporum conditionem.

αὐτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι.

www.libtool.com.cn

ΜΑΡΤΥΡΕΣ.

43 Οὗτοι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου ἀπογραφέντες ἀπέθανον. ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποιήσαντο οἱ τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι, ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο· ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας
44 συμφορὰς τῇ πόλει· ἀνάγκη δ' ἐστίν, ὦ ἄνδρες δικασταί, ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε, ὡς σφόδρα ὑμῖν ἐλεεῖν προςήκει Ἀγόρατον. ἴστε μὲν γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας οἷοι ἦσαν καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τριάκοντα ἀπώλοντο· ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος ὡς πολλοὶ ταύτῃ τῇ συμφορᾷ ἐχρήσαντο. μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον·
45 οἳ, οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες, ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι, οἱ μὲν γονέας σφετέρους αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσαιεν τὸν βίον, ταφήσεσθαι, οἱ δὲ ἀδελφὰς ἀνεκδότους, οἱ δὲ παῖδας μικροὺς πολλῆς
46 ἔτι θεραπείας δεομένους. οὓς, ὦ ἄνδρες δικασταί, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο, ἀποστερηθέντας διὰ τοῦτον τῶν ἡδίστων; ἔτι δὲ τὰ τείχη ὡς

46. γένοιτο] Necessaria Taylori emendatio pro librorum lectione γένοιντο.

44. ὡς σφόδρα ὑμῖν ἐλεεῖν προςήκει Ἀγόρατον] Non intelligo, cur viri docti nusquam ironicam in Lysia orationem tolerare voluerint. Patet Lysiam acerbe hoc velle, nulla prorsus venia vel misericordia dignum esse Agoratum, hominem, qui ipse nullam norit misericordiam. De pluribus locis similibus, itidem perperam tentatis, jam supra vidimus.

οἷοι ἦσαν καὶ ὅσοι] Κατὰ Ἐρατοσθ. §. 52. numerum habet τριακοσίων, unde patet custodiae locum grandem fuisse et castelli instar.

www.libtool.com.cn

κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ τὰ νεώρια καθῃρέθη, καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥςτε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς δὲ τούτοις τὰς ἰδίας οὐσίας 47 ἀπωλέσατε, καὶ τὸ τελευταῖον συλλήβδην ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε. ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην, ὦ ἄνδρες δικασταί, ποιήσασθαι. οὓς σύ, Ἀγόρατε, βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ 48 πόλει ἀπέκτεινας, μηνύσας αὐτοὺς τῇ βουλῇ ἐπιβουλεύειν τῷ πλήθει τῷ ἡμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυςτυχημάτων καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων.

Θαυμάζω δ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅ τι 49 ποτὲ τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι, ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων, οὐδ' αἴτιος αὐτοῖς ἐστι τοῦ θανάτου· ὅπερ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι. πρῶτον μὲν γὰρ τὰ ψηφί- 50 σματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ, διαῤῥήδην ἀγορεύοντα περὶ ὧν Ἀγόρατος κατείρηκεν· ἔπειτα ἡ κρίσις, ἣν ἐκρίθη ἐπὶ τῶν τριά-

47. οὐκ ἔφασαν ἐπιτρέψαι] Cf. Excurs. VIII.

48. τῇ βουλῇ] Emendatio Reiskii ex rerum natura et conditione necessaria pro librorum lectione τῇ πόλει. Nisi forte τῇ πόλει significet i. q. τῷ δήμῳ, ut apud Xenophontem. Videtur tamen τῇ πόλει ex sequente versu translatum. [Fortasse delenda verba. Totum locum sic legerim: ἀπέκτεινας μηνύσας αὐτούς, ἐπιβουλεύων τῷ πλήθει – i. e. τῷ δήμῳ, populari formae insidiatus; quae sic lecta opponuntur superioribus: βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ πόλει. F. J.].

49. ὅπερ οὐκ ἂν δύναιτο] Bekkerus ex optimo cod. Ante Reiskium, qui dederat ex conj. Taylori ὃ οὐκ ἂν δ., legebatur simpliciter κἂν δύναιτο.

48. ἀγαθόν τι πρᾶξαι τῇ πόλει] Rarus dativus, quem tamen contra libros mutare non ausim. Legitimus est apud Atticos ad πράττειν et synonyma duplex accusativus personae et rei.

[illegible] λέγει; Διότι (φησίν) ἔδοξε τἀληθῆ εἰσαγγεῖλαι· καί μοι ἀνάγνωθι.

ΨΗΦΙΣΜΑΤΑ. ΓΡΑΦΑΙ. ΓΝΩΣΙΣ.

51 Ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ᾽ ἂν ἀποδεῖξαι. δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας. οἴομαι δ᾽ οὐδ᾽ ἂν τοῦτον αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ τριάκοντα δεδιότες, μὴ καταλυθείη ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. ἀλλ᾽ οἶμαι πολὺ τοὐναντίον τούτου.

52 Ἀλλ᾽ ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι· ἐγὼ δ᾽ οὐκ οἶμαι, ὦ ἄνδρες δικασταί, οὐδ᾽ ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ἐστὶν ὑπερβολήν, οἱ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. εἶτα δὲ καὶ ἐκείνων μεμνῆσθαι, ὅτι ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτε ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνυχίασι, σωθῆναι. καὶ γὰρ πλοῖα παρεσκεύαστο, καὶ οἱ ἐγ-
53 γυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου, καὶ ἠθέλησας ἐκπλεῦσαι μετ᾽ ἐκείνων, οὔτ᾽ ἂν ἑκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίους ἀπέκτεινας· νῦν δὲ πεισθεὶς ὑφ᾽ ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ᾽ αὐτῶν διαπράξασθαι. οὐκοῦν τούτου ἕνεκα δεῖ σε παρ᾽ ἡμῶν συγγνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέ-
54 κτεινας. καὶ Ἱππίας μὲν ὁ Θάσιος καὶ Ξενοφῶν ὁ Ἰκαριεύς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βου-

52. *ἐκείνων*] ex cod. pro vulgato *ἐκεῖνο*.
*οἱ ἐγγυηταὶ*] Articulus ex conjectura Marklandi accessit.

50. *εἰσαγγεῖλαι*] h. l. idem est, quod alias *μηνῦσαι*. cf. §. 56.

53. *πεισθεὶς ὑφ᾽ ὧν τότε ἐπείσθης*] Formula, quae multis modis variatur, qua utuntur ii, qui rem aut exprimere nolunt, aut nequeunt. Cf. Hermannum ad Viger. p. 709.

*διαπράξασθαι*] Vide Excurs. VIII.

λόγῳ μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον· ὁ μὲν στρεβλωθείς, Ξενοφῶν, ὁ δὲ Ἱππίας, διότι οὐκ ἄξιοι ἐδόκουν τοῖς τριάκοντα σωτηρίας εἶναι, (οὐδένα γὰρ Ἀθηναίων ἀπώλλυσαν) Ἀγόρατος δὲ ἀφείθη, διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

55 Ἀκούω δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι περὶ τῶν γραφῶν τούτων. τὸ δὲ τοῦ Μενεστράτου πρᾶγμα τοιοῦτον ἐγένετο. ὁ Μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ Ἀγοράτου, καὶ συλληφθεὶς ἐδέδετο. Ἀγνόδωρος δ' ἦν Ἀμφιτροπαιεύς, δημότης τοῦ Μενεστράτου, Κριτίου κηδεστής, τοῦ τῶν τριάκοντα. οὗτος οὖν, ὅτε ἡ ἐκκλησία Μουνυχιάσιν ἐν τῷ θεάτρῳ ἐγίνετο, ἅμα μὲν βουλόμενος τὸν Μενέστρατον σωθῆναι, ἅμα δὲ ὡς πλείστους ἀπογραφέντας ἀπολέσθαι, παράγει αὐτὸν εἰς τὸν δῆμον, καὶ εὑρίσκονται αὐτῷ κατὰ τὸ ψήφισμα τουτὶ ἄδειαν.

ΨΗΦΙΣΜΑ.

56 Ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ Μενέστρατος καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν. τοῦτον μέντοι οἱ μὲν τριάκοντα ἀφεῖσαν ὥσπερ Ἀγόρατον τουτονί, δόξαντα ἀληθῆ εἰσαγγεῖλαι, ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον, λαβόντες ἐν δικαστηρίῳ, ὡς

54. οὐκ ἄξιοι] Sic optimus liber. Ante Reiskium erat οὐκ ἂν ἄξιοι. Reiskius junctis duobus postremis vocabulis scripsit οὐκ ἀνάξιοι et οὐκ ἀναξίους σωτηρίας dicit homines frugi: quae ratio est contorta. Triginta virorum judicio non erant digni salute, qui non in perniciem proborum hominum suffragabantur. [Vide Mus. Attic. nov. p. 96. ubi οὐκ ἄξιοι emendavimus. F. J.]
55. εὑρίσκονται] Ex conjectura Reiskii. Vulgo et X. εὑρίσκοντε, C. εὑρίσκουσιν.

54. ὁ μὲν στρεβλωθείς, Ξενοφῶν] Hic habemus exemplum civis tormentis cruciati. Tormenta enim erant poenae additamentum. Cf. der Attische Process. p. 685.
55. τὸ ψήφισμα τουτὶ] Videtur opus fuisse hoc psephismate, ne poena, si forte μήνυσις falsa fuisse appareret, in ipsum caderet. Tali enim sine psephismate recusabat Menestratus quicquam deferre.

56. πολλῷ χρόνῳ ὕστερον] H. e. aliquanto post, quam triginta viri esse desierant. Tum Menestratus, quamvis olim psephisma ἀδείας acceperat, tamen in judicium protrahebatur reus ψευδοῦς μηνύσεως, ejusque convictus ἀπετυμπανίσθη.

www.libtool.com.cn

ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι,
57 τῷ δημίῳ παρέδοτε, καὶ ἀπετυμπανίσθη. καίτοι εἰ ἐκεῖνος ἀπέθανεν, ἦπου Ἀγόρατός γε δικαίως ἀποθανεῖται. ὥςτε τόν τε Μενέστρατον ἀπογράψας, αἴτιος ἐκείνῳ ἐστὶ τοῦ θανάτου· καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι τίς αἰτιώτερος ἢ ὁ εἰς τοιαύτην ἀνάγκην ἐκεῖνον καταστήσας;

58 Ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ Χολλίδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο, καὶ τὰ πλοῖα παρασκευάσας Μουνυχίασιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ τούτου. καὶ τό γε ἐπ' ἐκεῖνον εἶναι ἐσώθης, καὶ οὔτ' ἂν Ἀθηναίων οὐδένα ἀπώλεσας, οὔτ' ἂν
59 αὐτὸς εἰς τοιούτους κινδύνους κατέστης· νυνὶ δὲ καὶ τὸν σωτῆρα τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι, καὶ ἐπέτριψας καὶ ἐκεῖνον καὶ τοὺς ἄλλους ἐγγυητάς. τοῦτον μέντοι, ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα, ἐβούλοντό τινες βασανισθῆναι· καὶ τουτὶ τὸ ψήφισμα τὸν δῆμον ἀναπείθουσι ψηφίζεσθαι.

ΨΗΦΙΣΜΑ.

60 Μετὰ τοῦτο τοίνυν προςιόντες τῷ Ἀριστοφάνει οἱ πράττοντες τότε τὰ πράγματα, ἐδέοντο αὐτοῦ κατειπεῖν καὶ σώζεσθαι, καὶ μὴ κινδυνεύειν ἀγωνισάμενον τῆς ξενίας τὰ ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη οὐδέποτε. οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ περὶ τὸν δῆμον τῶν Ἀθηναίων, ὥςτε εἵλετο μᾶλ-

56. τῷ δημίῳ] Schotti est emendatio pro librorum lectione τῷ δήμῳ.
58. τό γε ἐπ' ἐκεῖνον εἶναι] Scaligerus conjecit ἐκείνῳ, idque recepit Reiskius. Non opus esse jam monuit Porsonus ad Eurip. Or. v. 1338. De εἶναι autem in hac locutione cf. Lobeck ad Phryn. p. 275, qui item monet perperam scribi ἐκείνῳ. Priscianus, qui locum laudat XVIII, 30, 295., εἶναι omittit, accusativum tamen agnoscit et vindicat.
59. ἐπέτριψας] Ex conjectura Reiskii pro librorum lectione ἀπέγραψας.

60. κατειπεῖν] h. l. synonymum τῷ μηνῦσαι.

τὰ ἔσχατα παθεῖν] Qui enim ξενίας coram judicio convictus erat, capitis damnabatur, quod significant verba τὰ ἔσχατα παθεῖν et synonyma.

www.libtool.com.cn

λον ἀποθανεῖν ἢ κατειπεῖν καὶ ἀδίκως τινὰς ἀπολέσαι. ἐκεῖνος μὲν τοίνυν, καὶ ὑπὸ σοῦ ἀπολλύμενος, τοιου- 61 τοσὶ ἐγένετο, καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς καὶ Ἱππίας ὁ Θάσιος· σὺ δ᾽ οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνειδώς, πεισθεὶς δὲ, ὡς σύ γε, ἂν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις τῆς τότε πολιτείας καθισταμένης, ἀπέγραφες καὶ ἀπέκτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

Βούλομαι δ᾽ ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδεῖξαι, 62 οἵων ἀνδρῶν ὑπὸ Ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν οὐ πολλοὶ ἦσαν, καθ᾽ ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε· νῦν δὲ συλλήβδην περὶ πάντων. οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις μείζω τὴν πόλιν τοῖς διαδεχομένοις στρατηγοῖς παρεδίδοσαν, οἱ δ᾽ ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες καὶ τριηραρχίας πολλὰς τριηραρχήσαντες οὐδεπώποτε ὑφ᾽ ὑμῶν οὐδεμίαν αἰτίαν αἰσχρὰν ἔσχον. οἱ δ᾽ αὐτῶν περιγενόμενοι καὶ σωθέν- 63 τες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὠμῶς, καὶ θάνατος αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε· φυγόντες γὰρ ἐνθένδε, καὶ οὐ συλληφθέντες, οὐδὲ ὑπομείναντες τὴν κρίσιν, κατελθόντες ἀπὸ Φυλῆς, τιμῶνται ὑφ᾽ ὑμῶν ὡς ἄνδρες ἀγαθοὶ ὄντες.

Τούτους μὲν τοιούτους ὄντας Ἀγόρατος τοὺς 64 μὲν ἀπέκτεινε, τοὺς δὲ φυγάδας ἐντεῦθεν ἐποίησε. τίς ὢν αὐτός; δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι δοῦλος καὶ ἐκ δούλων ἐστίν· ἵν᾽ εἰδῆτε, οἷος ὢν ὑμᾶς ἐλυμαίνετο. τούτῳ μὲν γὰρ πατὴρ ἦν Εὐμάρης· ἐγένετο δὲ ὁ Εὐ-

63. φυγόντες γὰρ ἐνθένδε] Vide Excurs. V.

62. εἰ μὲν οὐ πολλοὶ ἦσαν] Negatio non jungenda cum εἰ; sed cum πολλοί conjunctam format notionem: οὐ πολλοί, i. q. ὀλίγοι. εἰ — οὐ si leguntur in eadem enuntiatione, non opinandum est negationem afficere totam enuntiationem, sed unum nonnisi vocabulum, verbum imprimis, cum quo in unam quasi coalescit notionem oppositam. Elmslejum ad Eurip. Med. v. 87. et 348. graviter in his errantem vere correxit Hermannus. Lysiae hic locos, qui sunt pauci, colligam et illustrabo. Infra §. 76. ἐὰν μὲν οὖν φάσκῃ Φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε — — ἐὰν δ᾽ οὐ φάσκῃ, ἔρεσθε αὐτὸν, διότι φησὶν Ἀθηναῖος ποιηθῆναι. οὐ φάσκειν est Latinorum negare. §. 82. ὑπολαμβάνειν χρὴ, εἰ ἔρριψεν αὐτοῦ Αἴσιμος τὴν ἀσπίδα καὶ οὐκ εἴα μετὰ τῶν πολιτῶν πέμπειν τὴν πομπήν. οὐκ εἴα idem est, quod uno verbo dici posset ἐκώλυε. Plures non memini me legere apud nostrum.

www.libtool.com.cn

μάρτυς οὗτος Νικοκλέους καὶ Ἀντικλέους. καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

65 Πολλὰ τοίνυν, ὦ ἄνδρες δικασταί, ὅσα κακὰ καὶ αἰσχρὰ καὶ τούτῳ καὶ τοῖς τούτου ἀδελφοῖς ἐπιτετήδευται, πολὺ ἂν εἴη ἔργον λέγειν. περὶ δὲ συκοφαντίας, ὅσας οὗτος ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο, ἢ γραφὰς ὅσας ἐγράφετο, ἢ ἀπογραφὰς ἀπέγραφεν, οὐδέν με δεῖ καθ' ἕκαστον λέγειν. συλλήβδην γὰρ ὑμεῖς ἅπαντες καὶ ἐν τῷ δήμῳ καὶ ἐν τῷ δικαστηρίῳ συκοφαντίας αὐτοῦ κατέγνωτε καὶ ὤφλησεν
66 ὑμῖν μυρίας δραχμάς. ὥστε τοῦτο μὲν ἱκανῶς ὑπὸ ὑμῶν ἁπάντων μεμαρτύρηται. γυναῖκας τοίνυν τῶν πολιτῶν τοιοῦτος ὢν μοιχεύειν καὶ διαφθείρειν ἐλευθέρας ἐπεχείρησε, καὶ ἐλήφθη μοιχός· καὶ τούτου θάνατος ἡ ζημία ἐστίν. ὡς δὲ ἀληθῆ λέγω, μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

67 Ἦσαν τοίνυν οὗτοι, ὦ ἄνδρες δικασταί, τέτταρες ἀδελφοί. τούτων εἷς μὲν ὁ πρεσβύτερος ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς

65. Πολλὰ τοίνυν] Bekkerus » immo πάντα, « quod probo. [Sic nos in Mus. Attic. l. c. p. 97. F. J.]

ἀπογραφὰς] Post hoc vocabulum Coraes ad Isocr. T. II. p. 278. vel ὅσας vel ἃς inserendum censet. Atque etiam Meierus de bonis damnatorum, p. 201. ἃς addendum censet, et nil monito lectore addidit in libro: der Attische Process. p. 255. Si codd. quicquam variarent, id facile reciperem. Sed contra libros non ausim.

64. Νικοκλέους καὶ Ἀντικλέους] sc. δοῦλος. Rariorem hanc omissionem firmat Schaeferus ad Bosii Ellips. p. 117. s. " Nomen autem proprium Εὐμάρης non tentandum esse ostendit Valckenarius ad Herodoti L. II. 134.

65. ἢ ἀπογραφὰς] Ἀπογραφή est accusatio vel de bonis publicis interversis, vel de publicatione bonorum privatorum.

καὶ ἐν τῷ δήμῳ καὶ ἐν τῷ δικαστηρίῳ] Est quae dicitur προβολή, qua caussa primum ad populum deferebatur, ut is quasi praejudicium faceret de reo, inde vero competenti judicio tradebatur. Erat ἀγὼν ἀτίμητος, quo multa a judicibus aestimabatur, et hic erat decies mille drachmarum. Cf. Boeckh Staatshaushaltung. T. I. p. 211.

67. παραφρυκτωρευόμενος] Bekkeri Anecdd. p. 298. παρα-

www.libtool.com.cn

ὑπὸ Λαμάχου ἀπετυμπανίσθη· ὁ δ' ἕτερος εἰς Κόρινθον μὲν ἐντευθενὶ ἀνδράποδον ἐξήγαγεν· ἐκεῖθεν δὲ παιδίσκην ἀστῆς ἐξαγαγὼν ἁλίσκεται, καὶ ἐν τῷ δεσμωτηρίῳ δεδεμένος ἀπέθανε. τὸν δὲ τρίτον Φαινιπ- 68 πίδης ἐνθάδε λωποδύτην ἀπήγαγε, καὶ ὑμεῖς κρίναντες αὐτὸν ἐν τῷ δικαστηρίῳ καὶ καταγνόντες αὐτοῦ θάνατον, ἀποτυμπανίσαι παρέδοτε. ὡς δὲ ἀληθῆ λέγω, καὶ αὐτὸν οἶμαι ὁμολογήσειν τοῦτον, καὶ μάρτυρας παρεξόμεθα.

## ΜΑΡΤΥΡΕΣ.

Πῶς οὖν οὐχ ἅπασι προσήκει ὑμῖν τούτου κα- 69 ταψηφίζεσθαι; εἰ γὰρ τούτων ἕκαστος δι' ἓν ἁμάρτημα θανάτου ἠξιώθη, ἦπου τούτου γε πολλὰ ἐξημαρτηκότος καὶ δημοσίᾳ εἰς τὴν πόλιν καὶ ἰδίᾳ εἰς ἕκαστον ὑμῶν, ὧν ἑκάστου ἁμαρτήματος ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστί, δεῖ ὑμᾶς σφόδρα θάνατον αὐτοῦ καταψηφίσασθαι.

67. παιδίσκην ἀστῆς] Datum ex cod. pro vulgato αὐτήν. Ἀστή videtur esse civis Corinthiaca.

68. ἐνθάδε] Sic dedit Bekkerus ex Reiskii conjectura Animadvv. p. 61, quae profertur etiam in libro: der Attische Process. p. 229. not. 55. Significat in judicium. Vulgo ἐνθένδε: quod Reiskius in editione interpretatur e concione vestra; sed interpretandum foret: hinc, ex urbe, Athenis. Faceret enim oppositionem cum ἐκεῖθεν, quod est Corintho.

69. ἦπου τούτου γε] Libri ὑπὸ τοῦ γε. Optimus tamen ἦπου τοῦ γε; alterum dedit Reiske. In fine periodi αὐτοῦ repetitum, ut ne quis personae obliviscatur.

φρυκτωρεύεσθαι ajunt esse κακουργεῖν περὶ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνειν ἐπὶ συμφέροντι τῶν πολεμίων. Ὁ πρεσβύτερος autem h. l. pro ὁ πρεσβύτατος.

ἀνδράποδον ἐξήγαγεν] Is ἀνδραποδιστής dicebatur, sive hominem liberum in servitutem redigeret, sive alienum servum vi abreptum abduceret.

68. ἀπήγαγε] Ἀπάγεσθαι sensu forensi dicuntur ii, qui in ipso facto deprehensi, si confessi sint, statim a τοῖς Ἕνδεκα ea poena afficiebantur, quam leges constituebant; sin vero aut factum negabant, aut jure factum contendebant, in vincula conjiciebantur eique judicio tradebantur, a quo caussa erat inquirenda et dijudicanda.

ἀποτυμπανίσαι] Minime opus, ut addatur τῷ δημίῳ. Jam in ipso verbo haec notio inest, quemadmodum saepe is dicitur ἀποτυμπανίζειν, qui caput fustibus feriri jubet.

www.libtool.com.cn

70 Ἔτι δέ, ὦ ἄνδρες δικασταί, καὶ ἐξαπατῆσαι ὑμᾶς πειράσεται, ὡς ἐπὶ τῶν τετρακοσίων Φρύνιχον ἀπέκτεινε· καὶ ἀντὶ τούτου φησὶν αὐτὸν Ἀθηναῖον τὸν δῆμον ποιήσασθαι, ψευδόμενος, ὦ ἄνδρες δικασταί. οὔτε γὰρ Φρύνιχον ἀπέκτεινεν, οὔτε Ἀθηναῖον
71 αὐτὸν ὁ δῆμος ἐποιήσατο. Φρυνίχῳ γάρ, ὦ ἄνδρες δικασταί, κοινῇ Θρασύβουλός τε ὁ Καλυδώνιος καὶ Ἀπολλόδωρος ὁ Μεγαρεὺς ἐπεβουλευσάτην· ἐπειδὴ δὲ ἐπετυχέτην αὐτῷ βαδίζοντι, ὁ μὲν Θρασύβουλος τύπτει τὸν Φρύνιχον, καὶ καταβάλλει πατάξας, ὁ δὲ Ἀπολλόδωρος οὐχ ἥψατο, ἀλλ' ἐν τούτῳ κραυγὴ γίνεται, καὶ ᾤχοντο φεύγοντες. Ἀγόρατος δὲ οὑτοσὶ οὔτε παρεκλήθη, οὔτε παρεγένετο, οὔτε οἶδε τοῦ πράγματος οὐδέν. ὡς δὲ ἀληθῆ λέγω, αὐτὸ ὑμῖν τὸ ψήφισμα δηλώσει.

ΨΗΦΙΣΜΑ.

72 Ὅτι μὲν οὐκ ἀπέκτεινε Φρύνιχον, ἐξ αὐτοῦ τοῦ ψηφίσματος δῆλον. οὐδαμοῦ γάρ ἐστιν Ἀγόρατον Ἀθηναῖον εἶναι, ὥσπερ Θρασύβουλον καὶ Ἀπολλόδωρον· καίτοι εἴπερ ἀπέκτεινε Φρύνιχον, ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ, ἵνα περ Θρασύβουλον καὶ Ἀπολλόδωρον, Ἀθηναῖον πεποιημένον.... τὰ μέντοι ὀνόματα διαπράττονται σφῶν αὐτῶν, δόντες ἀργύριον τῷ ῥήτορι, προσγραφῆναι εἰς τὴν στήλην, ὡς εὐεργέτας ὄντας. καὶ ὡς ἀληθῆ λέγω, τοῦτο τὸ ψήφισμα ἐλέγξει.

70. Ἀθηναῖον] scriptum ex eodem cod. pro vulgato Ἀθηναίων: quod jam dudum mutandum esse intellexerunt viri docti.

71. ἀλλ' ἐν τούτῳ] Vulgo ἀλλὰ τούτῳ. Reiskius: ἀλλ' ἅμα τούτῳ: quod haud improbabile foret, nisi alterum ab optimo codice esset oblatum.

72. πεποιημένον . . . .] Dubitari nequit vocabulum excidisse, idque significant puncta. Quod addendum sit, non liquet. Sensus tamen apertus, si cogites v. c. γεγράφθαι.

70. Φρύνιχον] Reversus ex legatione, quam ad Lacedaemonios obierat, interficitur; de modo et auctoribus caedis antiqui scriptores inter se dissentiunt. Locos veterum collegit Meier. de bonis damnatorum p. 181. not. 68. Adde Car. Gul. Krügeri Comentt. Critt. et Historr. de Thucyd. historr. parte postrem. c. VII.

www.libtool.com.cn

ΨΗΦΙΣΜΑ.

Οὕτω μέντοι οὗτος πολὺ ὑμῶν καταφρονεῖ, ὥςτε 73
οὐκ ὢν Ἀθηναῖος καὶ ἐδίκαζε καὶ ἐξεκλησίαζε καὶ γραφὰς τὰς ἐξ ἀνθρώπων ἐγράφετο, ἐπιγραφόμενος Ἀναγυράσιος εἶναι. ἔπειτα δὲ καὶ ἕτερον μέγα τεκμήριον, ὡς οὐκ ἂν ἀπέκτεινε Φρύνιχον, δι' ὃν Ἀθηναῖός φησι γεγενῆσθαι. ὁ Φρύνιχος γὰρ οὗτος τοὺς τετρακοσίους κατέστησεν· ἐπειδὴ δ' ἐκεῖνος ἀπέθανεν, οἱ πολλοὶ τῶν τετρακοσίων ἔφυγον. πότερον οὖν δοκοῦσιν ὑμῖν οἱ 74
τριάκοντα καὶ ἡ βουλὴ ἡ ἐπὶ τῶν τριάκοντα βουλεύουσα, οἳ πάντες ἦσαν τῶν τετρακοσίων τῶν φυγόντων, ἀφεῖναι ἂν λαβόντες τὸν Φρύνιχον ἀποκτείναντα, ἢ τιμωρήσασθαι ὑπὲρ Φρυνίχου καὶ τῆς φυγῆς, ἧς αὐτοὶ ἔφυγον; ἐγὼ μὲν οἶμαι τιμωρεῖσθαι ἄν. εἰ 75
μὲν οὖν μὴ ἀποκτείνας προςποιεῖται, ἀδικεῖ, ὡς ἐγώ φημι. εἰ δὲ ἀμφιςβητεῖς, καὶ φῂς Φρύνιχον ἀποκτεῖναι, δῆλον, ὅτι μείζω τὸν δῆμον τῶν Ἀθηναίων κακὰ ποιήσας, τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς τοὺς τριάκοντα ἀπελύσω. οὐδέποτε γὰρ πείσεις οὐδένα ἀνθρώπων, ὡς Φρύνιχον ἀποκτείνας ἀφείθης ἂν ὑπὸ τῶν τριάκοντα, εἰ μὴ μεγάλα τὸν δῆμον τῶν Ἀθηναίων καὶ ἀνήκεστα κακὰ εἰργάσω. ἐὰν μὲν οὖν φά- 76
σκῃ Φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε, καὶ τοῦτον τιμωρεῖσθε, ἀνθ' ὧν ἐποίησεν· ἐὰν δ' οὐ φάσκῃ, ἔρεσθε αὐτόν, διότι φησὶν Ἀθηναῖος ποιηθῆναι. ἐὰν δὲ μὴ ἔχῃ ἀποδεῖξαι, τιμωρεῖσθε αὐτόν, ὅτι καὶ ἐδικάζετο, καὶ ἐξεκλησίαζε, καὶ ἐσυκοφάντει πολλούς, ὡς Ἀθηναῖος τοὔνομα ἐπιγραφόμενος.

Ἀκούω δὲ αὐτὸν παρασκευάζεσθαι ἀπολογεῖσθαι, 77
ὡς ἐπὶ Φυλὴν τε ᾤχετο, καὶ συγκατῆλθεν ἀπὸ Φυλῆς, καὶ τοῦτο μέγιστον ἀγώνισμα εἶναι. ἐγένετο δὲ τοιοῦτον. ἦλθεν οὗτος ἐπὶ Φυλήν· καίτοι πῶς ἂν γένοιτο ἄνθρωπος μιαρώτερος, ὅςτις, εἰδώς, ὅτι εἰσί τινες ἐπὶ

73. ἐξεκλησίαζε] Vulgo ἐκκλησίαζε; quidam libri habent ἐξεκκλησίαζε. Cf. Lobeck ad Phrynich. p. 155.

74. οἱ πάντες ἦσαν] Sic Bekkerus ex C. Ceteri οἱ αὐτοὶ ἅπαντες ἦσαν.

www.fbtool.com.cn

Φυλὴν τῶν ὑπὸ τούτου ἐκπεπτωκότων, ἐτόλμησεν ἐλ-
78 θεῖν ὡς τούτους; ἐπειδὴ δὲ εἶδον αὐτόν, τάχιστα συλ-
λαβόντες ἄγουσιν ἄντικρυς ὡς ἀποκτενοῦντες, οὗπερ
καὶ τοὺς ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κα-
κοῦργον λάβοιεν. στρατηγῶν δὲ Ἄνυτος ἐπὶ Φυλὴν
οὐκ ἔφη χρῆναι ποιεῖν αὐτοὺς ταῦτα, λέγων, ὅτι οὐχ
οὕτω διακέοιντο, ὥςτε τιμωρεῖσθαί τινας τῶν ἐχθρῶν,
ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν, εἰ δέ ποτε
οἴκαδε κατέλθοιεν, τότε καὶ τιμωρήσοιντο τοὺς ἀδι-
79 κοῦντας. ταῦτα λέγων αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν
τοῦτον ἐπὶ Φυλήν. ἀνάγκη δὲ ἦν στρατηγοῦ ἀνδρὸς
ἀκροᾶσθαι, εἴπερ ἔμελλον σωθήσεσθαι. ἀλλ' ἕτερον.
οὔτε γὰρ συσσιτήσας τούτῳ οὐδεὶς φανήσεται οὔτε
σύσκηνος γενόμενος, οὔτε ταξίαρχος εἰς τὴν φυλὴν
κατατάξας· ἀλλ' ὥςπερ ἀλιτηρίῳ οὐδεὶς ἀνθρώπων αὐ-
τῷ διελέγετο. καί μοι κάλει τὸν ταξίαρχον.

ΜΑΡΤΥΣ.

80 Ἐπειδὴ δὲ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο,
καὶ ἔπεμψαν οἱ πολῖται ἐκ Πειραιῶς τὴν πομπὴν εἰς
πόλιν, ἡγεῖτο μὲν Αἴσιμος τῶν πολιτῶν, οὗτος δὲ οὕτω
τολμηρὸς καὶ τότε ἐγένετο. συνηκολούθει γὰρ λαβὼν
τὰ ὅπλα καὶ συνέπεμπε τὴν πομπὴν μετὰ τῶν πολι-
81 τῶν πρὸς τὸ ἄστυ. ἐπειδὴ δὲ πρὸς ταῖς πύλαις ἦσαν
καὶ ἔθεντο τὰ ὅπλα, πρὶν εἰςιέναι εἰς τὸ ἄστυ, ὁ μὲν
Αἴσιμος αἰσθάνεται, καὶ προςελθὼν τήν τε ἀσπίδα αὐ-
τοῦ λαβὼν ἔῤῥιψε, καὶ ἀπιέναι ἐκέλευσεν ἐς κόρακας
ἐκ τῶν πολιτῶν. οὐ γὰρ ἔφη δεῖν ἀνδροφόνον αὐτὸν

78. εἴ τινα λῃστὴν — — λάβοιεν] Sic C pro lectione ceterorum librorum: συλλάβοιεν. Λάβοιεν autem idem fere quod συλλάβοιεν, sed rarius. cf. κατ' Ἐρατοσθ. Annott. §. 16.
οὐχ οὕτω] Sic optimus pro vulgato οὔπω οὕτω. Negationem plane omittit alter Bekkeri liber.
80. καὶ τότε ἐγένετο] Vulgo καὶ ἐκεῖ ἐγένετο.

79. ἀλλ' ἕτερον] Formula, significans argumentum aliud accedere, quod rem extra omnem dubitationem ponat.

81. ἔθεντο τὰ ὅπλα] H. l. consistebant, ut fieret lustratio militum.

ἀπιέναι ἐς κόρακας] Locutio proverbialis similis nostro zum Henker gehen, Lat. abire in rem malam.

www.libtool.com.cn

ὄντα συμπέμπειν τὴν πομπὴν τῇ Ἀθηνᾷ· τούτῳ τῷ τρόπῳ ὑπὸ Αἰσίμου ἀπηλάθη. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Τούτῳ τῷ τρόπῳ, ὦ ἄνδρες δικασταί, καὶ ἐπὶ Φυλῇ καὶ ἐν Πειραιεῖ πρὸς τοὺς πολίτας διέκειτο. οὐδεὶς γὰρ αὐτῷ διελέγετο ὡς ἀνδροφόνῳ ὄντι· τοῦ τε μὴ ἀποθανεῖν Ἄνυτος ἐγένετο αὐτῷ αἴτιος. ἐὰν οὖν τῇ ἐπὶ Φυλὴν ὁδῷ ἀπολογίᾳ χρῆται, ὑπολαμβάνειν χρή, εἰ Ἄνυτος αὐτῷ ἐγένετο αἴτιος μὴ ἀποθανεῖν, ἑτοίμων ὄντων τιμωρεῖσθαι, καὶ εἰ ἔρριψεν αὐτοῦ Αἴσιμος τὴν ἀσπίδα, καὶ οὐκ εἴα μετὰ τῶν πολιτῶν πέμπειν τὴν πομπήν· καὶ εἴ τις αὐτὸν ταξίαρχος εἰς τάξιν τινὰ κατέταξεν. 82

Μήτε οὖν ταῦτα αὐτοῦ ἀποδέχεσθε, μήτε ἂν λέγῃ, ὅτι πολλῷ χρόνῳ ὕστερον τιμωρούμεθα. οὐ γὰρ οἶμαι οὐδεμίαν τῶν τοιούτων ἀδικημάτων προθεσμίαν εἶναι. ἀλλ' ἐγὼ μὲν οἶμαι, εἴτ' εὐθὺς εἴτε χρόνῳ τις τιμωρεῖται, τοῦτον δεῖν ἀποδεικνύναι, ὡς οὐ πεποίηκε, περὶ ὧν ἔστιν ἡ αἰτία. οὗτος τοίνυν τοῦτο ἀποφαινέτω, ἢ 83 84

82. ἐπὶ Φυλῇ] Vulgo ἐπὶ Φυλήν. Alterum imprimis ob adjunctum ἐν Πειραιεῖ praeferendum erat.
καὶ εἰ ἔρριψεν] Εἰ accessit ex codice.

ἀπηλάθη] Moeris p. 14. ἀπηλάθη Ἀττικῶς· ἀπηλάσθη Ἑλληνικῶς, ubi Piersonus veritatem observationis probavit.

82. πρὸς τοὺς πολίτας διέκειτο] Ex contextu accuratius dictum fuisset: οἱ πολῖται πρὸς αὐτὸν διέκειντο. Sed facile intelligitur utraque formula ab alterutra parte.

αἴτιος μὴ ἀποθανεῖν] Αἴτιος cum infinitivo sine genitivo articuli saepe poni docuit Schaeferus Meletem. Critt. p. 23.

ἑτοίμων ὄντων] Reiskio addendum videtur ὑμῶν. Sed ad participium absolutum subjectum interdum omittitur, quum praesertim per orationis seriem ambiguitas locum non habeat. Quum autem in enuntiatione Ἄνυτος εἰς μόνος sit cum vi subjectum, perspicitur hic supplendum esse τῶν ἄλλων, κατὰ Πολιούχ. p. 601. R. ὑπὲρ τῶν τ. Ν. ἀδ. §. 4. ἡττημένων γὰρ ἐν τῇ ναυμαχίᾳ, στρατηγὸς ὑφ' ὑμῶν ᾑρημένος. Cf. Matthiae gr. Gr. §. 563.

83. οὐδεμίαν — — προθεσμίαν] De προθεσμία caute et sobrie egit Platner der Process. a pag. 140.

ἐγὼ μὲν οἶμαι] Reiskius haec tamquam vitiose redundantia uncis inclusit; perperam. Formula est cum ironia asseverans.

ὡς οὐκ ἀπέκτεινεν ἐκείνους, ἢ ὡς δικαίως, κακόν τι ποιοῦντας τὸν δῆμον τῶν Ἀθηναίων. εἰ δέ, πάλαι δέον τιμωρεῖσθαι, ὕστερον ἡμεῖς τιμωρούμεθα, τὸν χρόνον κερδαίνει, ὃν ἔζη, οὐ προςῆκον αὐτῷ· οἱ δὲ ἄνδρες ὑπὸ τούτου οὐδὲν ἧττον τεθνήκασιν.

85 Ἀκούω δ' αὐτὸν καὶ τῳδὶ ἰσχυρίζεσθαι, ὅτι ἐπ' αὐτοφώρῳ τῇ ἀπαγωγῇ ἐπιγέγραπται· ὃ πάντων, ἐγὼ οἶμαι, εὐηθέστατον ὡς, εἰ μὲν τὸ ἐπ' αὐτοφώρῳ μὴ προςεγέγραπτο, ἔνοχος ὢν τῇ ἀπαγωγῇ· διότι δὲ τοῦτο προςγέγραπται, ἔνοχος ὤν, ῥᾳστώνην τινὰ οἴεται αὐτῷ εἶναι. τοῦτο δὲ οὐδενὶ ἄλλῳ ἔοικεν ἢ ὁμολογεῖν ἀποκτεῖναι, μὴ ἐπ' αὐτοφώρῳ δέ, καὶ περὶ τούτου διϊσχυρίζεσθαι, ὥςπερ, εἰ μὴ ἐπ' αὐτοφώρῳ μέν, ἀπέκτεινε

86 δέ, τούτου ἕνεκα δέον αὐτὸν σώζεσθαι. δοκοῦσι δ' ἔμοιγε οἱ ἕνδεκα οἱ παραδεξάμενοι τὴν ἀπαγωγὴν

85. τῳδὶ ἰσχυρίζεσθαι] Feliciter ita correxit Reiskius librorum lectionem διϊσχυρίζεσθαι. Rarum ὁδί plerumque injuriam librariorum passum est.
85. ὃ πάντων] ὅ accessit ex cod. Vulgo deest.

85. τῇ ἀπαγωγῇ] Hic est libellus, quo quis accusatur criminis, in quod ea actio cadebat, quae ἀπαγωγή dicebatur. Cf. der Attische Process p. 228. Supra §. 68. ἀπήγαγε, ubi vide notam.
86. Hunc locum viri docti, etiam recentissimi, qui eum tractarunt, ut Ullrich in scripto: die Eilfmänner p. 245. et Meier. der Att. Process p. 228. corruptum, implicatum et lacunosum esse dixerunt, nec attulerunt, quo opem ferrent. Antiquiorum conamina, quae propter ipsam violentiam omni probabilitate carent, praetereo, et dicam, quomodo mihi locus intelligendus et scribendus videatur. — Dionysius ἀπαγωγὴν Agorati deferebat ad τοὺς ἕνδεκα. Hi, triginta virorum partibus vehementer addicti, Agorato, fideli harum partium asseclae, favebant, accusationemque Dionysii ita instituere volebant, ut Agoratus triginta viris probaretur, οἰόμενοι Ἀγοράτῳ συμπράττειν: quod fiebat, si disertis verbis exprimebatur certum esse Agoratum homines interfecisse. Hinc affirmabant Dionysio recte eum facere, quod ἀπαγωγὴν institueret contra Agoratum, διϊσχυριζόμενοι σφόδρα ὀρθῶς ποιῆσαι Διονύσιον τὴν ἀπαγωγὴν ἀπάγειν, et instabant ei addere libello accusationis verba ἐπ' αὐτοφώρῳ, Dionysio persuadentes non solum eum dici ἐπ' αὐτοφώρῳ θανατῶσαι, qui manum ipse injecerit, sed qui in caussa fuerit, ut alius interficeretur; re autem vera opinantes Agoratum eo magis probatum iri triginta viris, si accusetur ἐπ' αὐτοφώρῳ τινὰς ἀποκτεῖναι. Ut autem constructio loci constet, lenissima correctio adhibenda: post ᾗ enim addendum ἄν, unde pendent optativi ἀποκτείνειε et γένοιτο, quia — interfecisset, et ita fuisset.

ταύτην, οἰόμενοι Ἀγόρατον συλλαμβάνειν· εἶτα, καὶ διισχυριζόμενοι σφόδρα ὀρθῶς ποιῆσαι Διονύσιον, τὴν ἀπαγωγὴν ἀπάγειν ἀναγκάζοντες, προσγράψασθαι τὸ ἐπ' αὐτοφώρῳ, ἢ ὅπου ἂν ᾖ πρῶτον μὲν ἐναντίον πεντακοσίων ἐν τῇ βουλῇ, εἶτα πάλιν ἐναντίον Ἀθηναίων ἁπάντων ἐν τῷ δήμῳ ἀπογράψας τινὰς ἀποκτείνειε καὶ αἴτιος γένοιτο τοῦ θανάτου. οὐ γὰρ δή- 87
που τοῦτο μόνον οἴεται ἐπ' αὐτοφώρῳ, ἐάν τις ξύλῳ, ἢ μαχαίρᾳ πατάξας καταβάλῃ· ἐπεὶ ἔκ γε τοῦ σοῦ λόγου οὐδεὶς φανήσεται ἀποκτείνας τοὺς ἄνδρας, οὓς σὺ ἀπέγραψας· οὔτε γὰρ ἐπάταξεν αὐτοὺς οὐδεὶς οὔτε ἀπέσφαξεν· ἀλλ' ἀναγκασθέντες ὑπὸ τῆς σῆς ἀπογραφῆς ἀπέθανον. οὐκοῦν αἴτιος τοῦ θανάτου οὗτος ἐπ' αὐτοφώρῳ ἐστί. τίς οὖν ἄλλος αἴτιος, ἢ σύ, ἀπογράψας; ὥστε πῶς οὐκ ἐπ' αὐτοφώρῳ σὺ εἶ ὁ ἀποκτείνας;

Πυνθάνομαι δ' αὐτὸν καὶ περὶ τῶν ὅρκων καὶ 88
περὶ τῶν συνθηκῶν μέλλειν λέγειν, ὡς παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀγωνίζεται, ἃς συνεθέμεθα πρὸς τοὺς ἐν ἄστει οἱ ἐν τῷ Πειραιεῖ. σχεδὸν μὲν οὖν τούτοις ἰσχυριζόμενος ὁμολογεῖ ἀνδροφόνος εἶναι· ἐμποδὼν γοῦν ἢ ὅρκους, ἢ συνθήκας, ἢ χρόνον, ἢ ἐπ' αὐτοφώρῳ τι ποιεῖται, αὐτῷ δὲ τῷ πράγματι οὔ τοι πιστεύει καλῶς ἀγωνιεῖσθαι. ὑμῖν δέ, ὦ ἄνδρες 89

88. τῷ πράγματι] Reiskii haec est emendatio. Libri habent γράμματι. Utrumque vocabulum saepissime in libris scriptis confunditur, ut docuerunt interpretes ad Gregor. Corinth. Vide Ind. edit. Schaefer. s.v. γράμμα.

87. οἴεται] Videtur hic significatione passiva adhibitum, quod rarum in Attica prosa, in poesi interdum invenitur.

ἀπέθανον] Reiskius deesse nonnulla censet, quibus ratio mortis indicetur. Non opinor. Perinde est enim in hoc loco, quamnam mortis rationem passi sint. Mortem eos passos esse sufficit.

οὐκοῦν αἴτιος cet.] Haec est objectiva ratiocinatio, quam adversarius ducit ex eo, quod ita generaliter affirmavit orator,

88. ἢ ἐπ' αὐτοφώρῳ τι ποιεῖται] Reiskius τι ut spurium uncis inclusit. Non opus. Ἐπ' αὐτοφώρῳ adhibetur ut formula absoluta; quod indicatur per adjectum τι.

δικαστάς, οἶμαι, προσήκει περὶ τούτων ἀποδέχεσθαι· ἀλλ' ὡς οὐκ ἀπέγραψεν, οὐδὲ οἱ ἄνδρες τεθνᾶσι, περὶ τούτων κελεύετε αὐτὸν ἀπολογεῖσθαι. ἔπειτα τοὺς ὅρκους καὶ τὰς συνθήκας οὐδὲν ἡγοῦμαι προσήκειν ἡμῖν πρὸς τουτονί. οἱ γὰρ ὅρκοι τοῖς ἐν ἄστει πρὸς

90 τοὺς ἐν Πειραιεῖ γεγένηνται. εἰ μὲν οὖν οὗτος μὲν ἐν ἄστει, ἡμεῖς δὲ ἐν Πειραιεῖ ἦμεν, εἶχόν τινα λόγον αὐτῷ αἱ συνθῆκαι· νῦν δὲ καὶ οὗτος ἐν Πειραιεῖ ἦν, καὶ ἐγὼ καὶ Διονύσιος, καὶ οὗτοι ἅπαντες οἱ τοῦτον τιμωρούμενοι. ὥστε οὐκ ἔστιν ἡμῖν ἐμποδὼν οὐδέν· οὐδένα γὰρ ὅρκον οἱ ἐν Πειραιεῖ τοῖς ἐν Πειραιεῖ ὤμοσαν.

91 Ἐκ παντὸς δὲ τρόπου ἔμοιγε δοκεῖ οὐχ ἑνὸς θανάτου ἄξιος εἶναι, ὅστις φησὶ μὲν ὑπὸ τοῦ δήμου...., τὸν δὲ δῆμον, ὃν αὐτός φησι πατέρα αὐτοῦ εἶναι, φαίνεται κακώσας, καὶ ἀφεὶς καὶ προδοὺς ἐξ ὧν ἐκεῖνος μείζων καὶ ἰσχυρότερος ἐγένετο. ὅστις οὖν τόν τε γόνῳ πατέρα τὸν αὑτοῦ ἔτυπτε, καὶ οὐδὲν παρεῖχε τῶν ἐπιτηδείων, τόν τε ποιητὸν πατέρα ἀφείλετο ἃ ἦν ὑπάρχοντα ἐκείνῳ ἀγαθά, πῶς οὐ καὶ διὰ τοῦτο καὶ διὰ τὸν τῆς κακώσεως νόμον ἄξιός ἐστι θανάτῳ ζημιωθῆναι;

92 Προσήκει δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἅπασι τιμωρεῖν ὑπὲρ ἐκείνων τῶν ἀνδρῶν, ὁμοίως, ὥσπερ ἡμῶν

91. *ὑπὸ τοῦ δήμου....*] Lacuna est in cod. C. Reiskius addendum censebat: *πεποιῆσθαι*, quod ad sententiam bonum.
*προδοὺς*] Hoc, quod pro vulgato *προδόσας* recte Reiskius conjecit, et vel sine libris recipiendum erat, obtulit optimus cod.

89. *περὶ τούτων ἀποδέχεσθαι*] Rarior haec est constructio. Notandum in genere *περί* cum genitivo saepe poni, ubi ratio vel hominis vel rei in universum spectatur, ubi alias simplex accusativus usitatus est.

91. *διὰ τὸν τῆς κακώσεως νόμον*] Sermo est de *κακώσει γονέων*, quam culpam contrahebant liberi, qui vel verberando vel male dicendo parentes contumelia afficiebant, tum, qui illis egentibus aut, dum vivebant, habitandi locum et alimenta dare, aut mortuis *τὰ νομιζόμενα* facere recusabant. Patet ex nostro loco, eos, qui hujus criminis convicti et damnati erant, morte puniri potuisse; mortis autem poenam lege sancitam fuisse non sequitur. Alii autem loci docent lege eos *ἀτιμίᾳ* notatos fuisse et *προστίμημα* penes judices fuisse. Cf. der Attische Process p. 292 s.

www.libtool.com.cn

ἑνὶ ἑκάστῳ. ἀποθνῄσκοντες γὰρ ἡμῖν ἐπέσκηψαν καὶ ὑμῖν καὶ τοῖς ἄλλοις ἅπασι τιμωρεῖν ὑπὲρ σφῶν αὐτῶν Ἀγόρατον τουτονί, ὡς φονέα ὄντα, καὶ κακῶς ποιεῖν, καθ' ὅσον ἂν βραχὺ ἕκαστος δύνηται. εἰ τοίνυν τι ἐκεῖνοι ἀγαθὸν τὴν πόλιν, ἢ τὸ πλῆθος τὸ ὑμέτερον φανεροί εἰσι πεποιηκότες, ἃ καὶ αὐτοὶ ὑμεῖς ὁμολογεῖτε, ἀνάγκη ὑμᾶς ἐστι πάντας ἐκείνοις φίλους καὶ ἐπιτηδείους εἶναι. ὥστε οὐδὲν μᾶλλον ἡμῖν ἢ καὶ ὑμῶν ἑνὶ ἑκάστῳ ἐπέσκηψαν. οὐκοῦν οὔτε ὅσιον οὔτε 93
νόμιμον ὑμῖν ἐστιν ἀνεῖναι Ἀγόρατον τουτονί. ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, νυνὶ δή, ἐπειδὴ ἐν τῷ τότε χρόνῳ, ἐν ᾧ ἐκεῖνοι ἀπέθνῃσκον, οὐχ οἷοί τε ἐκείνοις ἐπαρκέσαι γεγόνατε διὰ τὰ πράγματα τὰ περιεστηκότα, νυνί, ἐν ᾧ δύνασθε, τιμωρήσατε τὸν ἐκείνων φονέα. ἐνθυμεῖσθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ πάντων ἔργον σχετλιώτατον ἐργάσησθε. εἰ γὰρ ἀποψηφιεῖσθε Ἀγοράτου τουτουΐ, οὐ μόνον τοῦτο διαπράττεσθε, ἀλλὰ καὶ ἐκείνων τῶν ἀνδρῶν, οὓς ὁμολογεῖτε ὑμῖν εὔνους εἶναι, τῇ αὐτῇ ψήφῳ ταύτῃ θάνατον καταψηφίζεσθε. ἀπολύοντες γὰρ τὸν αἴτιον ὄντα 94
ἐκείνοις τοῦ θανάτου, οὐδὲν ἄλλο γιγνώσκετε ἢ ἐκείνους δικαίως ὑπὸ τούτου τεθνηκέναι. καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ, οἷς ἐπέσκηπτον ἐκεῖνοι,

93. τοῦτο διαπράττεσθε] Sic optimus pro vulgato τούτῳ: quae lectio quomodo irrepserit, significat alter liber, qui habet nonnisi τουτ. Hinc altera terminatio ab homine parum attento intrusa.

καταψηφίζεσθε] Sic uterque codex pro vulgato corrupto καταψηφίσεσθε: quod vel sine libris corrigendum erat. Cf. κατ' Ἐρατοσθ. §. 44. Var. Lect.

92. καθ' ὅσον ἂν βραχὺ ἕκαστος δύνηται] Βραχὺ additum significat quacunque ratione puniendum esse hunc hominem; gravi poena ab eo, qui possit; sin autem gravi quis eum afficere non possit, ostendat saltem libenter se eum, qua possit, afficere. κατ' Ἐρατοσθ. §. 84. eandem sententiam sic exprimit: ἐπειδὴ τοίνυν πάντα ποιοῦντες κατ' αὐτῶν οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν ἀπολιπεῖν, ἥντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν;

ἀνεῖναι Ἀγόρατον] Rarum hac significatione verbum de eo, qui judicio absolvitur. Marklandus unum nonnisi locum affert Xenophont. Hellen. II. 3, 51, necdum ego alterum novi.

www.libtool.com.cn

ὡς φίλοις οὖσι, τιμωρεῖν ὑπὲρ αὐτῶν, οὗτοι ὁμόψηφοι κατ' ἐκείνων τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσον-
95 ται. μηδαμῶς, ὦ ἄνδρες δικασταί, πρὸς θεῶν Ὀλυμπίων, μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων τῶν ἀνδρῶν καταψηφίσησθε, οἳ πολλὰ κἀγαθὰ ὑμᾶς ποιήσαντες, διὰ ταῦτα ὑπὸ τῶν τριάκοντα καὶ Ἀγοράτου τουτουῒ ἀπέθανον. ἀναμνησθέντες οὖν ἁπάντων τῶν δεινῶν, καὶ τῶν κοινῶν τῇ πόλει καὶ τῶν ἰδίων, ὅσα ἑκάστῳ ἐγένοντο, ἐπειδὴ ἐκεῖνοι οἱ ἄνδρες ἐτελεύτησαν, τιμωρήσατε τὸν αἴτιον τούτων. ἀποδέδεικται δ' ὑμῖν ἅπαντα καὶ ἐκ τῶν ψηφισμάτων καὶ ἐκ τῶν ἀπογραφῶν καὶ ἐκ τῶν ἄλλων ἁπάντων Ἀγόρατος
96 ὢν αὐτοῖς αἴτιος τοῦ θανάτου. ἔτι δὲ καὶ προσήκει ὑμῖν ἐναντία τοῖς τριάκοντα ψηφίζεσθαι, ὧν μὲν τοίνυν ἐκεῖνοι θάνατον κατέγνωσαν, ὑμεῖς ἀποψηφίσασθε· ὧν δ' ἐκεῖνοι θάνατον οὐ κατέγνωσαν, ὑμεῖς καταγινώσκετε. οἱ τριάκοντα τοίνυν τῶν μὲν ἀνδρῶν τούτων, οἳ ἦσαν ἡμέτεροι φίλοι, θάνατον κατέγνωσαν, ὧν δεῖ ὑμᾶς ἀποψηφίζεσθαι· Ἀγοράτου δὲ ἀπεψηφίσαντο, διότι ἐδόκει προθύμως τούτους ἀπολλύναι· οὗ
97 προσήκει καταψηφίζεσθαι. ἐὰν οὖν τὰ ἐναντία τοῖς τριάκοντα ψηφίζησθε, πρῶτον μὲν οὐχ ὁμόψηφοι γίγνεσθε· ἔπειτα τοῖς ὑμετέροις αὐτῶν φίλοις τετιμωρηκότες ἔσεσθε· ἔπειτα τοῖς πᾶσιν ἀνθρώποις δόξετε δίκαια καὶ ὅσια ψηφίσασθαι.

95. ὅσα ἑκάστῳ ἐγένοντο] Vide Excursum X.

www.libtool.com.cn

# ΛΥΣΙΟΥ

## ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΛΕΙΠΟΤΑΞΙΟΥ.

### PROOEMIUM.

Alcibiades, in quem habetur haec oratio, quae est δευτερολογία, (vide prooemium ὑπὲρ Καλλίου) filius erat celebris illius Alcibiadis, quo nihil fuisse excellentius vel in vitiis vel in virtutibus scribit Cornelius Nepos Alcib. I. 1. Qualis fuerit filius, nonnisi ex hac oratione cognosci potest et ex ea, quae sequitur altera in Lysiae editionibus, quam tamen cum Boeckkio non a Lysia conscriptam existimo, sed ab alio ejusdem aetatis oratore. Hic tamen Alcibiades a Xenophonte Memor. I. 3, 8. καλός appellatur, et ex Plutarcho Alcib. p. 129. E. cognoscimus eum a comicis irrisum esse ut patris simiam: quod utrumque cum nostra oratione consentit.

Orditur orator a flagitiis, ab Alcibiade puero commissis, talibus et tantis, ut, si vel nemo de injuriis privatim acceptis queratur, eum tamen ex ceteris vitae institutis summa poena dignum judicare oporteat. Iis autem flagitiis eum etiam gloriari, quorum ipsius caussa vel inimicos pudeat. Actor quamquam privatim caussas habeat hominem ulciscendi, tamen publica vult crimina persequi.

*Λειποταξίου* igitur eum accusat. Notionem primo constituit. cf. var. lect. §. 7. Effugium refutat, quo ipse Alcibiades ejusque patroni utuntur, λειποταξίου eum accusari non posse, quod pugna nulla facta sit. Ostendit autem lege disertis verbis dici eum λειποταξίου reum esse, ὃς ἂν μὴ παρῇ ἐν τῇ πεζῇ στρατιᾷ. Tum ostendit Alcibiadem unum reum esse omnium, quae lex contineat, momentorum, et imprimis hoc ei crimini vertitur, quod eques stipendia fecerit sine δοκιμασίᾳ, quum qui ἀδοκίμαστος equitaverit, lege ἄτιμος pronuntietur. §. 8 ss. Coercendos in ejusmodi caussis nobiles et conspicuos viros, ut eorum poena aliis sit exemplum. Non obliviscendum esse inter milites multos fuisse adversa valetudine, qui libenter in oppidis manentes se curavissent, alios inopia pressos, qui domum reversi res suas tueri cupivissent. At hi magis reverebantur civitatis leges, quam periculum ab hostibus aut suas ipsorum molestias et angustias metuebant.

Nec ob patronorum opes servandus, sed ob suam ipsius improbitatem perdendus. Jam vitam omnem persequitur, et ostendit inde a puero libidinibus eum omnis generis indulsisse, quasi metuentem, ne in adulta aetate non possit esse λαμπρός, nisi nequissimus apparuerit in pueritia. In patrem facinora machinatus est, ut is se negaret vel ossa mortui filii recepturum. Atque etiam in affinem talia patravit, cumque ejus uxore, sorore sua, sic versatus est, ut ille uxorem repudiaverit.

Nunc transit orator ad illud rei assertum, quod patris virtutes ad ipsum etiam referendae sint, et affirmat patrem tot sibi et

www.libtool.com.cn

tantorum conscium fuisse in patriam commissorum, ut se ipsum exsilio damnans Thraciae et cujusvis civitatis maluerit quam suae patriae civis fieri; totam autem domum perniciosam civitati. Nam etiam proavum bis ostracismo ejectum. Habemus Isocratis orationem, quae inscribitur περὶ τοῦ ζεύγους. Eam habet ipse, qui hic accusatur, Alcibiades, et crimina, quae in nostra oratione in patrem conjiciuntur, ita refutat, ut vix dubium sit, quin nostra respexerit Isocrates.

Concludit tandem civitati quam maxime conducere, ut ne parcatur hominibus, quos rerum honestarum pudeat, qui vero flagitiis et facinoribus glorientur, quum ne spes quidem haberi possit fore, ut aliquando bene de patria mereantur, neque metuendum sit, ne expulsi patriam in discrimen adducant. Neutrum enim ab Alcibiade nec sperandum, nec metuendum esse.

---

1 Ἡγοῦμαι μέν, ὦ ἄνδρες δικασταί, οὐδεμίαν ὑμᾶς ποθεῖν ἀκοῦσαι πρόφασιν παρὰ τῶν βουλομένων Ἀλκιβιάδου κατηγορεῖν. τοιοῦτον γὰρ πολίτην ἑαυτὸν ἐξ ἀρχῆς παρέσχεν, ὥστε, καὶ εἰ μή τις ἰδίᾳ ἀδικούμενος ὑπ' αὐτοῦ τυγχάνει, οὐδὲν ἧττον προσήκει ἐκ τῶν ἄλ-
2 λων ἐπιτηδευμάτων ἐχθρὸν αὐτὸν ἡγεῖσθαι. οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα, οὐδὲ συγγνώμης ἄξια, οὐδ' ἐλπίδα παρέχοντα, ὡς ἔσται τοῦ λοιποῦ βελτίων· ἀλλ' οὕτω πεπραγμένα, καὶ εἰς τοσοῦτον κακίας ἀφιγμένα,

1. εἰ μή τις - - τυγχάνει] Nescio, cur Reiskius contra codd. scripserit τυγχάνοι, quum praesertim etiam ὥστε indicativum προσήκει junctum habeat.

2. τοσοῦτον] Vulgo τοσοῦτο. Cf. πρὸς Σίμ. V. L. §. 1.

1. οὐδεμίαν ὑμᾶς ποθεῖν ἀκοῦσαι] Jam in annotatt. κατ' Ἐρατοσθ. §. 2. monuimus moris fuisse Atheniensium, ut in capitis caussa actor demonstraret jamdudum inter se et reum inimicitiam obtinuisse. Hac vero in caussa neminem ait hoc desideraturum. Talem enim se Alcibiadem in omni vita praestitisse, ut singulorum omnium inimicitia prematur. Quae quamquam ita sint, tamen affirmat non inter ipsos solum, verum jam inter patres odium et inimicitiam intercessisse.

2. ἀλλ' οὕτω πεπραγμένα] Perperam Reiskius βδελυρῶς aut μιαρῶς aut simile adverbium addendum censet. Οὕτω enim absolute positum haud raro notionem malam habet, quae satis ex contextu perspicitur; hic autem additum est explicativum καὶ εἰς τοσοῦτον κακίας ἀφιγμένα.

www.libtool.com.cn

ὥστ' ἐπ' ἐνίοις, ὧν οὗτος φιλοτιμεῖται, τοὺς ἐχθροὺς αἰσχύνεσθαι. ἐγὼ μέντοι, ὦ ἄνδρες δικασταί, καὶ πρότερον πρὸς τοὺς πατέρας ἡμῖν διαφορᾶς ὑπαρχούσης, καὶ πάλαι τοῦτον ἐχθρὸν ἡγούμενος, καὶ νῦν ὑπ' αὐτοῦ πεπονθὼς κακῶς, πειράσομαι περὶ πάντων τῶν πεπραγμένων μεθ' ὑμῶν αὐτὸν τιμωρήσασθαι. περὶ μὲν οὖν 3
τῶν ἄλλων Ἀρχέστρατίδης ἱκανῶς κατηγόρησε· καὶ γὰρ τοὺς νόμους ἐπέδειξε, καὶ μάρτυρας πάντων παρέσχετο· ὅσα δ' οὗτος παραλέλοιπεν, ἐγὼ καθ' ἕκαστον ὑμᾶς διδάξω. ἀνάγνωθι δέ μοι τὸν νόμον.

ΝΟΜΟΣ.

Εἰκὸς τοίνυν ἐστίν, ὦ ἄνδρες δικασταί, ἐξ οὗ τὴν 4
εἰρήνην ἐποιησάμεθα, πρῶτον περὶ τούτων νυνὶ δικάζοντας μὴ μόνον δικαστάς, ἀλλὰ καὶ νομοθέτας αὐτοὺς γενέσθαι, εὖ εἰδότας, ὅτι, ὅπως ἂν ὑμεῖς νυνὶ περὶ αὐτῶν γνῶτε, οὕτω καὶ τὸν ἄλλον χρόνον ἡ πόλις αὐτοῖς χρήσεται. δοκεῖ δέ μοι καὶ πολίτου χρηστοῦ καὶ

ἐπ' ἐνίοις] Haec est pro librorum lectione ἐπινικίοις Reiskii emendatio multo subtilior, quam quod Car. Segaar conjecit Act. Soc. Traj. T. I. p. 84. ἐπὶ κακοῖς, οἷς οὗτος φιλοτ. Genitivus autem ὧν positus est per attractionem pro τούτων, ἅ. [Fort. post φιλοτιμεῖται excidit καί. F. J.]

3. περὶ μὲν οὖν τῶν ἄλλων] Hoc, quod Reiske conjecerat, obtulit cod. Vulgo deest οὖν.

πρὸς τοὺς πατέρας ἡμῖν διαφορᾶς ὑπαρχούσης] Scaliger et Marklandus volunt ἡμῶν: quo, non opus. Dativus enim pronominum personalium, praesertim si verbum sit in enuntiatione, quod dativum regat, ab Atticis sic usurpari solet. Cf. F. A. Wolfium ad Demosthenis Leptin. p. 274.

4. ἀλλὰ καὶ νομοθέτας] Nomothetae a populo creabantur, quoties de legibus novis rogandis veteribusque abrogandis agendum erat: cui rei initium anni statum erat. Vult igitur dicere hos, qui primi post bellum de caussa λειποταξίου judicent, non solum fore judices, sed etiam legumlatores. Prout enim hanc ipsi caussam judicaverint, eodem modo ceteras, si quae incidant, judicatum iri.

τὸν ἄλλον χρόνον] Perrara significatione de tempore futuro hic dicitur, quod dici solet τὸν λοιπὸν χρόνον. Alias ὁ ἄλλος χρόνος nonnisi de tempore praeterito. Legebatur ὁ ἄλλος βίος de vita, quae restabat, περὶ ἀδυν. §. 3. p. 742. R. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ τὴν διάνοιαν ἕξω καὶ τὸν ἄλλον βίον διάξω, τί τοῦτον διοίσω; Sed Bekkerus auctoritate optimi codicis ἄλλον delevit.

ἐτόλμησεν ἀδοκίμαστος ἱππεύειν. καί μοι ἀνάγνωθι
www.libtool.com.cn
τὸν νόμον.

## ΝΟΜΟΣ.

9 Οὗτος τοίνυν εἰς τοῦτ' ἦλθε πονηρίας, καὶ οὕτως
ὑμῶν κατεφρόνησε καὶ τοὺς πολεμίους ἔδεισε καὶ ἱπ-
πεύειν ἐπεθύμησε καὶ τῶν νόμων οὐκ ἐφρόντισεν, ὥστε
οὐδὲν αὐτῷ τούτων τῶν κινδύνων ἐμέλησεν, ἀλλ' ἐβου-
λήθη καὶ ἄτιμος εἶναι, καὶ τὰ χρήματ' αὐτοῦ δη-
μευθῆναι, καὶ πάσαις ταῖς κειμέναις ζημίαις ἔνοχος
γενέσθαι μᾶλλον ἢ μετὰ τῶν ὁπλιτῶν εἶναι καὶ ὁπλίτης
10 γενέσθαι. καὶ ἕτεροι μὲν οὐδεπώποτε ὁπλιτεύσαντες,
ἔφιπποι δὲ ὄντες τὸν ἄλλον χρόνον καὶ πολλὰ κακὰ τοὺς
πολεμίους πεποιηκότες, οὐκ ἐτόλμησαν ἐπὶ τοὺς ἵπ-
πους ἀναβῆναι, δεδιότες ὑμᾶς καὶ τὸν νόμον· οὕτω
γὰρ ἦσαν παρεσκευασμένοι, οὐχ ὡς ἀπολουμένης τῆς
πόλεως, ἀλλ' ὡς σωθησομένης καὶ μεγάλης ἐσομένης,
καὶ τιμωρησομένης τοὺς ἀδικοῦντας. Ἀλκιβιάδης δ' ἐτόλ-
μησεν ἀναβῆναι, οὔτε εὔνους ὢν τῷ πλήθει οὔτε πρό-
τερον ἱππεύσας οὔτε νῦν ἐπιστάμενος οὔτε ὑφ' ὑμῶν
δοκιμασθείς· ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην πα-
11 ρὰ τῶν ἀδικούντων λαμβάνειν. ἐνθυμηθῆναι δὲ χρή,
ὅτι, εἰ ἐξέσται ὅ τι ἂν τις βούληται ποιεῖν, οὐδὲν ὄφε-
λος νόμους κεῖσθαι, ἢ ὑμᾶς συλλέγεσθαι, ἢ στρατηγοὺς
αἱρεῖσθαι. θαυμάζω δέ, ὦ ἄνδρες δικασταί, εἴ τις

9. οὗτος τοίνυν] Hoc, quod Schottus et Taylor jusserunt, obtulit liber optimus. Vulgo ὅτι τοίνυν. Reiskius de suo dederat ἔτι τοίνυν.

ὁπλιτῶν] ex certa Reiskii emendatione pro librorum lectione πολιτῶν. De horum vocabulorum confusione vide quae habet Schaeferus ad Bosii Ell. p. 401.

10. ἔφιπποι δὲ ὄντες] Sic C., quo ducit partim etiam X. qui habet ἵππου δὲ ὄντες. Vulgo ἱππεύσαντες δέ.

sych. s. v. Polluc. VII. 186. ibique intpp.) Cf. Xenophont. Hipparch. 1, 10 ss.

10. ἐπὶ τοὺς ἵππους ἀναβῆναι]. Thomas M. p. 45. Ἀναβαίνω ἵππον, οὐκ ἐπιβαίνω. ἐπιβαίνω δὲ νεώς. Plerumque tamen scriptores addunt accusativo praepositionem ἐπί: nec rejicitur genitivus cum ἐπί, quamquam is rarior est.

ὑφ' ὑμῶν δοκιμασθείς] Per ὑμᾶς non tam eos, qui sedent judices, intelligit, quam in genere collegium Atheniense, penes quod erat examen equitum.

www.libtool.com.cn

ἀξιοῖ, ἐὰν μέν τις προεστώτων τῶν πολεμίων τῆς πρώ-
της τάξεως τεταγμένος τῆς δευτέρας γένηται, τούτου
μὲν δειλίαν καταψηφίζεσθαι· ἐὰν δέ τις ἐν τοῖς ὁπλί-
ταις τεταγμένος ἐν τοῖς ἱππεῦσιν ἀναφανῇ, τούτῳ
συγγνώμην ἔχειν. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, 12
ἡγοῦμαι δικάζειν ὑμᾶς, οὐ μόνον τῶν ἐξαμαρτανόν-
των ἕνεκα, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους τῶν ἀκοσμούν-
των σωφρονεστέρους ποιῆτε. ἐὰν μὲν τοίνυν τοὺς
ἀγνῶτας κολάζητε, οὐδεὶς ἔσται τῶν ἄλλων βελτίων·
οὐδεὶς γὰρ εἴσεται τὸν ὑφ' ὑμῶν καταψηφισθέντα·
ἐὰν δὲ τοὺς ἐπιφανεστάτους τῶν ἐξαμαρτανόντων τιμω-
ρῆσθε, πάντες πεύσονται. ὥστε τούτῳ παραδείγματι
χρώμενοι βελτίους ἔσονται οἱ πολῖται. ἐὰν τοίνυν τού- 13
του καταψηφιεῖσθε, οὐ μόνον οἱ ἐν τῇ πόλει εἴσον-
ται, ἀλλὰ καὶ οἱ σύμμαχοι αἰσθήσονται καὶ οἱ πολέμιοι
πεύσονται, καὶ ἡγήσονται πολὺ πλείονος ἀξίαν εἶναι τὴν
πόλιν, ἐὰν ὁρῶσιν ἐπὶ τοῖς τοιούτοις τῶν ἁμαρτημάτων μά-
λισθ' ὑμᾶς ὀργιζομένους καὶ μηδεμιᾶς συγγνώμης τοὺς
ἀκοσμοῦντας ἐν τῷ πολέμῳ τυγχάνοντας. ἐνθυμεῖσθε 14
δ', ὦ ἄνδρες δικασταί, ὅτι τῶν στρατιωτῶν οἱ μὲν
κάμνοντες ἐτύγχανον, οἱ δὲ ἐνδεεῖς ὄντες τῶν ἐπιτη-
δείων· καὶ ἡδέως ἂν οἱ μὲν ἐν ταῖς πόλεσι καταμεί-
ναντες ἐθεραπεύοντο, οἱ δὲ οἴκαδ' ἀπελθόντες τῶν οἰ-
κείων ἐπεμέλοντο· οἱ δὲ ψιλοὶ ἐστρατεύοντο, οἱ δ' ἐν

12. τὸν ὑφ' ὑμῶν καταψηφισθέντα] Haec est Reiskii emendatio pro librorum lectione τὰ ὑφ' cet. quam defendit Wakefield Sylv. Crit. P. IV. p. 28. s. locos afferens, in quibus, quum de homine sermo sit, a masculino genere ad neutrum deflectatur. Dicendum potius foret in eo, quod decreta ignota manere dicantur, inesse etiam, ignotum mansurum esse eum, in quem cadat decretum. Nec in se damnari posset neutrum; sed quum in sequentibus itidem masculinum ponatur, id etiam hic positum fuisse probabile.

13. ἐὰν τοίνυν τούτου καταψηφιεῖσθε] Nota ἐάν cum futuro indicativi, quod videtur tolerandum, quum praesertim ἄν potentiale cum futuro positum non sine temeritate Atticis abjudicari poterit. cf. Rost. gr. Gr. §. 120. 5. b. β. Coraes ad Isocr. II. p. 313. audacter vel ἐάν in εἰ, vel καταψηφιεῖσθε in καταψηφίσησθε mutandum opinatur.

14. οἱ δὲ ψιλοὶ ἐστρατεύοντο] Ψιλοί est Marklandi emendatio, probata etiam Wesselingio ad Diodor. Sic. XV. 85. pro libro-

www.libtool.com.cn

5 τοῖς ἱππεῦσιν ἐκινδύνευον· ἀλλ' ὅμως οὐκ ἐτολμᾶτε ἀπολιπεῖν τὰς τάξεις, οὐδὲ τὰ ἀρεστὰ ὑμῖν αὐτοῖς αἱρεῖσθαι, ἀλλὰ πολὺ μᾶλλον ἐφοβεῖσθε τοὺς τῆς πόλεως νόμους ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον· ὧν χρὴ μεμνημένους ὑμᾶς νυνὶ τὴν ψῆφον φέρειν, καὶ πᾶσι φανερὸν ποιεῖν, ὅτι Ἀθηναίων οἱ μὴ βουλόμενοι τοῖς πολεμίοις μάχεσθαι ὑφ' ὑμῶν κακῶς πείσονται.

16 Ἡγοῦμαι δέ, ὦ ἄνδρες δικασταί, περὶ μὲν τοῦ νόμου καὶ αὐτοῦ τοῦ πράγματος οὐχ ἕξειν αὐτοὺς ὅ τι λέξουσιν· ἀναβαίνοντες δ' ὑμᾶς ἐξαιτήσονται καὶ ἀντιβολήσουσιν, οὐκ ἀξιοῦντες τοῦ Ἀλκιβιάδου υἱέος τοσαύτην δειλίαν καταγνῶναι· ὡς ἐκεῖνον πολλῶν ἀγαθῶν, ἀλλ' οὐχὶ πολλῶν κακῶν αἴτιον γεγενημένον, ὃν εἰ, τηλικοῦτον ὄντα, ἀπεκτείνατε, ὅτε πρῶτον εἰς ὑμᾶς ἐλάβετε ἐξαμαρτάνοντα, οὐκ ἂν ἐγένοντο συμ-
17 φοραὶ τοσαῦται τῇ πόλει. δεινὸν δέ μοι δοκεῖ, ὦ ἄνδρες δικασταί, εἶναι, εἰ αὐτοῦ μὲν ἐκείνου θάνατον κατέγνωτε, τοῦ δὲ υἱοῦ ἀδικοῦντος δι' ἐκεῖνον ἀποψηφιεῖσθε, ὃς αὐτὸς μὲν οὐκ ἐτόλμα μεθ' ἡμῶν μάχεσθαι, ὁ δὲ πατὴρ αὐτοῦ μετὰ τῶν πολεμίων ἠξίου στρατεύεσθαι. καὶ ὅτε μὲν παῖς ἦν καὶ οὔπω δῆλος ἦν ὁποῖος

rum lectione φίλοι. ψιλοί sunt milites levis armaturae, quorum erat ἀκοντίζειν, βάλλειν, τοξεύειν, σφενδονᾶν. Opponuntur ὁπλίταις, qui sunt gravis armaturae; ψιλοί dicuntur etiam πελτασταί et πελτοφόροι. Reiskius suspicatur: οἱ δὲ ἐν τοῖς ψιλοῖς ἐστρατεύοντο, qua lectione hoc membrum quidem adaequaretur alteri οἱ δ' ἐν τοῖς ἱππεῦσιν ἐκινδύνευον, sed necessarium hoc non est.

15. τὴν ψῆφον φέρειν] Verbum, quod ante Reiskium deerat, hoc loco addidit cod. opt. Reiskius de suo scripserat φέρειν τὴν ψῆφον.

16. ὃν εἰ] Ὅν, quod absorptum ab ultima syllaba vocabuli γεγενημένον de conjectura Reiskius restituerat, cod. habet in textu.

17. καὶ οὔπω] Οὔπω, quod Marklandus conjecerat, pro librorum lectione οὕτω, confirmat C, ex quo eodem accessit καί, quod vulgo deerat.

16. ὡς ἐκεῖνον – αἴτιον γεγενημένον] Minime opus eo, quod Reiskius scribendum opinatur: ὡς ἐκείνου – αἰτίου γεγενημένου. Nihil enim apud Atticos scriptores frequentius, quam ὡς, ὥσπερ cum accusativo constructum, tamquam casu absoluto. Cf. Rost. gr. Gr. §. 131. 4.

www.libtool.com.cn

τις ἔσται, διὰ τὰ πατρὸς ἁμαρτήματα ὀλίγου τοῖς ἕν-
δεκα παρεδόθη· ἐπειδὴ δὲ πρὸς τοῖς ἐκείνῳ πεπρα-
γμένοις ἐπίστασθε καὶ τὴν τούτου πονηρίαν, διὰ τὸν
πατέρα ἐλεεῖν αὐτὸν ἀξιώσετε; οὔκουν δεινόν, ὦ ἄν- 18
δρες δικασταί, τούτους μὲν οὕτως εὐτυχεῖς εἶναι, ὥστε,
ἐπειδὰν ἐξαμαρτάνοντες ληφθῶσι, διὰ τὸ αὐτῶν γένος
σώζεσθαι, ἡμᾶς δέ, εἰ ἐδυστυχήσαμεν διὰ τοὺς οὕ-
τως ἀτακτοῦντας, μηδένα ἂν δύνασθαι παρὰ τῶν πο-
λεμίων ἐξαιτήσασθαι· μηδὲ διὰ τὰς τῶν προγόνων ἀ-
ρετάς. καίτοι πολλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ ἁπάντων 19
τῶν Ἑλλήνων γεγόνασι, καὶ οὐδὲν ὅμοιαι τοῖς ὑπὸ
τούτων περὶ τὴν πόλιν πεπραγμένοις, ὦ ἄνδρες δι-
κασταί. εἰ δ' ἐκεῖνοι δοκοῦσι βελτίους εἶναι, σώζοντες
τοὺς φίλους, δῆλον, ὅτι καὶ ὑμεῖς ἀμείνους δόξετε
εἶναι, τιμωρούμενοι τοὺς ἐχθρούς. ἀξιῶ δ', ὦ ἄν- 20
δρες δικασταί, ἐὰν μέν τινες τῶν συγγενῶν αὐτὸν
ἐξαιτῶνται, ὀργίζεσθαι, ὅτι τούτου μὲν οὐκ ἐπεχείρη-
σαν δεηθῆναι, ἢ δεηθέντες οὐκ ἐδύναντο εὑρέσθαι,
ποιεῖν τὰ ὑπὸ τῆς πόλεως προσταττόμενα, ὑμᾶς δὲ
πείθειν πειρῶνται, ὡς οὐ χρὴ παρὰ τῶν ἀδικούντων
δίκην λαμβάνειν. ἐὰν δέ τινες τῶν ἀρχόντων βοηθῶσιν 21
αὐτῷ, ἐπίδειξιν μὲν τῆς ἑαυτῶν δυνάμεως ποιούμενοι,
φιλοτιμούμενοι δέ, ὅτι καὶ τοὺς φανερῶς ἡμαρτηκότας
σώζειν δύνανται, ὑμᾶς δὲ χρὴ ὑπολαμβάνειν, πρῶτον

18. *μηδὲ διὰ τὰς τῶν προγόνων ἀρετάς*] Hanc lectionem obtulit idem cod. quum *διά* vulgo deesset ejusque loco adesset *ἄν*. Reiskius post *ἀρετάς* de suo addiderat *λέγῃ*.

17. *τοῖς ἕνδεκα*] Quorum scilicet erat homines publicae securitati periculosos et nequitia laborantes corripere et in vincula conjicere.

19. *ὦ ἄνδρες δικασταί*] Magnam vim habere allocutionem in clausula nemo non sentit.

20. *εὑρέσθαι*] Consequi, accipere. Elegans haec est significatio, parum animadversa a viris doctis. Sic Taylor hic conjecit *τρέπεσθαι* sine necessitate. Explicatio inest in seqq. *ποιεῖν τὰ ὑπὸ τῆς πόλεως προσταττόμενα*, adjecta sine particula, qualis hodie addi solet, nempe, scilicet.

21. *τῶν ἀρχόντων*] Mavult Marklandus *τῶν στρατηγούντων*: quo non opus. Nam *οἱ ἄρχοντες*, nomen generis, saepe ponitur, idque eo aptius, si intelliguntur *ἡγεμόνες δικαστηρίου*, ut h. l., qui erant *στρατηγοί*. Praesides autem judicii interdum deprecabantur pro reo (cf. der Attische Process p. 81.), et facile patet

www.libtool.com.cn

μὲν, ὅτι, εἰ πάντες Ἀλκιβιάδῃ ὅμοιοι ἐγένοντο, οὐδὲν ἂν ἔδει τῶν στρατηγῶν (οὐδὲ γὰρ εἶχον, ὅτου ἡγοῦντο)· ἐπειθ᾽, ὅτι πολὺ μᾶλλον αὐτοῖς προςήκει τῶν λιπόντων τὴν τάξιν κατηγορεῖν ἢ ὑπὲρ τούτων ἀπολογεῖσθαι. τίς γὰρ ἔστιν ἐλπὶς τοὺς ἄλλους ἐθελήσειν ποιεῖν τὰ ὑπὸ τῶν στρατηγῶν προςταττόμενα, ὅταν
22 αὐτοὶ οὗτοι τοὺς ἀκοσμοῦντας σώζειν πειρῶνται; ἐγὼ τοίνυν ἀξιῶ, ἂν μὲν ἀποδείξωσιν οἱ λέγοντες καὶ αἰτούμενοι ὑπὲρ Ἀλκιβιάδου, ὡς ἐστρατεύσατο ἐν τοῖς ὁπλίταις, ἢ ὡς ἱππεύειν δεδοκιμασμένος ἐστίν, ἀποψηφίσασθαι· ἐὰν δέ, μηδὲν ἔχοντες δίκαιον, κελεύσωσιν αὐτῷ ὀργίζεσθαι, μεμνῆσθαι χρή, ὅτι διδάσκουσιν ὑμᾶς ἐπιορκεῖν, καὶ τοῖς νόμοις μὴ πείθεσθαι, καὶ ὅτι, λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες, πολλοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσι.

23 Θαυμάζω δὲ μάλιστα, ὦ ἄνδρες δικασταί, εἴ τις ὑμῶν τὸν Ἀλκιβιάδην ἀξιώσει διὰ μὲν τοὺς βοηθοῦντας σώζεσθαι, διὰ δὲ τὴν αὐτοῦ πονηρίαν μὴ ἀπολέσθαι. ἧς ἄξιον ὑμᾶς ἀκοῦσαι, ἵν᾽ ἐπίστησθε, ὅτι οὐκ ἂν εἰκότως αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα μὲν ἡμαρτηκότος, τὰ δ᾽ ἄλλα πολίτου χρηστοῦ γεγενημένου. ἐκ γὰρ τῶν ἄλλων τῶν τούτῳ πεπραγμένων δικαίως ἂν αὐτοῦ θά-
24 νατον καταψηφίζοισθε. προςήκει δ᾽ ὑμῖν περὶ αὐτῶν εἰδέναι. ἐπειδὴ γὰρ καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε

21. οὐδὲν ἂν ἔδει τῶν στρατηγῶν] Codd. ante Reiskium collati offerebant οὐδὲν ἀλλ᾽ ἔδει τοῦ στρατηγεῖν. Ipse Reiskius lectionem, quae est in textu, dederat de conjectura. Priorem partem οὐδὲν ἂν ἔδει confirmavit C. τοῦ στρατηγεῖν autem erat imprimis ob sequens εἶχον mutandum.

αὐτοῖς προςήκει] Sic idem liber pro vulgato αὐτοὺς προςήκει. Illud erat imprimis propter locum, quem habet pronomen, recipiendum. Quod sequitur τούτων, propter codicis praestantiam receptum pro τῶν τοιούτων.

22. ὡς ἱππεύειν δεδοκιμασμένος ἐστίν] Ἐστίν addidit Bekkerus ex optimo suo. In ceteris Mss. deest; omnes tamen ceteroqui eandem tenent lectionem, quam viri docti de conjectura vel in ἵππευσε vel in ἵππευε mutarunt. Verum jam praebuit cod. ms.

multa penes praesidem fuisse vel mitigandi vel exacerbandi poenas subsidia.

22. κελεύσωσιν αὐτῷ ὀργίζεσθαι] Vere videtur Marklandus conjecisse μὴ ὀργίζεσθαι. Κελεύειν autem h. l. non est invidiosum. Significat enim nonnisi obsecrare, enixe petere.

www.libtool.com.cn

λεγόντων τὰς σφετέρας αὐτῶν ἀρετὰς καὶ τὰς τῶν
προγόνων εὐεργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγό-
ρων ἀκροᾶσθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας
πολλὰ εἰς ὑμᾶς ἡμαρτηκότας, καὶ τοὺς προγόνους
αὐτῶν πολλῶν κακῶν αἰτίους γεγενημένους. οὗτος 25
γὰρ παῖς μὲν ὢν παρ' Ἀρχεδήμῳ τῷ Γλάμωνι, οὐκ
ὀλίγα τῶν ὑμετέρων ὑφῃρημένῳ, πολλῶν ὁρώντων
ἔπινεν, ὑπὸ τῷ αὐτῷ στρώματι κατακείμενος, ἐκώμαζε
δὲ μεθ' ἡμέραν, ἄνηβος ἑταίραν ἔχων, μιμούμενος
τοὺς ἑαυτοῦ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύ-
νασθαι, πρεσβύτερος ὤν, λαμπρὸς γενέσθαι, εἰ μή,
νέος ὤν, πονηρότατος δόξειεν εἶναι. μετεπέμφθη 26
δ' ὑπὸ Ἀρχεβιάδου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. καί-
τοι ποῖόν τινα χρὴ αὐτὸν ὑφ' ὑμῶν νομίζεσθαι εἶναι,
ὅστις κἀκείνῳ, τοιαῦτα ἐπιτηδεύων, διεβέβλητο, ὃς
τοὺς ἄλλους ταῦτ' ἐδίδασκε; μετὰ Θεοτίμου δὲ ἐπι-
βουλεύσας τῷ πατρί, Ὠρεοὺς προὔδωκεν. ὁ δέ, πα-
ραλαβὼν τὸ χωρίον, πρότερον μὲν ὕβριζεν αὐτὸν

25. *ὑπὸ τῷ αὐτῷ στρώματι*] Ex emendatione Augeri. Vulgo *αὐτόματι*, quod varie tentarunt viri docti. Taylor Lectt. Lys. c. 12. conjecit *ὑπὸ τῷ αὐτῷ ἱματίῳ*. Similiter Jacobs Addit. Animadvv. in Athen. p. 17. *εἵματι* vel *ἱματίῳ*. Lobeckius autem ad Phryn. p. 401. *ἱματίῳ* praeferendum censet, quod *εἷμα* sit poetarum. Atque *ἱμάτιον* de veste stragula poni docet Perizonius ad Aelian. Varr. Hist. IX. 3. *Στρῶμα* tamen et propius corruptioni videtur et magis aptum. Dicitur enim *ἐπίβλημα*, quam lodicem appellant Latini, quum *ἱμάτιον* sit generis: quamquam phrasin *ἀνάκεισθαι ὑπὸ τῷ αὐτῷ ἱματίῳ* de congressu Venereo usitatam fuisse ostenderunt Taylor et Jacobs.

*ἐκώμαζε δὲ*] Particula accessit ex conjectura Reiskii.

*δόξειεν*] Sic Bekkerus dedit ex cod. pro eo, quod Reiskius ex conjectura Marklandi dedit *δόξει*; ceteri libri habent *δείξει*. Cf. Excursum VII.

25. *Ἀρχεδήμῳ τῷ Γλάμωνι*] Archedemus ὁ *Γλάμων* ab Aristophane *Βατρ.* 596 et v. 419 ss. ridetur, quod, quamvis *ξένος*, tamen civitatem Atticam usurpet et demagogum agat inter Athenienses, qui in ludibrium appellantur *ἄνω νεκροί*. Homo erat voluptarius, Veneri et Baccho deditus. Videtur diversus ab eo, cujus meminit Xenoph. Memor. II. 9., idem autem cum eo, de quo sermo est Hellen. I. 7, 2. *Γλάμωνα* autem Scholiastes Aristophanis l. l. ait dici, quod lippos a Venere habebat oculos.

26. *Ἀρχεβιάδου*] Hominis impuri et infamis. Videtur idem esse, cujus bis meminit Demosthenes *κατὰ Κόνωνος*.

www.libtool.com.cn

φορτίον ὄντα, τελευτῶν δὲ δήσας, ἀργύριον εἰςεπράτ-
27 τετο. ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει σφόδρα, ὥςτε
οὐδ' ἂν ἀποθανόντος ἔφασκε τὰ ὀστᾶ κομίσασθαι. τε-
λευτήσαντος δ' ἐκείνου, ἐραστὴς γενόμενος Ἀρχεβιά-
δης αὐτὸν ἐλύσατο. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κα-
ταχυβεύσας τὰ ὄντα, ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος,
28 τοὺς φίλους κατεπόντιζεν. ὅσα μὲν οὖν, ὦ ἄνδρες
δικασταί, ἢ εἰς τοὺς πολίτας, ἢ εἰς τοὺς οἰκείους, ἢ
περὶ τοὺς αὑτοῦ ξένους, ἢ περὶ τοὺς ἄλλους ἡμάρτη-
κε, μακρὸν ἂν εἴη λέγειν. Ἱππόνικος δέ, πολλοὺς
παρακαλέσας, ἐξέπεμψε τὴν γυναῖκα· φάσκων τοῦτον
ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ' ὡς ἄνδρα ἐκείνης, εἰς
29 τὴν οἰκίαν εἰςιέναι τὴν αὑτοῦ. καὶ τοιαῦθ' ἡμαρτη-
κότι καὶ οὕτω δεινὰ καὶ πολλὰ καὶ μεγάλα πεποιηκότι,
οὔτε τῶν πεπραγμένων αὐτῷ μεταμέλει οὔτε τῶν μελ-
λόντων ἔσεσθαι. ὃν μᾶλλον ἔδει κοσμιώτατον εἶναι
τῶν πολιτῶν, ἀπολογίαν ποιούμενον τὸν ἑαυτοῦ βίον
τῶν τοῦ πατρὸς ἁμαρτημάτων, οὗτος ἑτέρους ὑβρί-
ζειν πειρᾶται, ὥςπερ δυνάμενος ἂν πολλοστὸν μέρος
τῶν ὀνειδῶν τῶν ἑαυτῷ προςηκόντων τοῖς ἄλλοις με-
30 ταδοῦναι· καὶ ταῦθ' υἱὸς ὢν Ἀλκιβιάδου, ὃς ἔπεισε
μὲν Δεκέλειαν Λακεδαιμονίους ἐπιτειχίσαι, ἐπὶ δὲ τὰς
νήσους ἀποστήσων ἔπλευσε, διδάσκαλος δὲ τῶν τῆς
πόλεως κακῶν ἐγένετο, πλεονάκις δὲ μετὰ τῶν ἐχθρῶν
ἐπὶ τὴν πατρίδα ἐστρατεύσατο ἢ μετὰ τῶν πολιτῶν
ἐπ' ἐκείνους. ἀνθ' ὧν καὶ ὑμῖν καὶ τοῖς μέλλουσιν
ἔσεσθαι τιμωρεῖσθαι προςήκει, ὅντινα λαμβάνετε τού-

27. οὐδ' ἂν] Ex Reiskii conjectura pro librorum lectione οὐδέ. Ἂν hic additum probo, quoniam res indicatur, quae nec facta est nec fieri poterat.

29. τῶν ὀνειδῶν τῶν ἑαυτῷ προςηκόντων] Hanc lectionem obtulit liber Bekkeri ejusque principem partem conjectura assecutus erat Marklandus ὀνειδῶν legens. Vulgo: τῶν εἰδῶν τῶν ἑαυτοῦ προςηκόντων.

27. ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος] Harpocration s. v. intelligit locum Propontidis, unde Alcibiades piratam egerit.

28. ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ' ὡς ἄνδρα ἐκείνης] Non intelligo, quomodo duplex pronomen de eadem persona recte dici possit. Auger ἐκείνης delevit ut vitiose abundans.

των. καίτοι σφόδρα εἴθισται λέγειν, ὡς οὐκ εἰκός 31
ἐστι τὸν μὲν πατέρα αὐτοῦ κατελθόντα δωρεὰς παρὰ
τοῦ δήμου λαβεῖν, τοῦτον δ' ἀδίκως διὰ τὴν φυγὴν
τὴν ἐκείνου διαβεβλῆσθαι. ἐμοὶ δὲ δοκεῖ δεινὸν εἶναι,
εἰ τὰς μὲν δωρεὰς αὐτοῦ ἀφείλεσθε, ὡς οὐ δικαίως
δεδωκότες, τούτου δὲ ἀδικοῦντος ἀποψηφιεῖσθε, ὡς
τοῦ πατρὸς χρηστοῦ περὶ τὴν πόλιν γεγενημένου. καὶ 32
μὲν δή, ὦ ἄνδρες δικασταί, ἄλλων τε πολλῶν ἄξιον
ἕνεκεν αὐτοῦ καταψηφίσασθαι, καὶ ὅτι ταῖς ὑμετέραις
ἀρεταῖς χρῆται παραδείγματι περὶ τῆς ἑαυτοῦ πονηρίας. τολμᾷ γὰρ λέγειν, ὡς Ἀλκιβιάδης οὐδὲν δεινὸν
εἴργασται ἐπὶ τὴν πατρίδα στρατεύσας. καὶ γὰρ ὑμᾶς 33
φεύγοντας Φυλὴν καταλαβεῖν καὶ δένδρα τεμεῖν καὶ
πρὸς τὰ τείχη προσβαλεῖν. καὶ ταῦτα ποιήσαντας οὐκ
ὄνειδος τοῖς παισὶ καταλιπεῖν, ἀλλὰ τιμὴν παρὰ πᾶσιν
ἀνθρώποις κτήσασθαι, ὡς τῶν αὐτῶν ὄντας ἀξίους,
ὅσοι φυγόντες μετὰ τῶν πολεμίων ἐπὶ τὴν χώραν ἐστράτευσαν, καὶ ὅσοι κατῆσαν Λακεδαιμονίων ἐχόντων τὴν
πόλιν. καὶ μὲν δὴ πᾶσιν ἡγοῦμαι δῆλον εἶναι, ὅτι 34
οὗτοι μὲν ἐζήτουν κατιέναι, ὡς τὴν μὲν τῆς θαλάττης ἀρχὴν Λακεδαιμονίοις παραδώσοντες, αὐτοὶ δ' ὑμῶν ἄρξοντες, τὸ δ' ὑμέτερον πλῆθος κατελθὸν τοὺς μὲν πολεμίους ἐξήλασε, τῶν δὲ πολιτῶν καὶ τοὺς βουλομένους
δουλεύειν ἠλευθέρωσεν. ὥστ' οὐχ ὁμοίων τῶν ἔργων ἀμφοτέροις γεγενημένων τοὺς λόγους ποιεῖται.
Ἀλλ' ὅμως τοσούτων συμφορῶν καὶ οὕτως αὐτῷ μεγάλων 35
ὑπαρχουσῶν, ἐπὶ τῇ τοῦ πατρὸς πονηρίᾳ φιλοτιμεῖται, καὶ λέγει, ὡς οὕτως ἐκεῖνος μέγα ἐδύνατο, ὥστε
τῇ πόλει πάντων κακῶν αἴτιος γεγένηται. καίτοι τίς
οὕτως ἄπειρος τῆς ἑαυτοῦ πατρίδος, ὃς οὐκ ἄν, βου-

32. στρατεύσας] Emendatio Marklandi pro librorum lectione στρατεύσασθαι.

34. ὥστ' οὐχ ὁμοίων τῶν ἔργων ἀμφοτέροις γεγενημένων τοὺς λόγους ποιεῖται] Negatio jungenda cum λόγους ποιεῖται hoc sensu: Non loquitur de factis, quae utrisque sunt aequalia. Hinc patet non opus esse, ut cum Reiskio post γεγενημένων addatur ὡς περὶ ὁμοίων.

www.libtool.com.cn

λόμενος εἶναι πονηρός, εἰσηγήσατο μὲν τοῖς πολεμίοις
ἃ χρὴ καταλαβεῖν τῶν χωρίων, δηλώσειε δ' ἂν ἃ κα-
κῶς φυλάττεται τῶν φρουρίων, διδάξειε δ' ἂν ἃ πο-
νηρῶς ἔχει τῶν πραγμάτων, μηνύσειε δ' ἂν τοὺς βου-
36 λομένους ἀφίστασθαι τῶν συμμάχων; οὐ γὰρ δήπου,
ὅτε μὲν ἔφευγε, διὰ τὴν δύναμιν κακῶς οἷός τ' ἦν
ποιεῖν τὴν πόλιν, ἐπειδὴ δὲ ὑμᾶς ἐξαπατήσας κατῆλθε,
καὶ πολλῶν ἦρξε τριηρῶν, οὔτε τοὺς πολεμίους ἐδύ-
νατο ἐκ τῆς χώρας ἐκβαλεῖν οὔτε Χίους, οὓς ἀπέστησε,
πάλιν φίλους ποιῆσαι οὔτε ἄλλο οὐδὲν ἀγαθὸν ὑμᾶς
37 ἐργάσασθαι. ὥστ' οὐ χαλεπὸν γνῶναι, ὅτι Ἀλκιβιά-
δης δυνάμει μὲν οὐδὲν τῶν ἄλλων διέφερε, πονηρίᾳ
δὲ τῶν πολιτῶν πρῶτος ἦν. ἃ μὲν γὰρ ᾔδει τῶν ὑμε-
τέρων κακῶς ἔχοντα, μηνυτὴς αὐτοῖς Λακεδαιμονίοις
ἐγένετο· ἐπειδὴ δ' ἔδει αὐτὸν στρατηγεῖν, οὐδὲν κακὸν
ποιεῖν ἐκείνους ἐδύνατο, ἀλλ' ὑποσχόμενος δι' ἑαυτὸν
παρέξειν βασιλέα χρήματα, πλέον ἢ διακόσια τάλαντα
38 τῆς πόλεως ὑφείλετο. καὶ οὕτω πολλὰ ἐνόμιζεν εἰς
ὑμᾶς ἡμαρτηκέναι, ὥστε λέγειν δυνάμενος, καὶ φίλων
ὄντων, καὶ χρήματα κεκτημένος, οὐδέποτ' ἐλθὼν εὐ-
θύνας ἐτόλμησε δοῦναι· ἀλλὰ φυγὴν αὐτοῦ καταγνούς,
καὶ Θρᾴκης καὶ πάσης πόλεως ἐβούλετο πολίτης γενέ-
σθαι μᾶλλον ἢ τῆς πατρίδος εἶναι τῆς ἑαυτοῦ. καὶ τὸ
τελευταῖον, ὦ ἄνδρες δικασταί, ὑπερβολὴν ποιησάμε-
νος τῆς προτέρας πονηρίας, ἐτόλμησε τὰς ναῦς Λυ-
39 σάνδρῳ μετὰ Ἀδειμάντου προδοῦναι. ὥστε εἴ τις ὑμῶν
ἢ τοὺς τεθνεῶτας ἐν [τῇ] ναυμαχίᾳ ἐλεεῖ, ἢ ὑπὲρ τῶν
δουλευσάντων τοῖς πολεμίοις αἰσχύνεται, ἢ τῶν τει-

39. ἐν [τῇ] ναυμαχίᾳ] Articulus accessit ex emendatione Marklandi. Ad vocabulum ναυμαχία, si de certa navali pugna sermo est, addi solet articulus, etiam de ea, quam hujus temporis ναυμαχίαν proprio nomine dictam appellare possis. Etiam alio loco articulus accessit ex conjectura Reiskii ὑπὲρ τῶν Ἀριστοφ. χρ. §. 30. ἐγένετο δ' ἡ ναυμαχία ἐπ' Εὐβούλου ἄρχοντος.

37. μηνυτὴς αὐτοῖς Λακεδαιμονίοις ἐγένετο] In αὐτοῖς hoc videtur inesse, tantum abfuisse, ut civitatem suam a Lacedaemoniorum dominatu liberaverit, ut ipsis adeo viam monstraverit, qua partes infirmissimas aggrederentur. Reiskius de suo dedit αὐτός.

χῶν καθῃρημένων ἀγανακτεῖ, ἢ Λακεδαιμονίους μισεῖ, ἢ τοῖς τριάκοντα ὀργίζεται, τούτων ἁπάντων χρὴ τὸν τούτου πατέρα αἴτιον ἡγεῖσθαι, καὶ ἐνθυμηθῆναι, ὅτι Ἀλκιβιάδην μὲν τὸν πρόπαππον αὐτοῦ, καὶ τὸν πρὸς μητρὸς Μεγακλέα, οἱ ὑμέτεροι πρόγονοι δὶς ἀμφοτέρους ἐξωστράκισαν, τοῦ δὲ πατρὸς αὐτοῦ οἱ πρεσβύτεροι ὑμῶν θάνατον κατέγνωσαν. ὥστε νῦν χρή, 40
ἡγησαμένους πατρικὸν ἐχθρὸν τοῦτον εἶναι τῇ πόλει, καταψηφίσασθαι· καὶ μήτε ἔλεον, μήτε συγγνώμην, μήτε χάριν μηδεμίαν περὶ πλείονος ποιήσασθαι τῶν νόμων τῶν κειμένων, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε.

Σκέψασθαι δὲ χρή, ὦ ἄνδρες δικασταί, διὰ τί 41
ἄν τις τοιούτων ἀνδρῶν φείσαιτο; πότερον, ὡς πρὸς μὲν τὴν πόλιν δεδυστυχήκασιν, ἄλλως δὲ κόσμιοί εἰσι καὶ σωφρόνως βεβιώκασιν; οὐχ οἱ μὲν πολλοὶ αὐτῶν ἡταιρήκασιν, οἱ δ᾽ ἀδελφαῖς συγγεγόνασι, τοῖς δ᾽ ἐκ θυγατέρων παῖδες γεγόνασιν, οἱ δὲ μυστήρια πεποιή- 42
κασι, καὶ τοὺς Ἑρμᾶς περικεκόφασι, καὶ περὶ πάντας τοὺς θεοὺς ἠσεβήκασι, καὶ εἰς ἅπασαν τὴν πόλιν ἡμαρτήκασιν, ἀδίκως καὶ παρανόμως καὶ πρὸς τοὺς ἄλλους διακείμενοι, καὶ πρὸς σφᾶς αὐτοὺς πολιτευόμενοι, οὐδεμιᾶς τόλμης ἀπεχόμενοι, οὐδὲ ἔργου δεινοῦ ἄπειροι γεγενημένοι; ἀλλὰ καὶ πεπόνθασι καὶ πεποιήκασιν ἅπαντα. οὕτω γὰρ διάκεινται, ὥστε ἐπὶ μὲν τοῖς καλοῖς αἰσχύνεσθαι, ἐπὶ δὲ τοῖς κακοῖς φιλοτιμεῖσθαι. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἤδη τινῶν ἀπεψηφί- 43
σασθε, ἀδικεῖν μὲν νομίσαντες, οἰόμενοι δ᾽ εἰς τὸ λοιπὸν χρησίμους ὑμῖν ἔσεσθαι. τίς οὖν ἐλπὶς ὑπὸ τούτου τι ἀγαθὸν πείσεσθαι τὴν πόλιν, ὃν ὑμεῖς, ὅτι μὲν οὐδενὸς ἄξιός ἐστιν, ἐπειδὰν ἀπολογῆται, εἴσεσθε, ὅτι δὲ πονηρός ἐστιν, ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων εἴσε-

42. ἀλλὰ καὶ πεπόνθασι καὶ πεποιήκασιν ἅπαντα] Debetur haec lectio optimo codici Bekkeri pro vulgato: ἀλλ᾽ ἅτε πεπόνθασιν ἅπαντα, ἃ πεποιήκασι καὶ πεπόνθασι.

39. καὶ τὸν πρὸς μητρὸς] sc. πάππον, quod assumendum ex antecedente πρόπαππον.

43. εἴσεσθε – εἴσεσθε] Parum quidem grata repetitio ejusdem verbi in ratione non pari. Primo

www.libtool.com.cn

44 σθε; ἀλλὰ μὲν δὴ οὐδ᾽ ἂν ἐξελθὼν ἐκ τῆς πόλεως οὐδὲν δύναιτο κακὸν ὑμᾶς ἐργάσασθαι, δειλὸς ὢν καὶ πένης καὶ πράττειν ἀδύνατος καὶ τοῖς οἰκείοις
45 διάφορος καὶ ὑπὸ τῶν ἄλλων μισούμενος. ὥστ᾽ οὐδὲ τούτων ἕνεκα αὐτὸν ἄξιον φυλάττεσθαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι καὶ τοῖς ἄλλοις καὶ τοῖς τούτου φίλοις, οἳ τὰ μὲν προςταττόμενα ποιεῖν οὐκ ἐθέλουσι, τοιούτων δ᾽ ἔργων ἐπιθυμοῦσι, καὶ περὶ τῶν σφετέρων αὐτῶν κακῶς βουλευσάμενοι, περὶ τῶν ὑμετέρων δημηγοροῦσιν.

46 Ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα. ἐπίσταμαι δ᾽ ὅτι οἱ μὲν ἄλλοι τῶν ἀκροωμένων θαυμάζουσιν, ὅπως ποθ᾽ οὕτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ τούτων ἁμαρτήματα, οὗτος δέ μου καταγελᾷ, ὅτι οὐδὲ τὸ πολλοστὸν μέρος εἴρηκα τῶν τούτοις ὑπαρ-
47 χόντων κακῶν. ὑμεῖς οὖν καὶ τὰ εἰρημένα καὶ τὰ παραλελειμμένα ἀναλογισάμενοι, πολὺ μᾶλλον αὐτοῦ καταψηφίσασθε, ἐνθυμηθέντες, ὅτι ἔνοχος μέν ἐστι τῇ γραφῇ, μεγάλη δ᾽ εὐτυχία τὸ τοιούτων πολιτῶν ἀπαλλαγῆναι πόλει. ἀνάγνωθι δ᾽ αὐτοῖς τοὺς νόμους καὶ τοὺς ὅρκους καὶ τὴν γραφήν· καὶ τούτων μεμνημένοι ψηφιοῦνται τὰ δίκαια.

---

# ΛΥΣΙΟΥ

## ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ ΠΡΩΤΟΣ.

---

### PROOEMIUM.

Actor Theomnesto *δίκην* intendit *κακηγορίας*. Cognoscimus, quid contraxerit *δίκην κακηγορίας*, ex Demosthene in Mid. c. 10. p. 524. *ἂν μὲν — — ἰδιώτην τινὰ — — κακῶς εἴπῃ, — — δίκην κα-*

quidem loco aptum, minus in altero. Marklandi quidem conjectura in honorem viri docti oblivioni danda; melius Reiske *ἴσα*.

47. *ἀνάγνωθι — — τα δίκαια*] Finem habet haec oratio, quidem vix alterum in ulla alia oratione invenias.

www.libtool.com.cn

*κηγορίας ἰδίαν φεύξεται· ἐὰν δὲ θεσμοθέτην, ἄτιμος ἔσται καθάπαξ.* Cum hoc loco conjungendus *κατ' Ἀριστοκρ.* p. 635, §. 50. *ἄν τις κακῶς ἀγορεύῃ, τὰ ψευδῆ προσέθηκεν (ὁ νομοθέτης), ὡς εἴγε τἀληθῆ, προσῆκον. κατὰ Κόνων.* p. 1262. §. 18. *εἰσὶ κακηγορίας δίκαι· φασὶ τοίνυν ταύτας διὰ τοῦτο γίνεσθαι, ἵνα μὴ λοιδορούμενοι τύπτειν ἀλλήλους προάγωνται.* Quod Salmasius in Obsvv. ad Jus Att. et Rom. c. 9. p. 262. affirmat, similes fuisse *δίκας* duas, unam *κακολογίας*, alteram *κακηγορίας*, neque tamen easdem, sed diversas, hoc Des. Heraldus II. 13. et sermoni et juri Attico contrarium esse vere monuit. Nullum enim usquam vestigium *δίκης κακολογίας*; sed una est *κακηγορίας*. Ex nostra autem oratione patet ei licuisse *δίκην κακηγορίας* intendere, *ὃς ἂν ἀκούσῃ τι τῶν ἀποῤῥήτων.* Videndum igitur, quid per *ἀπόῤῥητα* intelligatur. Harpocration s. v. *ἀπόῤῥητα· τὰ ἀπειρημένα ἐν τοῖς νόμοις. τίνα δὲ ἦν, ἅπερ ἀπείρηται λέγειν εἰς ἀλλήλους, δεδήλωκε Λυσίας ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος ὁ λόγος.*

Ex hac oratione tria cognoscimus vocabula, quae erant *τῶν ἀποῤῥήτων*, ejusdem generis: *ἀνδροφόνος, πατραλοίας, μητραλοίας.* §. 6. 8. *Πατραλοίας, μητραλοίας* composita sunt ab *ἀλοᾶν*, quod, ut habent Bekkeri Anecdd. s. v. *ἀπαλοᾶν* p. 16., significat *καὶ τὸ ἐπιτρίβειν τύπτοντα· ἔνθεν καὶ πατραλοίας καὶ μητραλοίας ὁ τὸν πατέρα καὶ τὴν μητέρα ἀλοῶν, ὅ ἐστι τύπτων καὶ διατρίβων.* p. 270. s. v. *κατηλόησαν· ἀπέκτειναν οὐχ ἁπλῶς, ἀλλὰ ξύλοις παίοντες. ἀφ' οὗ καὶ πατραλοίας ὁ τοὺς πατέρας τύπτων.* Harpocration s. v. *ἀπηλοημένος· ὁ σῖτος ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι· ὅ ἐστι πατηθῆναι.* Aliud *ἀπόῤῥητον* cognoscimus ex §. 13. *ἀποβεβληκέναι τὴν ἀσπίδα.*

Novimus aliud, in quod cadebat *κακηγορίας δίκη*, ex Demosthene *πρὸς Εὐβουλίδ.* p. 1308. §. 30. *οἱ νόμοι κελεύουσιν ἔνοχον εἶναι τῇ κακηγορίᾳ τὸν τὴν ἐργασίαν τὴν ἐν τῇ ἀγορᾷ ἢ τῶν πολιτῶν ἢ τῶν πολιτίδων ὀνειδίζοντά τινι.* Atque etiam Solonis lege cautum erat, *μὴ κακῶς λέγειν τὸν τεθνεῶτα, μηδ' ἂν ὑπὸ τῶν ἐκείνου τις ἀκούῃ παίδων αὐτός.* cf. F. A. Wolfium ad Demosthenis Leptin. p. 320. s. nec dubium est, quin, si quis pro libidine agere voluerit, largam invenerit accusandi materiam, et patet ex §. 2. mala fama laborasse eos, qui cupide ejusmodi caussas agerent; *ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον εἶναι νομίζω κακηγορίας δικάζεσθαι.* Qui convictus erat *κακηγορίας*, multabatur summa quingentarum drachmarum, ut patet ex §. 12. Isocrates *κατὰ Λοχίτου* §. 3. *καὶ περὶ κακηγορίας νόμον ἔθεσαν, ὃς κελεύει τοὺς λέγοντάς τι τῶν ἀποῤῥήτων πεντακοσίας δραχμὰς ὀφείλειν.* *Ἡγεμόνες δικαστηρίου* in *δίκῃ κακηγορίας* erant thesmothetae.

Reus non negabat iratum se dixisse actorem *τὸν ἑαυτοῦ πατέρα ἀπεκτονέναι*; sed hoc non esse inter *ἀπόῤῥητα.* Si dixisset eum *ἀνδροφόνον* esse, tum se futurum fuisse *κακηγορίας* reum. Oratio in eo versatur, ut doceat meram hanc esse *λογομαχίαν*, nec legislatorem poenam verbo, sed facto constituisse. Actor autem, ut decebat filium pium, hanc calumniam aegerrime se ferre profitetur, quod, si dignus suspicione sit probum se patrem interficere potuisse, nequissimus fuerit homo necesse sit.

www.libtool.com.cn

1 Μαρτύρων μὲν οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ, ὦ
ἄνδρες δικασταί· πολλοὺς γὰρ ὑμῶν ὁρῶ δικάζοντας
τῶν τότε παρόντων, ὅτε Λυσίθεος Θεόμνηστον εἰςήγ-
γελλε τὰ ὅπλα ἀποβεβληκότα, οὐκ ἐξὸν αὐτῷ, δημη-
γορεῖν. ἐν ἐκείνῳ γὰρ τῷ ἀγῶνι τὸν πατέρα μ' ἔφα-
2 σκεν ἀπεκτονέναι τὸν ἐμαυτοῦ. ἐγὼ δ', εἰ μὲν τὸν
ἑαυτοῦ με ἀπεκτονέναι ᾐτιᾶτο, συγγνώμην ἂν εἶχον
αὐτῷ τῶν εἰρημένων, (φαῦλον γὰρ αὐτὸν καὶ οὐδενὸς
ἄξιον ἡγούμην) οὐδ' εἴτι ἄλλο τῶν ἀποῤῥήτων ἤκουσα,
οὐκ ἂν ἐπεξῆλθον αὐτῷ (ἀνελεύθερον γὰρ καὶ λίαν
3 φιλόδικον εἶναι νομίζω κακηγορίας δικάζεσθαι)· νυνὶ
δὲ αἰσχρόν μοι εἶναι δοκεῖ περὶ τοῦ πατρός, οὕτω
πολλοῦ ἀξίου γεγενημένου καὶ ὑμῖν καὶ τῇ πόλει, μὴ
τιμωρήσασθαι τὸν ταῦτ' εἰρηκότα. καὶ παρ' ὑμῶν εἰ-
δέναι βούλομαι, πότερον δώσει δίκην, ἢ τούτῳ μόνῳ
Ἀθηναίων ἐξαίρετόν ἐστι καὶ ποιεῖν καὶ λέγειν παρὰ
4 τοὺς νόμους ὅ τι ἂν βούληται. ἐμοὶ γάρ, ὦ ἄνδρες
δικασταί, ἔτη εἰσὶ τριάκοντα τρία, ἐξ ὅτου δ' ὑμεῖς
κατεληλύθατε, εἰκοστὸν τουτί. φαίνομαι οὖν τριςκαι-
δεκέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνη-
σκε. ταύτην δὲ ἔχων τὴν ἡλικίαν, οὔτ' εἴ ἐστιν ὀλι-
γαρχία ἠπιστάμην, οὔτε ἂν ἐκείνῳ ἀδικουμένῳ ἠδυνά-

1. εἰςήγγελλε - - οὐκ ἐξὸν αὐτῷ, δημηγορεῖν] Non video, quid in his verbis offenderit viros doctos, ut alius aliud conjecerit. Lex erat Athenis τὸν τὰ ὅπλα ἀποβεβληκότα ἄτιμον εἶναι. Ut autem ἀτίμῳ in genere non licebat δημηγορεῖν, sic lege disertis verbis vetitum erat τῷ τὴν ἀσπίδα ἀποβεβληκότι. Cf. Aeschin. adv. Tim. §. 18.

2. αὐτὸν] sc. patrem Theomnesti; nec tanti erat κακηγορία pravum te hominem interfecisse, quam si is, quem quis te interfecisse calumnietur, erat vir probus, fortis et patriae amans.

τῶν ἀποῤῥήτων] Cf. Prooemium.

ἐπεξῆλθον αὐτῷ] Ἐπεξέρχεσθαι vel ἐπεξιέναι verbum forense de eo, qui actionem intendit. Plerumque construitur cum dativo personae, rarius cum accusativo.

ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον] Vocabulo dubiae significationis additum quod accuratius definiat.

[4. ἔτη εἰσὶ τριάκοντα] De plurali neutris contra vulgarem usum addito vid. Heindorf. ad Platon. Tom. III. p. 137. nos Anim. ad Athen. p. 228. F. J.]

τριςκαιδεκέτης] Lysias hic Phrynichi p. 406. secutus est praeceptum: α ἀφαιρετέον compositis ex ἔτος. cf. ibi notam Lobeckii et quae monuimus ad Aeschin. περὶ παραπρ. c. 56.

www.libtool.com.cn

μην βοηθῆσαι. καὶ μὲν δὴ οὐκ ὀρθῶς τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα αὐτῷ· ὁ γὰρ πρεσβύτερος ἀδελφὸς Πανταλέων ἅπαντα παρέλαβε, καὶ ἐπιτροπεύσας ἡμᾶς τῶν πατρῴων ἀπεστέρησεν. ὥστε πολλῶν ἕνεκα, ὦ ἄνδρες δικασταί, προσῆκέ μοι αὐτὸν βούλεσθαι ζῆν. ἀνάγκη μὲν οὖν περὶ αὐτῶν μνησθῆναι. οὐδὲν δὲ δεῖ πολλῶν λόγων. σχεδὸν ἐπίστασθε ἅπαντες, ὅτι ἀληθῆ λέγω· ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι. 5

ΜΑΡΤΥΡΕΣ.

6 Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, περὶ τούτων μὲν οὐδὲν ἀπολογήσεται, ἐρεῖ δὲ πρὸς ὑμᾶς, ἅπερ ἐτόλμα λέγειν καὶ πρὸς τὸν διαιτητήν, ὡς οὐκ ἔστι τῶν ἀποῤῥήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. 7 ἐγὼ δὲ οἶμαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας· καὶ πάντας εἰδέναι, ὅτι, ὅσοι ἀνδροφόνοι εἰσί, καὶ ἀπεκτόνασί τινας. πολὺ γὰρ ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν. 8 οὐ γὰρ δήπου, ὦ Θεόμνηστε, εἰ μέν τίς σ' εἴποι πατραλοίαν ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὀφλεῖν σοι δίκην, εἰ δέ τις εἴποι, ὡς τὴν τεκοῦσαν ἢ τὸν φύσαντα ἔτυπτες, ᾤου ἂν αὐτὸν ἀζήμιον δεῖν εἶναι, ὡς οὐδὲν τῶν ἀποῤῥήτων εἰρηκότα; 9 ἡδέως γὰρ ἂν σου πυθοίμην (περὶ τοῦτο γὰρ δεινὸς εἶ καὶ μεμελέτη-

7. ἐδήλωσεν] Sic duo codices pro vulgato ἐδήλου.

8. εἰ μέν τίς σ' εἴποι] Hoc, quod etiam Jacobsius Addit. Animadvv. in Athen. p. 146. conjecit, firmavit codex X. Vulgo εἴπῃ. *Εἰ* non existimo a prosae scriptoribus cum conjunctivo fuisse constructum, praeterquam in aoristo, si praesens sit inusitatum. [cf. quae monuimus in gr. Gr. §. 121. not. 8. V. C. F. R.].

6. ἀνδροφόνον] Atticistas Moerin et Thomam M., tradentes φονέα Ἀττικῶς, ἀνδροφόνον Ἑλληνικῶς, errare patet ex nostro aliisque multis locis.

7. ἀλλὰ τῆς τούτων διανοίας] Cf. Excurs. III.

9. περὶ τοῦτο γὰρ δεινὸς εἶ] *Περὶ τούτου* conjicit Taylor: quo non opus. Nam adjectivis, quae vel virtutem vel vitium indicant, adjungitur ex regula περί cum accusativo. Cf. Loers ad Platonis Menex. p. 76.

www.libtool.com.cn

κας καὶ ποιεῖν καὶ λέγειν), εἴ τίς σε εἴποι ῥίψαι τὴν ἀσπίδα, ἐν δὲ τῷ νόμῳ εἴρητο, ἐάν τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι, οὐκ ἂν ἐδικάζου αὐτῷ, ἀλλ' ἐξήρκει ἄν σοι ἐῤῥιφέναι τὴν ἀσπίδα, λέγοντι οὐδέν σοι μέλει; οὐδὲ γὰρ τὸ αὐτό ἐστι ῥίψαι καὶ ἀποβεβληκέναι.
10 ἀλλ' οὐδ' ἂν τῶν ἕνδεκα γενόμενος ἀποδέξαιο, εἴ τις ἀπάγοι τινά, φάσκων θοἰμάτιον ἀποδεδύσθαι ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι· ἀλλ' ἀφείης ἂν τὸν αὐτὸν τρόπον, ὅτι οὐ λωποδύτης ὀνομάζεται. οὐδ' εἴ τις παῖδα ἐξαγαγὼν ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι· εἴπερ μαχῇ τοῖς ὀνόμασιν, ἀλλὰ μὴ τοῖς ἔργοις τὸν νοῦν προσέξεις, ὧν
11 ἕνεκα τὰ ὀνόματα πάντες τίθενται. ἔτι τοίνυν σκέψασθε, ὦ ἄνδρες δικασταί· οὑτοσὶ γάρ μοι δοκεῖ ὑπὸ ῥᾳθυμίας καὶ μαλακίας οὐδ' εἰς Ἄρειον πάγον ἀναβεβηκέναι. πάντες γὰρ ἐπίστασθε, ὅτι ἐν ἐκείνῳ τῷ χωρίῳ, ὅταν τὰς τοῦ φόνου δίκας δικάζωνται, οὐ διὰ τούτου τοῦ ὀνόματός τὰς διωμοσίας ποιοῦνται, ἀλλὰ δι' οὗπερ ἐγὼ κακῶς ἀκήκοα. ὁ μὲν γὰρ διώκων, ὡς ἔκτεινε, διόμνυται· ὁ δὲ
12 φεύγων, ὡς οὐκ ἔκτεινεν. οὐκοῦν ἄτοπον ἂν εἴη τὸν δόξαντα κτεῖναι [ἀποφεύγειν], φάσκοντα ἀνδροφόνον εἶναι, ὅτι ὁ διώκων, ὡς ἔκτεινε, τὸν φεύ-

10. *ἀφείης ἂν*] Dedit hoc Bekkerus nulla notata varietate pro eo, quod antea legebatur *ἀφίεις ἄν*. Idem conjecerat Jacobsius Additt. Animadvv. in Athen. p. 266.

*εἴπερ μαχῇ – ἀλλὰ προσέξεις*] Sic Bekkerus pro vulgato *μάχῃ – προσέχεις*.

12. *δόξαντα*] Emendatio Reiskii pro librorum lectione *δείξαντα*. Idem probabiliter addidit *ἀποφεύγειν*.

*λέγοντι οὐδέν σοι μέλει*] *Λέγοντι* jungendum cum *αὐτῷ*, ut sensus hic sit: non litem ipsi moveres, si diceret: hoc nihil ad te; non est cur aegre feras. Num haec tibi excusatio sufficeret?

10. *εἴ τις ἀπάγοι τινά*] *Ἀπάγειν* est verbum forense de actore, qui reum ad *ἡγεμόνα δικαστηρίου* ducit, ut eum, habita praecognitione, in vi[illegible]la conjiciat: quod aut facit *ἡγεμών*, aut vades postulat. Hinc *ἀπαγωγή*, de qua vide librum der Attische Process. p. 582 ss.

*ἐξαγαγὼν*] Hic scilicet non erat terminus technicus juris, in quo dicebatur *ἀνδραποδίζειν*. Sed verba *ἐξάγειν*, *πιπράσκειν* in sermone communi idem valebant, vel liberum hominem vendere, vel servum, qui alterius erat.

www.libtool.com.cn

γοντα διεμιδθώσω. τί γὰρ ταῦτα ὧν οὗτος ἐρεῖ διαφέρει; καὶ αὐτὸς μὲν Θέωνι κακηγορίας ἐδικάσω, εἰπόντι σε ἐῤῥιφέναι τὴν ἀσπίδα. καίτοι περὶ μὲν τοῦ ῥίψαι οὐδὲν τῷ νόμῳ εἴρηται, ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφείλειν κελεύει. οὔκουν δεινὸν, εἰ, ὅταν μὲν δεήσῃ κακῶς 13
ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους, ὥσπερ ἐγὼ νῦν, λαμβάνεις, ὅταν δ' ἕτερόν παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην; πότερον οὕτω σὺ δεινὸς εἶ, ὥστε, ὅπως ἂν βούλῃ, οἷός τ' εἶ χρῆσθαι τοῖς νόμοις, ἢ τοσοῦτον δύνασαι, ὥστε οὐδέποτε οἴει τοὺς ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι; εἶτ' οὐκ αἰσχύνῃ οὕτως ἀνοήτως 14
διακείμενος, ὥστε οὐκ ἐξ ὧν εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ἐξ ὧν ἀδικῶν οὐ δέδωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν; καίτοι ἀνάγνωθι τὸν νόμον.

## ΝΟΜΟΣ.

Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ὑμᾶς μὲν πάν- 15
τας εἰδέναι ἡγοῦμαι, ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω, τοῦτον δὲ οὕτω σκαιὸν εἶναι, ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. βούλομαι οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτων διδάξαι· ἂν πως ἀλλὰ νῦν γ' ἐπὶ

13. *λαμβάνεις*] Emendatio Taylori pro librorum lectione *λαμβάνειν*. Reiskius ex altera, quae item Lysiae fertur, *κατὰ Θ.* oratione scripsit *ἐκλαμβάνειν*; sed tum de conjectura *ἀξιοῖς* mutari debebat in *ἀξιοῦν*. Probabilior Taylori ratio.

15. *ἂν πως ἀλλὰ νῦν γ'*] *Γ'* accessit ex Reiskii conjectura. In ceteris non video, quid viros doctos offenderit, ut tantopere se in conjecturis exercuerint. Taylor suspicabatur *πῶς ἄρα νῦν*. Reiskius ipse malit *ἂν μήπω ἀλλὰ νῦν γ'*. Optima videtur codicum lectio: **si qua ratione nunc saltem**, quod est dubitantis, num fieri possit, quamquam ipse mirum esse intelligit, si non fiat. *ἀλλά* saepe

12. *τί γὰρ ταῦτα ὧν οὗτος ἐρεῖ διαφέρει;*] Solum hoc: *τί διαφέρει τόδε καὶ τόδε*, Atticum esse contendit Phrynichus p. 394, non *τίνι*. Utrumque tamen bonos scriptores usurpasse ostendit Lobeckius.

14. *καίτοι ἀνάγνωθι τὸν νόμον*] Marklandus mavult *καί μοι ἀναγν.* cet. Mihi codicum lectio praestantior videtur. Orator exspatiari coeperat in res ad caussam non necessarias, sed in ironicas animadversiones. Hinc per *καίτοι* se ipse in viam reducit.

15. *μαθεῖν τὰ λεγόμενα*] Vim verborum intelligere, eorum scilicet, quae in lege continentur.

τοῦ βήματος παιδευθῇ καὶ τὸ λοιπὸν ἡμῖν μὴ παρέχῃ πράγματα. καί μοι ἀνάγνωθι τούτους τοὺς νόμους τοὺς Σόλωνος τοὺς παλαιούς.

www.libtool.com.cn

ΝΟΜΟΣ.

16 Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, ἐὰν [μὴ] προςτιμήσῃ ἡ ἡλιαία.

limitantis est in media enuntiatione. Cf. Heindorf ad Plat. Soph. §. 44. Fortasse ne opus quidem, ut γε addatur contra codices. Similiter dicitur ἀλλ' οὖν γε et ἀλλ' οὖν sine γέ.

τοὺς παλαιούς] Fortasse in recentiore legum collectione haec verba fuerant mutata. Certe per τοὺς παλαιούς intelligit leges, Soloni ipsi tribui solitas.

16. ποδοκάκκῃ] Harpocration: τὸ ξύλον ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κάππα, ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπήν, ὥς φησι Δίδυμος, οἷον ποδοκατοχή. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, ἐξηγεῖται τοὔνομα. φησὶ γάρ· ἡ ποδοκάκκη τοῦτό ἐστιν, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. Bekkeri Anecdd. p. 292. ποδοκάκκη ὁ ἐν τῷ ξύλῳ δεσμὸς τῶν ποδῶν ἤτοι διὰ τὸ τοὺς πόδας κακοῦν, ἢ ἵνα ᾖ κατὰ συγκοπὴν εἰρημένη ἡ λέξις, ἵνα ᾖ ποδοκατοχή. Videntur caligae fuisse, quae pedibus inducebantur. [Nonne lignum potius illud, cui captivorum pedes inserebantur, quod nos den Stock appellamus? F. J.]

ἐὰν [μὴ] προςτιμήσῃ ἡ ἡλιαία] Lex Solonis integra videtur esse apud Demosthenem κατὰ Τιμοκρ. p. 733., unde, quae huc pertinent, afferamus. Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ πένθ' ἡμέρας καὶ νύκτας ἴσας, ἐὰν προςτιμήσῃ ἡ ἡλιαία. προςτιμᾶσθαι δὲ τὸν βουλόμενον, ὅταν περὶ τοῦ τιμήματος ᾖ. Patet contrariam esse legis sententiam apud Lysiam et Demosthenem. Demosthenes habet, reum convictum constringendum esse ἐν ποδοκάκκῃ, ἐὰν προςτιμήσῃ ἡ ἡλιαία. Secundum haec igitur verba δεσμός esset accessio ad τίμημα ab Heliaea imposita. E contrario Lysias ait, ἐὰν μὴ προςτιμήσῃ ἡ ἡλιαία. Quaeritur, quid sit προςτιμᾶν. Est judicii, quod aliquid addit τιμήματι, poenae ab ipsa lege statutae. Lex autem, quam copiosius laudat Demosthenes, multae magnitudinem pro varietate criminis jam constituerat. Ergo judicio permittebatur accessio. Sic lex, ut eam ex Demosthene cognoscimus, comparata fuisse videtur. Hinc Heraldus Obsvv. ad Jus Att. et Rom. p. 204. Lysiae locum sic corrigit: ἐὰν μὲν προςτιμήσῃ ἡ ἡλ., eamque conjecturam Taylor et Wesselingius ad Petiti Legg. Att. p. 461. approbant. Reiskius opinatur τὸ δεδέσθαι ἐν τῇ ποδοκάκκῃ ipsam fuisse legis poenam, ex Lysiae verbis posse concludi. Sed quum Lysias legis nonnisi partem, Demosthenes autem eandem legem totam servaverit, ex qua apparet τὸ δεδέσθαι fuisse προςτίμημα pendens ex judicis sententia, Demosthenis verba etiam Lysiae restituenda sunt, et μή prorsus delendum, quum particulae μέν nullum aliud membrum respondeat, nec, opinor, respondere potuerat in lege. Idem video sentire Boeckhium Staats-

Ἡ ποδοκάκκη αὕτη ἐστίν, ὦ Θεόμνηστε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. εἰ οὖν ὁ δεθεὶς, ἐξελθὼν, ἐν ταῖς εὐθύναις τῶν ἕνδεκα κατηγοροίη, ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο, ἀλλ' ἐν τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; Λέγε ἕτερον νόμον.

ΝΟΜΟΣ.

Ἐπεγγυᾶν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω. δεδιότα δὲ δίκης ἕνεκα δρασκάζειν. 17

Τούτων τὸ μὲν ἐπιορκήσαντα ὀμόσαι ἐστὶ, τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν.

hansh. T. I. p. 399. Ut autem activum προστιμᾶν est judicii, sic προστιμᾶσθαι medium ejus est, qui προστίμημα in judicio proponit.

ὁ δεθεὶς] Non multum curabimus Thomam M., qui p. 199. ait, κάλλιον δεδεμένος ἢ δεθείς. Utrumque bonum, sed significatione diversum. Δεδεμένος conditionem notat, quae est, δεθείς historicum est, et simpliciter conditionem indicat, quae potest desiisse esse. Cf. Rost. gr. Gr. §. 117. 4.

εὐθύναις] Sycophantae nulli parcebant calumniae, quum ratio reddenda esset magistratibus, magnasque eo tempore summas ab iis expresserunt, contra autem eos, qui injuste fecerant, judicio liberabant, larga ab iis pecunia accepta. Aristoph. Eqq. v. 821.

τοὺς καυλοὺς
τῶν εὐθυνῶν ἐκκαυλίζων.

ubi Scholiastes: ὃ λέγει, τοιοῦτόν ἐστι. Μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινὰ ἐκκόπτει αὐτῶν τὰς δίκας, ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμβάνειν παρ' αὐτῶν δύνηται. Terminus technicus de calumniis sycophantarum videtur fuisse σείειν τοὺς ὑπευθύνους, quo utitur Antiphon περὶ χορευτοῦ p. 787. §. 43. Noster ὑπὲρ Πολυστρ. §. 7. καὶ τοὺς μὲν ἀδικοῦντας οἱ κατήγοροι ἐκκλέπτουσιν, ἀργύριον λαμβάνοντες· παρ' ὧν δ' ἂν μὴ κερδαίνωσιν, ἀδικοῦντας ἀποφαίνουσι. §. 15. οἱ δ' ἠδικηκότες ἐκπριάμενοι τοὺς κατηγόρους οὐδὲν ἔδοξαν ἀδικεῖν.

17. ἐπεγγυᾶν] Si hoc compositum unquam in usu fuit, Lysiae certe aetate non fuit, nec apud oratores nec apud lexicographos et grammaticos ullum ejus vestigium. Apud Pollucem quidem III. 34. legitur ἐπέγγυος γάμος, sed boni libri habent ὑπέγγυος, quae lectio vera videtur. ὑπέγγυος enim non est inusitatum. Certa composita verbi ἐγγυᾶν, Lysiae quidem aetate usitata, fuerunt διεγγυᾶν, ἐξεγγυᾶν, κατεγγυᾶν, παρεγγυᾶν. Ἐνεγγυᾶν, quod in lexicis invenimus, ex antiqua Graecia ejecit Lobeck ad Phryn. p. 155.

ἐπιορκήσαντα] Sub h. v. hanc Lysiae orationem laudat Harpocration, non adjecta dubitationis de authentia formula, εἰ γνήσιος. Phavorinus, respiciens Atticae et posterioris aetatis verbi significationem pejerandi, ait, ἡ ἐπὶ πρόθεσις ἀντὶ τῆς ὑπὲρ κεῖται, καὶ δηλοῖ τὸ ὑπεράνω τῶν ὅρκων γενέσθαι καὶ ὑπερβαίνειν αὐτούς.

Ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος.

Τὸ ἀπίλλειν τὸ ἀποκλείειν νομίζεται, καὶ μηδὲν διὰ τοῦτο διαφέρου.

18 Τὸ ἀργύριον στάσιμον εἶναι, ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων.

Τὸ στάσιμον τοῦτο ἐστιν, ὦ βέλτιστε, οὐ ζυγῷ ἱστάναι, ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. Ἀνάγνωθι τουτὶ τοῦ νόμου τὸ τελευταῖον.

19 Ὅσαι δὲ πεφασμένως πολοῦνται, καὶ οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν.

17. ἀπίλλει] Sic Bekkerus ex codicibus suis pro vulgato ἀπειλεῖ. Formam ἀπίλλειν laudat ex nostro loco Harpocration, ubi non sollicitanda est scriptura, et Phavorinus, qui sua ex Harpocratione hausit, s. v. ἀπίλλειν. Etymologicum M. s. v. ἀπειλή habet ἀπίλλειν ἐστὶν ἀπείργειν, Αἰολικῶς ἀπέλλειν, quam formam habet Hesychius. De formarum varietate accurate egit Tib. Hemsterhusius ad Timaeum Ruhnk. p. 71. s. et Valckenaer ad Theocrit. T. II. p. 74. ed. Heindorf. Pro τῇ θύρᾳ Marklandus mavult τὴν θύραν; sed in verbo prisci usus nec usquam praeterea obvio a codicum lectione non recedendum.

διαφέρον] Vulgo διάφερον. Sensus est: propter hoc, propter diversitatem litterarum et soni ne disputa.

19. πολοῦνται] Vulgo πωλοῦνται. Referri huc poterit Hesychii glossa s. v. πολοῦνται· περὶ τὸ αὐτὸ ἀναστρέφονται. Habet tamen idem aliam glossam, quae quodammodo tuetur lectionem quae sequuntur, catalogum jam priscorum a Solone usitatorum vocabulorum concludit. Sufficiebant enim satis superque ad demonstranda quae vult.

18. τὸ στάσιμον τοῦτο ἐστιν οὐ ζυγῷ ἱστάναι] Vult Lysias hoc vocabulum non ea significatione positum esse, qua quis opinetur; reputans originem a verbo ἱστάναι. Nempe qui fenore pecuniam collocabat, eam appendebat ad libram, ἔστησε. Hinc στῆσαι significationem tropicam accipiebat: fenore collocare. Hinc στάσιμον fenore collocandum.

τουτὶ τοῦ νόμου τὸ τελευταῖον] Reiskius dedit ex Marklandi conjectura τουτουί. Alterum recte revocavit Bekkerus. Τουτὶ τὸ τελευταῖον, ultimum hoc momentum, quod statim sequitur: vel potius hoc legis momentum postremum. Iis omnis,

19. καὶ οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν] Dobr. Heraldus recte hoc novae legis momentum esse existimat, et vocabula δούλην et βλάβης (i. e. scribendum καὶ δούλης τὴν βλάβην) sedem mutasse suspicatus est. Fortasse etiam καὶ δούλης postea demum additum. οἰκεὺς enim nomen erat generale. Οἰκεὺς quidem Ammonio est οἰκότριψ. Οἰκότριψ, inquit, ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος, ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν· οἰκέτης δὲ ὁ δοῦλος ὁ ὠνητός. Thom.

www.libtool.com.cn

Προσέχετε τὸν νοῦν. τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς, πολεῖσθαι δὲ βαδίζειν, τὸ δὲ οἰκῆος, θεράποντος. πολλὰ δὲ τοιαῦτα καὶ ἄλλα ἐστίν, ὦ ἄνδρες 20
δικασταί. ἀλλ' εἰ μὴ σιδηροῦς ἐστιν, οἴομαι αὐτὸν ἔννουν γεγονέναι, ὅτι τὰ μὲν πράγματα ταὐτά ἐστι νῦν τε καὶ πάλαι, τῶν δὲ ὀνομάτων ἐνίοις οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν τε καὶ πρότερον. δηλώσει δέ· οἰχήσεται
γὰρ ἀπιὼν ἀπὸ τοῦ βήματος σιωπῇ. εἰ δὲ μή, δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταί, τὰ δίκαια ψηφίσασθαι, 21
ἐνθυμουμένους, ὅτι πολὺ μεῖζον κακόν ἐστιν, ἀκούσαντα τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα ἀποβεβλη-

πωλοῦνται s. v. πωλεῖται· συνεχῶς ἐπὶ τὸν αὐτὸν τόπον παρεγίνεσθαι. τὸ δὲ καθ' ἡμᾶς πωλεῖσθαι πορνᾶσθαι λέγεται. Harpocration autem s. v. πωλῶσι, locum laudans Demosthenis, ait πωλεῖν vendendi significatione positum esse, ita ut euphemistica sit locutio πωλεῖν τι ἐπὶ τῆς ἀγορᾶς. Ab hac tamen locutione diversum erit absolute positum πωλεῖσθαι. Πολεῖσθαι et πωλεῖσθαι antiquo tempore idem erat vocabulum, quum una tantum esset littera o. Πωλεῖσθαι autem in commercio cum meretricibus usitatum agnoscit Toupius in Suidam T. I. p. 280. et laudat eadem verba ex Plutarchi Solon. p. 91. quae hic leguntur, et in eo plus invenit auctoritatis, si ad usum substantivi πῶλος attendamus: quod vocabulum item Hesychius explicat ἑταίρα: de quo monuit Fischerus ad Anacr. Od. LXI. v. 1. Alius fortasse πολεῖσθαι ob tropicam significationem praetulerit. Πολεῖν γῆν enim est terram aratro vertere. Hinc πολεῖσθαι foret tropus de meretrice usurpatus, quum ἀροῦσθαι et similia sint frequentia de satu liberorum, et ἀροτὴρ adeo dicatur de patre. In re dubia optimi codices sequendi.

20. νῦν τε καὶ πρότερον] Τε accessit ex cod.
21. ἀπεκτονέναι ἢ τὴν ἀσπίδα] Recte haec verba ex libro optimo Bekkerus inseruit, quamvis uncis inclusa, quibus ea liberavimus.

δὲ Σόλωνι ἐν ἄξοσιν οἰκεὺς κέκληται ὁ οἰκότριψ: ubi nihil mutandum, etiam si forte rectius dixisset nomen οἰκεύς utriusque generis homines complecti, et οἰκότριβας et οἰκέτας. Βλάβη autem θεραπόντων, damnum, quod fecerant ministri, a domini erat resarciendum. Idem etiam Plato docuit de Legg. XI. 14. Δοῦλος δ' ἂν ἢ δούλη βλάψῃ τῶν ἀλλοτρίων καὶ ὁτιοῦν, μὴ ξυναιτίου τοῦ βλαβέντος αὐτοῦ γενομένου, κατ' ἀπειρίαν ἤ τιν' ἑτέραν χρείαν μὴ σώφρονα, ὁ τοῦ βλάψαντος δεσπότης ἢ τὴν βλάβην ἐξιάσθω μὴ ἐνδεῶς, ἢ τὸν βλάψαντ' αὐτὸν παραδότω. Ceterum hae caussae agebantur coram diaetetis, a quibus tamen provocatio locum habebat.

20. δηλώσει δέ] sc. ὅτι ἔγνωκε ταὐτὰ μὲν εἶναι τὰ πράγματα, διαφέροντα δὲ τοῖς ὀνόμασι.

οἰχήσεται γὰρ ἀπιὼν cet.] Videtur significare Theomnestum non amplius se defensurum, sed sponte caussa cessurum.

www.libtool.com.cn

κέναι. ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐῤῥιφέναι, ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πατέρα.
22 οὗτος οὖν ἔνοχος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλεήθη, ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. ἐγὼ δὲ ἑωρακὼς μὲν ἐκεῖνο τοῦτον ποιήσαντα, ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἄνομον καὶ δεινὸν πρᾶγμα, μεγίστης δὲ οὔσης μοι τῆς συμφορᾶς, εἰ ἀποφεύξεται, τούτῳ δ' οὐδενὸς ἀξίας, εἰ κακηγορίας
23 ἁλώσεται, οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι; τίνος ὄντος ἐμοὶ πρὸς ὑμᾶς ἐγκλήματος; πότερον, ὅτι δικαίως ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κακηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ
24 λόγος ἐν τῇ πόλει κατεσκέδασται. ἀναμνήσθητε δὲ, ὅτι μεγάλην καὶ καλὴν ἐκείνην δωρεὰν αὐτῷ δεδώκατε· ἐν ᾗ τίς οὐκ ἂν ἐλεήσειεν Διονύσιον, τοιαύτῃ μὲν συμφορᾷ περιπεπτωκότα, ἄνδρα δὲ ἄριστον ἐν τοῖς
25 κινδύνοις γεγενημένον, ἀπιόντα δὲ ἀπὸ τοῦ δικαστηρίου καὶ λέγοντα, ὅτι δυστυχεστάτην ἐκείνην εἴημεν στρατείαν ἐστρατευμένοι, ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον, οἱ δὲ σώσαντες τὰ ὅπλα ψευδομαρτυριῶν ὑπὸ τῶν ἀποβαλόντων ἑαλώκασι, κρεῖττον δὲ ἦν αὐτῷ

24. δωρεὰν] Sic Bekkerus de conjectura. Libri δῶρον, quod est munus pretio, pecunia, aut materia constans; δωρεά vero est munus honorificum: quae notio una hic locum habet.

21. ἐῤῥιφέναι] Reiskius aberravit, opinans δοκεῖν excidisse. Haec notio satis ex contextu suppletur et sponte offertur per id, quod sequitur τοιαύτην γνώμην ἔχειν. Lysias verba inaniter non solet effundere.

22. τὸν μαρτυρήσαντα ἠτίμωσεν] Antiphon Τετραλ. Α. δ. §. 7. p. 653. R. οἱ μὲν ἐλεύθεροι ἀτιμοῦνταί τε καὶ χρήμασι ζημιοῦνται, ἐὰν μὴ τἀληθῆ δοκῶσι μαρτυρῆσαι. Cf. Platner der Process cet. p. 420.

ἐκεῖνο τοῦτον ποιήσαντα, ὃ καὶ ὑμεῖς ἴστε] Euphemistice rem omnibus notam, quam tamen qui testimonio confirmaverat ἠτίμωται, silentio premit, ne ansam praebeat calumniandi.

23. βελτίων καὶ ἐκ βελτιόνων] Formula laudis ratione majorum: tum interna tum externa virtute. Opposita formula est δοῦλος καὶ ἐκ δούλων infamiae.

τότε ἀποθανεῖν, ἢ οἴκαδ' ἐλθόντι τοιαύτῃ τύχῃ χρῆ-
σθαι. μὴ τοίνυν ἀκούσαντα Θεόμνηστον κακῶς τὰ 26
προςήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι καὶ λέγοντι παρὰ
τοὺς νόμους συγγνώμην ἔχετε. τίς γὰρ ἂν ἐμοὶ μεί-
ζων ταύτης γένοιτο συμφορά, περὶ τοιούτου πατρὸς
οὕτως αἰσχρὰς αἰτίας ἀκηκοότι; ὃς πολλάκις μὲν 27
ἐστρατήγησε, πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ' ὑ-
μῶν ἐκινδύνευσε· καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκεί-
νου σῶμα ὑποχείριον ἐγένετο, οὔτε τοῖς πολίταις οὐ-
δεμίαν πώποτε ὤφλεν εὐθύνην, ἔτη δὲ γεγονὼς ἑπτὰ
καὶ ἑξήκοντα ἐν ὀλιγαρχίᾳ δι' εὔνοιαν τοῦ ὑμετέρου
πλήθους ἀπέθανεν. ἆρ' ἄξιον ὀργισθῆναι τῷ εἰρη- 28
κότι καὶ βοηθῆσαι τῷ πατρί, ὡς καὶ ἐκείνου κακῶς
ἀκηκοότος; τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐ-
τῷ ἢ τεθνάναι μὲν ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν δ' ἔχειν
ὑπὸ τῶν παίδων; οὗ ἔτι καὶ νῦν, ὦ ἄνδρες δικα-
σταί, τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ἀ-
νάκειται, τὰ δὲ τούτου καὶ τοῦ τούτου πατρὸς τῆς
κακίας πρὸς τοῖς τῶν πολεμίων· οὕτω σύμφυτος αὐ-
τοῖς ἡ δειλία. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσῳ 29
μείζους εἰσὶ καὶ νεανίαι τὰς ὄψεις, τοσούτῳ μᾶλλον

26. *ἀκούσαντα Θεόμνηστον*] Bekkerus mavult *ἀκούσαντά τε Θεόμνηστον*: quod melius vulgato, quoniam sic conjunctio rerum oppositarum de eodem homine fortius exprimitur, et vellem libri scripti conjecturam juvarent.

*αἰσχρὰς αἰτίας ἀκηκοότι; ὃς*] *Ἀκηκοότι; ὅς* est Reiskii emendatio pro librorum lectione *ἀκηκοότος*. Reiskius item singularem dedit *αἰσχρὰν αἰτίαν*, quem retinuit Bekkerus. Ego vero pluralem ut hyperbolicum facile probo.

28. *πρὸς τοῖς ὑμετέροις*] Bekkerus ex conjectura Marklandi addidit *ἱεροῖς*: quod nescio an non sit opus. Novimus tropaea in honorem virorum fortium in templis donata fuisse. Sed sufficit ad *ὑμετέροις* supplere *μνημείοις*, idque modestiae Lysiacae convenientius, etiam propter sequens *πρὸς τοῖς τῶν πολεμίων*, ubi idem vocabulum supplendum, quanquam notione contraria.

27. *ὤφλεν εὐθύνην*] *Ὀφλεῖν*, si grammaticos audiamus, dicitur de multa, qua quis a judicio multatus sit; *ὀφείλειν* de aere alieno, quod quis contraxit.

*δι' εὔνοιαν τοῦ ὑμετέρου πλήθους*] Genitivus objectivus. Cf. Matthiae gr. Gr. §. 313.

29. *νεανίαι τὰς ὄψεις*] Accusativum pluralem sine praepositione in hac constructione illustrat et vindicat Lobeckius ad Phryn. p. 365. Nempe Phryni-

ὀργῆς ἄξιοί εἰσι· δῆλον γάρ, ὅτι τοῖς μὲν σώμασι δύνανται, τὰς δὲ ψυχὰς οὐκ ἔχουσιν.

www.libtool.com.cn

30 Ἀκούω δ' αὐτόν, ὦ ἄνδρες δικασταί, ἐπὶ τοῦτον τὸν λόγον τρέπεσθαι, ὡς ὀργισθεὶς εἴρηκε ταῦτα, ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν μαρτυρίαν Διονυσίῳ. ὑμεῖς δ' ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, ὅτι ὁ νομοθέτης οὐδεμιᾷ ὀργῇ συγγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποφαίνῃ, ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ δὶς ἤδη περὶ τούτου μεμαρτύρηκα. οὐ γάρ πω ᾔδειν, ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε.

31 Περὶ μὲν οὖν τούτων οὐκ οἶδ', ὅ τι δεῖ πλείω λέγειν. ἐγὼ δὲ ὑμῶν δέομαι καταψηφίσασθαι Θεομνήστου, ἐνθυμουμένους, ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι. νῦν γὰρ διώκω κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω τοῦ πατρός, ὃς μόνος, ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν Ἀρείῳ πάγῳ.

32 ὧν μεμνημένοι καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε, καὶ τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οἷς ὀμωμόκατε.

---

chius p. 346. monet: χρηστὸς τὰ ἤθη πληθυντικῶς φυλάττου. οἱ γὰρ δόκιμοι χρηστὸς τὸ ἦθος ἑνικῶς φασι καὶ οὐ τὰ ἤθη. Quod praeceptum in vocabulo ἦθος, si adjectivum sit numeri singularis, firmant scriptores optimi; pluralem in hac caussa adhibent sequiores. Adjectiva autem pluralia promiscue cum utroque numero componuntur in hoc vocabulo, ἦθος et ἤθη. In ceteris ejusdem potestatis vocabulis nulla apparet distinctio. Praepositiones autem in hac constructione addere veteribus oratoribus insuetum; quarum usum popularis dialectus cum poetis habet communem.

τὰς δὲ ψυχὰς οὐκ ἔχουσιν] Jacobs Addit. Animadvv. in Athen. p. 90. s., nisi adjectivum in fine exciderit, legendum conjicit: τὰς δὲ ψυχὰς οὐδέν εἰσιν; animo autem non valent. Vulgata idem, opinor, significat, et dictioni Lysiacae satis est conveniens.

30. ἀκούω δ' αὐτὸν — τρέπεσθαι] Nota praesens post ἀκούω de re futura. κατὰ Φίλ. §. 27. ἀκούω δ' αὐτὸν λέγειν. Cf. Excurs. VIII.

www.libtool.com.cn

# ΛΥΣΙΟΥ

## ΕΝ ΒΟΥΛΗι

## ΜΑΝΤΙΘΕΩι ΔΟΚΙΜΑΖΟΜΕΝΩι ΑΠΟΛΟΓΙΑ.

---

### PROOEMIUM.

1.

Haec oratio est ἀπολογία δοκιμασίας. Omnes ἀρχαὶ καὶ κληρωταὶ καὶ χειροτονηταί erant examini, δοκιμασίᾳ, subjectae, etiam ii magistratus, qui populi suffragiis erant creati: quo magis ii, qui sorti (κλήρῳ ἀπὸ κυάμων) honorem suum debebant.

Jam qualis ea δοκιμασία fuerit, considerandum est. Procul dubio in salutaribus ejusmodi institutis, nisi omni calumniarum generi januam aperiri velis, caute est procedendum. Ἀνάκρισις quae vocabatur, in universum erat instituenda, ita ut certum esset, num quis τὰ τοῦ καλοῦ κἀγαθοῦ praestitisset. Dinarchus nobis servavit eas quaestiones, ad quas respondendum erat δοκιμάστέῳ, κατὰ Ἀριστόγ. §. 17. p. 86. R. δεῖ ἀνακρίνειν τοὺς τῶν κοινῶν τι μέλλοντας διοικεῖν (eos, qui munus publicum subituri sunt)

a) εἰ γονέας εὖ ποιεῖ.
b) εἰ τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευται.
c) εἰ ἱερὰ πατρῷά ἐστιν.
d) εἰ τὰ τέλη τελεῖ.

Primum momentum haud dubie etiam hoc comprehendebat: εἰ γνήσιος ἐπ' ἀμφοῖν ἢ δημοποίητος. Nam quum nemini liceret uti jure civitatis, nisi qui esset aut utrimque probis parentibus natus aut a populo civitate donatus, multo minus magistratu fungi poterat, qui in alterutra parte laboraret. Quod si quis vicerat δοκιμασίαν, munus obtinebat.

Sin autem δοκιμασία non sufficiebat, candidatus ἀπεδοκιμάσθη. Mantitheus erat sorte βουλευτής designatus. Novorum senatorum δοκιμασία erat penes senatum, qui decedebat. Jam poterat aliquis simpliciter ἀποδοκιμασθῆναι, ita ut aditus ad munus ei non concederetur; vel videtur βουλή simplici rejectione non contenta δικαστηρίῳ rem inquirendam et puniendam mandare potuisse, vel, opinor, etiam ἀποδοκιμασθέντι licebat appellare judicium. Qui de hac re scripserunt viri docti, in dubio relinquunt, num βουλὴ ipsa fuerit τὸ δικαστήριον, quod etiam secunda vice judicaverit. Mihi vero ex accuratissimorum grammaticorum testimoniis constare videtur δοκιμασίαν ex ipsa βουλῇ pependisse, sin autem quid ultra secutum sit, rem traditam esse δικαστηρίῳ, tum imprimis ex analogia. Narrat Aeschines adv. Tim. §. 45, Hegesandrum ἐκφυλλοφορηθέντα (jam senatorem ob facinus commissum ex senatu ejectum) non traditum fuisse δικαστηρίῳ, sed post preces iterum receptum tantam infamiam toti contraxisse senatui, ut ei, quum tamen eum absolvisset, nulla fuerit a populo corona tributa. Quod igitur ἐκφυλλοφορηθέντι faciendum fuit, idem probabile est

certis sub conditionibus etiam ἀποδοκιμασθέντι faciendum fuisse. Quum autem δοκιμασία ipsa esset actus judicandi, ἡ βουλή, quatenus ἐδοκίμαζεν, appellari poterat δικαστήριον. Recte igitur orator, qui ipse erat senator, in accusatione Philonis, ὀμόσας, inquit, εἰςῆλθον εἰς τὸ δικαστήριον τὰ βέλτιστα συμβουλεύσειν τῇ πόλει, quamquam Bekkerus contra libros edidit εἰς τὸ βουλευτήριον.

Erat autem Mantitheus, quantum ex ipsa oratione conjicere licet, homo simplex, externa specie parum commendabilis, asper potius quam subtilis et politus, unde vulgo ferox habebatur et immodestus. §. 19. 20. — In rebus privatis autem erat homo frugi, remotus a petulantia et lascivia adolescentulorum, pius, et plus quam officiosus. §. 10. 11. Quae civis erant καλοῦ κἀγαθοῦ, ea diligenter praestitit, expeditionibus etiam periculosis et laboriosis se ipse obtulit, et quamvis ipse dives non esset, probos tamen, sed pauperes cives, qui stipendia merebantur, suis opibus sublevavit.

Ei hoc culpae datur, quod inter equites militaverit tempore triginta virorum. Equites infamia maxime laborabant, ita ut post exactos tyrannos populus juberet phylarchos tabellas conficere eorum, qui sub tyrannide stipendia equites fecerint, et repetere καταστάσεις: Κατάστασις, inquit Harpocration s. v., ἔοικεν ἀργύριον εἶναι, ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου. Stipendium enim equitibus δοκιμασθεῖσι numerabatur tempore pacis, ut semper essent parati et bene instructi. Judicium autem extra ordinem constituebatur κληρωτὸν συνδίκων, qui, teste Harpocratione, erant ἀρχή τις καθισταμένη μετὰ τὴν ἐκ Πειραιῶς κάθοδον, πρὸς οὓς τα δημευόμενα ἀπεφέρετο. Hujus magistratus ad tempus solum constituti saepius in his, quas deinceps sequi jussimus, orationibus fit mentio.

Huic nostrae orationi subjunximus orationem κατὰ Φίλωνος δοκιμασίας: quae est accusatio ejusdem generis. Postulat orator, ut rejiciatur Philo sorte senator designatus, ostenditque improbum hominem esse Philonem, qui patriae opem non tulerit in discrimine neque corpore nec opibus, sed urbe deserta securitatem secutus sit. Quid? quod etiam inopes cives et imbecillos turpissime vexavit, et impius in matrem fuit, quae animam agens alieno magis quam filio confisa fuerat.

---

Εἰ μὴ συνῄδειν, ὦ βουλή, τοῖς κατηγόροις βουλομένοις ἐκ παντὸς τρόπου κακῶς ἐμὲ ποιεῖν, πολλὴν ἂν αὐτοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας. ἡγοῦμαι γὰρ τοῖς ἀδίκως διαβεβλημένοις τούτους εἶναι με-

1. χάριν εἶχον] Atticistae χάριν ἔχειν non minus probant quam χάριν εἰδέναι; nec vero Hyperides tantum et Lysias hac locutione usi sunt, ut voluerunt quidam, sed optimi quique scriptorum, nec solum de eo, qui habet gratiam, sed etiam de eo, qui facit, quod alii gratum sit, ut Thucyd. VIII. 87. ubi vid. Schol. Εὐχαριστεῖν autem antiquiorum nemo usurpavit, sed primus Polybius, significatione gratias agendi.

www.libtool.com.cn

γίστων ἀγαθῶν αἰτίους, οἵτινες ἂν αὐτοὺς ἀναγκάζωσιν εἰς ἔλεγχον τῶν αὐτοῖς βεβιωμένων καταστῆναι. ἐγὼ γὰρ οὕτω σφόδρα ἐμαυτῷ πιστεύω, ὥστ' ἐλπίζω 2
καὶ εἴ τις πρός με τυγχάνει ἀηδῶς ἢ κακῶς διακείμενος, ἐπειδὰν ἐμοῦ λέγοντος ἀκούσῃ περὶ τῶν πεπραγμένων, μεταμελήσειν αὐτῷ, καὶ πολὺ βελτίω με εἰς τὸν λοιπὸν χρόνον ἡγήσεσθαι. ἀξιῶ δέ, ὦ βουλή, 3
ἐὰν μὲν τοῦτο μόνον ὑμῖν ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι, καὶ ὡς ἠνάγκασμαι τῶν αὐτῶν κινδύνων μετέχειν ὑμῖν, μηδέν πώ μοι πλέον εἶναι· ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκώς, καὶ πολὺ παρὰ τὴν δόξαν καὶ παρὰ τοὺς λόγους τοὺς τῶν ἐχθρῶν, δέομαι ὑμῶν ἐμὲ μὲν δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι. πρῶτον δὲ ἀποδείξω, ὡς οὐχ ἵππευον, οὔτ' ἐπεδήμουν ἐπὶ τῶν τριάκοντα, οὐδὲ μετέσχον τῆς τότε πολιτείας.

Ἡμᾶς γὰρ ὁ πατὴρ πρὸ τῆς ἐν Ἑλλησπόντῳ συμ- 4
φορᾶς ὡς Σάτυρον τὸν ἐν τῷ Πόντῳ διαιτησομένους ἐξέπεμψε. καὶ οὔτε τῶν τειχῶν καθαιρουμένων, οὔτε μεθισταμένης τῆς πολιτείας, ἀλλ' ἤλθομεν πρὶν τοὺς ἀπὸ Φυλῆς εἰς τὸν Πειραιᾶ κατελθεῖν πρότερον πένθ' ἡμέραις. καίτοι οὔτε ἡμᾶς εἰκὸς ἦν, εἰς τοιοῦ- 5
τον καιρὸν ἀφιγμένους, ἐπιθυμεῖν μετέχειν τῶν ἀλλοτρίων κινδύνων, οὔτ' ἐκεῖνοι φαίνονται τοιαύτην γνώμην ἔχοντες, ὥστε καὶ τοῖς ἀποδημοῦσι καὶ τοῖς μηδὲν ἐξαμαρτάνουσι μεταδιδόναι τῆς πολιτείας,

2. τυγχάνει] Sic Bekkeri codd. pro vulgato τυγχάνοι.

2. ἀηδῶς ἢ κακῶς] Conjunctum est ex eo more oratorum, quo eandem notionem per vocabulum negativum et affirmativum exprimunt. Plerumque a leniori progrediuntur ad gravius. Ἀηδῶς benevolentiae defectum significat, κακῶς autem aversationem.

4. ὡς Σάτυρον τὸν ἐν Πόντῳ] Σάτυρος, ὁ Σπαρτάκου υἱός, Bospori rex, post regnum quatuordecim annorum decessit Ol. XCVI. 4, auctore Diodoro Siculo L. XIV. 93. ubi vide Wesselingium. Supplendum autem ad τὸν ἐν Πόντῳ vel δυνάστην vel ἄρχοντα vel βασιλεύοντα. Cf. Schaefer. ad Bosii Ell. p. 56 et 123.

ἀλλ' ἤλθομεν] Cf. Excurs. III.

πρότερον πένθ' ἡμέραις] Dativus junctus comparativis temporis vel spatii mensuram significat. Cf. Matthiae Gr. Gr. §. 405. 7.

5. καὶ τοῖς ἀποδημοῦσι καὶ τοῖς μηδὲν ἐξαμαρτάνουσι μεταδιδόναι τῆς πολιτείας] Marklan-

ἀλλὰ μᾶλλον ἠτίμαζον καὶ τοὺς συγκαταλύσαντας τὸν
6 δῆμον. ἔπειτα δὲ ἐκ μὲν τοῦ σανιδίου τοὺς ἱππεύσαν-
τας σκοπεῖν εὔηθές ἐστιν· ἐν τούτῳ γὰρ πολλοὶ μὲν
τῶν ὁμολογούντων ἱππεύειν οὐκ ἔνεισιν, ἔνιοι δὲ τῶν
ἀποδημούντων ἐπιγεγραμμένοι εἰσίν. ἐκεῖνος δ' ἐστὶν
ἔλεγχος μέγιστος· ἐπειδὴ γὰρ κατήλθετε, ἐψηφίσασθε
τοὺς φυλάρχους ἀπενεγκεῖν τοὺς ἱππεύσαντας, ἵνα τὰς
7 καταστάσεις ἀναπράττητε παρ' αὐτῶν. ἐμὲ τοίνυν οὐ-
δεὶς ἂν ἀποδείξειεν οὔτ' ἀπενεχθέντα ὑπὸ τῶν φυλάρ-
χων, οὔτε παραδοθέντα τοῖς συνδίκοις, οὔτε κατά-
στασιν παραλαβόντα. καίτοι πᾶσι ῥᾴδιον τοῦτο γνῶ-
ναι, διότι ἀναγκαῖον ἦν τοῖς φυλάρχοις, εἰ μὴ ἀπο-
δείξαιεν τοὺς ἔχοντας τὰς καταστάσεις, αὐτοῖς ζημιοῦ-
σθαι, ὥστε πολὺ ἂν δικαιότερον ἐκείνοις τοῖς γράμ-

5. *ἀλλὰ μᾶλλον ἠτίμαζον καὶ τοὺς συγκαταλύσαντας τὸν δῆμον*] Bekkerus hoc dedit, quod erat in suis codd., quum editiones haberent *ἢ* pro *καί*, et Reiskius post *δῆμον* addidisset *ἐτίμων*. Manuscriptorum quidem lectio corrupta, nec probabile supplementum Reiskii. Codicibus igitur, si qui restant antiquiores et integriores, sanandum locum relinquimus.

6. *ἀποδημούντων*] Sic Bekkeri codd. Reiskius ex Aldina revocavit *ἀπομούντων*: quod verbum Atticis scriptoribus usurpatum fuisse non existimo.

dus scribendum opinatur *καίτοι μηδὲν ἐξαμαρτάνουσι*, tametsi innocui essent, per parenthesin. Sed vulgatam recte defendit Jacobs Add. Ann. ad Athen. p. 320. not. * et hanc esse loci sententiam dicit: »Mantitheus cum fratre absens fuerat, dum triginta illi Athenis dominabantur: quare puri a sceleribus, quibus illi se inquinaverant: *μηδὲν ἐξαμαρτάνοντες*. Jam quum paucis diebus ante exactos tyrannos rediissent, plane non verisimile erat tyrannos aliquam dominationis suae partem communicasse cum iis, qui in criminum suorum societatem non venissent. Nam iis tantum fidem habebant, qui se caede et sanguine inquinaverant, *τοῖς ἐξημαρτηκόσι*.«

7. *ἀναγκαῖον ἦν τοῖς φυλάρχοις — αὐτοῖς ζημιοῦσθαι*] Stephanus malebat *αὐτούς*. Sed hic est Graecorum mos, ut, si infinitivo addatur nomen vel determinans vel aliquid praedicans de substantivo, quod est in enuntiatione primaria, id ponatur in eodem casu, quo substantivum. Hinc enascitur canon nomen praedicatum infinitivo additum omnes casus pati. Quamquam ne id quidem rejecerunt, praedicatum ad infinitivum ponere in accusativo, etiam si alius praecesserit subjecti casus. Sed vix in varietate lectionis praeferendus accusativus, nisi antiquissimi et optimi codd. eum praeferant; nedum contra libros quicquam tentandum.

*ἐκείνοις τοῖς γράμμασιν ἢ τούτοις*] Rariore hic usu *ἐκεῖνος* ad propius nomen, *οὗτος* ad remotius refertur. Nec vero dubitandum de usu. Cf. Astium ad Plat.

…θοβούλῳ ἐξαλεῖψαί με ἐκ τοῦ καταλόγου
…αἰσχρὸν εἶναι, τοῦ πλήθους μέλλοντος μετ'
…ἄδειαν ἐμαυτῷ παρασκευάσαντι στρατεύε-
…μοι ἀνάβηθι, Ὀρθόβουλε.

ΜΑΡΤΥΡΙΑ.

…λεγέντων τοίνυν τῶν δημοτῶν πρὸ τῆς ἐξό- 14
…ς αὐτῶν ἐνίους πολίτας μὲν χρηστοὺς ὄντας
…ύμους, ἐφοδίων δὲ ἀποροῦντας, εἶπον, ὅτι
…ς ἔχοντας παρέχειν τὰ ἐπιτήδεια τοῖς ἀπόρως
…νοις. καὶ οὐ μόνον τοῦτο συνεβούλευον τοῖς
…, ἀλλὰ καὶ αὐτὸς ἔδωκα δυοῖν ἀνδροῖν τριάκον-
…αχμὰς ἑκατέρῳ· οὐχ ὡς πολλὰ κεκτημένος,
…να παράδειγμα τοῦτο τοῖς ἄλλοις γένηται. καί
…νάβηθι.

ΜΑΡΤΥΡΕΣ.

Μετὰ ταῦτα τοίνυν, ὦ βουλή, εἰς Κόρινθον ἐξό- 15
γενομένης, καὶ πάντων προειδότων, ὅτι δεήσει
…υνεύειν, ἑτέρων ἀναδυομένων, ἐγὼ διεπραξάμην,
…ε τῆς πρώτης τεταγμένος μάχεσθαι τοῖς πολεμίοις·
… μάλιστα τῆς ἡμετέρας φυλῆς δυστυχησάσης, καὶ
…είστων ἐνθανόντων, ὕστερον ἀνεχώρησα τοῦ σεμνοῦ
…ειριέως, τοῦ πᾶσιν ἀνθρώποις δειλίαν ὠνειδικότος.
… οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίν- 16
… χωρίων ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς πολε-
…ους μὴ δύνασθαι προσιέναι, Ἀγησιλάου δ' εἰς τὴν

…. ἐφοδίων δὲ ἀποροῦντας] …rdum magni sumtus fiebant …m ipsorum impensis, qui in …iam ibant, ut nil deesset et …tilitatem et ad commodita… praesertim quum expeditio …et gravior et longior, ut …scimus ex Thucyd. VI. …nterdum vero etiam duces privati pauperioribus sup…ferebant. Cf. Boeckh. … I. p. 298.

…ναδυομένων] Ut ἀναδύε… genere est se subdu…gere, sic imprimis di… militibus, qui vel mili… certamen subterfugiunt. Cf. Bornemann ad Xenoph. Symp. V. 2.

τῆς πρώτης τεταγμένος] Scaligerus assentiente Reiskio volebat ἐπὶ τῆς πρώτης: quo non opus. Τῆς πρώτης sc. τάξεως est genitivus partitivus: ad quem minime subaudiendum, quod opinabantur illi viri docti, ἐπί.

τοῦ σεμνοῦ Στειριέως] Interdum ironia utitur Lysias in Thrasybulum Stiriensem: quod factum nollem in virum, qui tam bene meritus erat de re publica Atheniensium: qui si forte parum favebat Mantitheo, vix hoc cedat in hujus favorem.

www.libtool.com.cn

κησα. περὶ δὲ τῶν κοινῶν μοι μέγιστον ἡγοῦμαι τεκμήριον εἶναι τῆς ἐμῆς ἐπιεικείας, ὅτι τῶν νεωτέρων ὅσοι περὶ κύβους, ἢ πότους, ἢ περὶ τὰς τοιαύτας ἀκολασίας τυγχάνουσι τὰς διατριβὰς ποιούμενοι, πάντας αὐτοὺς ὄψεσθέ μοι διαφόρους ὄντας, καὶ πλεῖστα τούτους περὶ ἐμοῦ λογοποιοῦντας καὶ ψευδομένους. καίτοι δῆλον, ὅτι, εἰ τῶν αὐτῶν ἐπεθυμοῦμεν, οὐκ ἂν
12 τοιαύτην γνώμην εἶχον περὶ ἐμοῦ. ἔτι δ', ὦ βουλή, οὐδεὶς ἂν ἀποδεῖξαι περὶ ἐμοῦ δύναιτο οὔτε δίκην αἰσχρὰν οὔτε γραφὴν οὔτε εἰσαγγελίαν γεγενημένην. καίτοι ἑτέρους ὁρᾶτε πολλάκις εἰς τοιούτους ἀγῶνας καθεστηκότας. πρὸς τοίνυν τὰς στρατείας, καὶ τοὺς κινδύνους τοὺς πρὸς τοὺς πολεμίους, σκέψασθε, οἷον
13 ἐμαυτὸν παρέχω τῇ πόλει. πρῶτον μὲν γάρ, ὅτε τὴν συμμαχίαν ἐποιήσασθε πρὸς τοὺς Βοιωτούς, καὶ εἰς Ἁλίαρτον ἔδει βοηθεῖν, ὑπὸ Ὀρθοβούλου κατειλεγμένος ἱππεύειν, ἐπειδὴ πάντας ἑώρων τοῖς μὲν ἱππεύουσιν ἀσφάλειαν εἶναι δεῖν νομίζοντας, τοῖς δ' ὁπλίταις κίνδυνον ἡγουμένους, ἑτέρων ἀναβάντων ἐπὶ τοὺς ἵππους ἀδοκιμάστων παρὰ τὸν νόμον, ἐγὼ προσελθὼν

11. *εἰ τῶν αὐτῶν ἐπεθυμοῦμεν*] *Αὐτοί τε καὶ ἐγώ*; si ego iisdem studiis deditus essem, quibus ipsi. Jam tum enim qui eadem sentiebant et moliebantur adolescentuli, se invicem ubique tuebantur et defendebant, aliter autem sentientes et agentes odio et calumniis persequebantur.

12. *οὔτε δίκην αἰσχρὰν οὔτε γραφὴν οὔτε εἰσαγγελίαν*] *Δίκη* est caussa privata; quoniam autem saepe est omnis generis caussarum generale nomen, saepe additur *ἰδία*. Sed hoc recte omittitur, praesertim si opposita sit *γραφή*, quae est caussa publica. *Εἰσαγγελία* est delatio criminum extraordinariorum, quae a vulgari ratione recedunt et certis legum praescriptionibus non comprehenduntur, neque in judicium deduci possunt ordinario modo, neque cognosci de iis et judicari potest ex veteribus legibus. De hac ejusque generibus accuratissime exposuit Schoemannus de comitt. L. II. c. 3.

*οἷον ἐμαυτὸν παρέχω τῇ πόλει*] Praesens hoc egregium ad rem quasi sub oculos auditorum collocandam et continuam agendi rationem, quae etiamnum durat, indicandam.

13. *πρὸς τοὺς Βοιωτοὺς etc.*] Narrat rem Xenoph. Hellen. III. 5. Haliartus, urbs Boeotiae, ad quam cecidit Lysander, dux Lacedaemoniorum. Periculum equitatus erat minus, quod magna erat illorum multitudo.
*ἀδοκιμάστων*] De equitum *δοκιμασίᾳ* cf. prooemium or. *κατὰ Ἀλκιβιάδου* et §. 8. ss.

www.libtool.com.cn

ἔφην τῷ Ὀρθοβούλῳ ἐξαλεῖψαί με ἐκ τοῦ καταλόγου ἡγούμενος αἰσχρὸν εἶναι, τοῦ πλήθους μέλλοντος κινδυνεύειν, ἄδειαν ἐμαυτῷ παρασκευάσαντι στρατεύεσθαι. καί μοι ἀνάβηθι, Ὀρθόβουλε.

ΜΑΡΤΥΡΙΑ.

Συλλεγέντων τοίνυν τῶν δημοτῶν πρὸ τῆς ἐξό- 14
δου, εἰδὼς αὐτῶν ἐνίους πολίτας μὲν χρηστοὺς ὄντας καὶ προθύμους, ἐφοδίων δὲ ἀποροῦντας, εἶπον, ὅτι χρὴ τοὺς ἔχοντας παρέχειν τὰ ἐπιτήδεια τοῖς ἀπόρως διακειμένοις. καὶ οὐ μόνον τοῦτο συνεβούλευον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτὸς ἔδωκα δυοῖν ἀνδροῖν τριάκοντα δραχμὰς ἑκατέρῳ· οὐχ ὡς πολλὰ κεκτημένος, ἀλλ' ἵνα παράδειγμα τοῦτο τοῖς ἄλλοις γένηται. καί μοι ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ.

Μετὰ ταῦτα τοίνυν, ὦ βουλή, εἰς Κόρινθον ἐξό- 15
δου γενομένης, καὶ πάντων προειδότων, ὅτι δεήσει κινδυνεύειν, ἑτέρων ἀναδυομένων, ἐγὼ διεπραξάμην, ὥστε τῆς πρώτης τεταγμένος μάχεσθαι τοῖς πολεμίοις· καὶ μάλιστα τῆς ἡμετέρας φυλῆς δυστυχησάσης, καὶ πλείστων ἐνθανόντων, ὕστερον ἀνεχώρησα τοῦ σεμνοῦ Στειριέως, τοῦ πᾶσιν ἀνθρώποις δειλίαν ὠνειδικότος.
καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίν- 16
θῳ χωρίων ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς πολεμίους μὴ δύνασθαι προσιέναι, Ἀγησιλάου δ' εἰς τὴν

14. ἐφοδίων δὲ ἀποροῦντας] Interdum magni sumtus fiebant eorum ipsorum impensis, qui in militiam ibant, ut nil deesset et ad utilitatem et ad commoditatem: praesertim quum expeditio instaret gravior et longior, ut cognoscimus ex Thucyd. VI. 31. Interdum vero etiam duces atque privati pauperioribus suppetias ferebant. Cf. Boeckh. Staatsh. I. p. 298.

15. ἀναδυομένων] Ut ἀναδύεσθαι in genere est se subducere, fugere, sic imprimis dicitur de militibus, qui vel militiam vel certamen subterfugiunt. Cf. Bornemann ad Xenoph. Symp. V. 2.

τῆς πρώτης τεταγμένος] Scaligerus assentiente Reiskio volebat ἐπὶ τῆς πρώτης: quo non opus. Τῆς πρώτης sc. τάξεως est genitivus partitivus: ad quem minime subaudiendum, quod opinabantur illi viri docti, ἐπί.

τοῦ σεμνοῦ Στειριέως] Interdum ironia utitur Lysias in Thrasybulum Stiriensem: quod factum nollem in virum, qui tam bene meritus erat de re publica Atheniensium: qui si forte parum favebat Mantitheo, vix hoc cedat in hujus favorem.

www.libtool.com.cn

Βοιωτίαν ἐμβαλόντων, ψηφισαμένων τῶν ἀρχόντων ἀποχωρίσαι τάξεις, αἵτινες βοηθήσουσι, φοβουμένων ἁπάντων (εἰκότως, ὦ βουλή· δεινὸν γὰρ ἦν, ἀγαπητῶς ὀλίγῳ πρότερον σεσωσμένους, ἐφ' ἕτερον κίνδυνον ἰέναι), προσελθὼν ἐγὼ τὸν ταξίαρχον ἐκέλευον ἀκλη-
17 ρωτὶ τὴν ἡμετέραν τάξιν πέμπειν. ὥστ', εἴ τινες ὑμῶν ὀργίζονται τοῖς τὰ μὲν τῆς πόλεως ἀξιοῦσι πράττειν, ἐκ δὲ τῶν κινδύνων ἀποδιδράσκουσιν, οὐκ ἂν δικαίως περὶ ἐμοῦ τὴν γνώμην ταύτην ἔχοιεν. οὐ γὰρ μόνον τὰ προσταττόμενα ἐποίουν προθύμως, ἀλλὰ καὶ κινδυνεύειν ἐτόλμων. καὶ ταῦτ' ἐποίουν, οὐχ ὡς οὐ δεινὸν ἡγούμενος εἶναι Λακεδαιμονίοις μάχεσθαι, ἀλλ' ἵνα, εἴποτε ἀδίκως εἰς κίνδυνον καθισταίμην, διὰ ταῦτα βελτίων ὑφ' ὑμῶν νομιζόμενος ἁπάντων τῶν δικαίων τυγχάνοιμι. καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

18 Τῶν τοίνυν ἄλλων στρατειῶν καὶ φρουρῶν οὐδεμιᾶς ἀπελείφθην πώποτε, ἀλλὰ πάντα τὸν χρόνον διατετέλεκα μετὰ τῶν πρώτων μὲν τὰς ἐξόδους ποιούμενος, μετὰ τῶν τελευταίων δὲ ἀναχωρῶν. καίτοι χρὴ τοὺς φιλοτίμως καὶ κοσμίως πολιτευομένους ἐκ τῶν τοιούτων σκοπεῖν, ἀλλ' οὐκ, εἴ τις τολμᾷ, διὰ τοῦτο μισεῖν. τὰ μὲν γὰρ τοιαῦτα ἐπιτηδεύματα οὔτε τοὺς ἰδιώτας οὔτε τὸ κοινὸν τῆς πόλεως βλάπτει, ἐκ δὲ τῶν κινδυνεύειν ἐθελόντων πρὸς τοὺς πολεμίους ἅπαν-
19 τες ὑμεῖς ὠφελεῖσθε. ὥστε οὐκ ἄξιον ἀπ' ὄψεως, ὦ

16. ἀποχωρίσαι τάξεις] Seligere centurias ex omni copiarum multitudine, quam sub armis leges jubebant. Minime opus, ut cum Marklando scribas ἀποκληρῶσαι. Ex eo enim, quod Mantitheus jubet suam centuriam ἀκληρωτὶ mitti, non sequitur necessario nonnisi per sortem electas fuisse centurias. Pro rerum ratione delectus erat penes στρατηγούς.

ὀλίγῳ πρότερον σεσωσμένους] Haec dicta sunt pro ea, qua uti solent milites, gloriatione et rhetorica hyperbole. Quantum enim ex Xenophonte discimus, sine certamine Lacedaemonii post mortem Lysandri discesserant. Longe majus vero discrimen instabat, quum Agesilaus ex Asia rediret.

17. καὶ κινδυνεύειν ἐτόλμων] A nemine coactus ipse me obtuli certamini.

19. ἀπ' ὄψεως] Oppositum hoc locutioni ἐκ τῶν ἔργων, significat externa specie, quae fallax est vel in bonam vel in malam partem.

www.libtool.com.cn

βουλή, οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν. πολλοὶ μὲν γὰρ μικρὸν διαλεγόμενοι καὶ κοσμίως ἀμπεχόμενοι μεγάλων κακῶν αἴτιοι γεγόνασιν· ἕτεροι δὲ τῶν τοιούτων ἀμελοῦντες πολλὰ κἀγαθὰ ὑμᾶς εἰσιν εἰργασμένοι.

"Ηδη δέ τινων ᾐσθόμην, ὦ βουλή, καὶ διὰ ταῦτα ἀχθομένων μου, ὅτι νεώτερος ὢν ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ. ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν ἐμαυτοῦ πραγμάτων δημηγορῆσαι. ἔπειτα μέντοι καὶ ἐμαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος, ἅμα μὲν τῶν προγόνων ἐνθυμούμενος, ὅτι οὐδὲν πέπαυνται τῶν τῆς πόλεως πράττοντες, ἅμα δὲ ὑμᾶς ὁρῶν (τὰ γὰρ ἀληθῆ χρὴ λέγειν) τούτους μόνους ἀξίους νομίζοντας εἶναι. ὥςτε ὁρῶν ὑμᾶς ταύτην τὴν γνώμην ἔχοντας, τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως; ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθοισθε; οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς. 20

---

# ΛΥΣΙΟΥ

## ΚΑΤΑ ΦΙΛΩΝΟΣ ΔΟΚΙΜΑΣΙΑΣ.

---

De argumento hujus orationis vide prooemium superioris orationis sub finem.

1 "Ωιμην μέν, ὦ βουλή, οὐκ ἄν ποτ' εἰς τοῦτο τόλμης Φίλωνα ἀφικέσθαι, ὥςτε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκιμασθησόμενον· ἐπειδὴ δὲ οὐχ ἕν τι μόνον, 2

μικρὸν διαλεγόμενοι καὶ κοσμίως ἀπερχόμενοι] Lenis et summissa oratio, et ingressus decorus modestiae signa sunt et semper habebantur. [Isocrates in Areopagitico adolescentes inter alia his verbis laudat. §. 48. οὕτω δ' ἔφευγον τὴν ἀγορὰν, ὥςτ', εἰ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες.

ἀλλὰ πολλὰ τολμηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον
www.jlbtool.com.cn
εἰς τὸ δικαστήριον τὰ βέλτιστα συμβουλεύσειν τῇ πό-
λει, ἔνεστι δὲ ἐν τῷ ὅρκῳ ἀποφαίνειν, εἴ τίς τινα οἶδε
τῶν λαχόντων ἀνεπιτήδειον ὄντα βουλεύειν ἐγὼ τὴν
κατὰ τουτουῒ Φίλωνος ποιήσομαι κατηγορίαν οὐ μέν-
τοιγε ἰδίαν ἔχθραν οὐδεμίαν μεταπορευόμενος, οὐδὲ
τῷ δύνασθαι καὶ εἰωθέναι λέγειν ἐν ὑμῖν ἐπαρθείς, ἀλ-
λὰ τῷ πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ
3 τοῖς ὅρκοις, οἷς ὤμοσα, ἐμμένειν ἀξιῶν. γνώσεσθε μὲν
οὖν, ὅτι οὐκ ἀπὸ ἴσης παρασκευῆς ἐγώ τε τοῦτον
ἐλέγξω οἷός ἐστι, καὶ οὗτος ἐπεχείρησε πονηρὸς εἶναι·
ὅμως, εἴ τι ἐγὼ ἐλλείποιμι τῷ λόγῳ τῆς κατηγορίας,
οὐκ ἂν δίκαιος εἴη οὗτος διὰ τοῦτο ὠφεληθῆναι, ἀλ-
λὰ μᾶλλον, εἴ τι ἱκανῶς διδάξαιμι, ἐκ τούτων ἀποδοκι-
4 μασθῆναι. ἐνδεῶς μὲν γὰρ διὰ τὴν ἀπειρίαν πάντων
τῶν τούτῳ πεπραγμένων, ἱκανῶς δὲ διὰ τὴν περὶ αὐ-
τὸν κακίαν εἰρηκὼς ἂν εἴην. ἀξιῶ δὲ καὶ ὑμῶν, οἵτι-
νες δυνατώτεροι ἐμοῦ εἰσι, λόγῳ ἀποφῆναι μείζω ὄντα
αὐτοῦ τὰ ἁμαρτήματα, καὶ ἐξ ὧν ἂν ἐγὼ ὑπολίπωμαι,
πάλιν αὐτοὺς περὶ ὧν ἴσασι κατηγορῆσαι Φίλωνος· οὐ
γὰρ ἐκ τῶν ὑπ' ἐμοῦ λεγομένων δεῖ ὑμᾶς περὶ αὐτοῦ
5 ὁποῖός ἐστι σκέψασθαι. ἐγὼ γὰρ οὐκ ἄλλους τινάς
φημι δίκαιον εἶναι βουλεύειν περὶ ἡμῶν, ἢ τοὺς πρὸς
τῷ εἶναι πολίτας καὶ ἐπιθυμοῦντας τούτου. τούτοις

2. εἰς τὸ δικαστήριον] Bekkerus dedit ex conjectura εἰς τὸ βουλευτήριον: quem sequi contra libros scriptos non ausim. Vid. de hac lectione prooemium ad orat. pro Mantitheo.
3. ἐγώ τε] Ex conjectura Marklandi pro librorum lectione ἔγωγε.
εἴ τι ἱκανῶς διδάξαιμι] Sic Bekkerus sine varietate pro vulgato ὅ τι ἱκ. διδ.

2. ἐγὼ τὴν κατὰ τουτουῒ Φίλωνος ποιήσομαι κατηγορίαν] Fortasse offendat praepositio κατά addita, quae omitti solet ad κατηγορία. Sed monuit F. A. Wolfius ad Demosthenis Leptin. p. 213. saepius praepositiones nominibus, ad quae alias subaudiri soleant, apponi: quae quidem regula cum grano salis accipienda et singulorum nominum usus considerandus. Nostra phrasis satis firmata ab eodem magistro nostro desideratissimo.

5. ἐπιθυμοῦντας τούτου] Interrogat Marklandus cujus? Respondeo τοῦ εἶναι πολίτας καὶ μένειν: quibus curae cordique est, ut sint et maneant cives. His enim salus civitatis est finis bonorum eique uni student, ab omni proprii commodi studio alieni. Hinc patet nihil esse, quod Marklandus conjecit ἴσως.

www.libtool.com.cn

μὲν γὰρ μεγάλα τὰ διαφέροντά ἐστιν εὖ τε πράττειν τὴν
πόλιν τήνδε καὶ ἀνεπιτηδείως· διὰ τὸ ἀναγκαῖον σφί-
σιν αὐτοῖς ἡγεῖσθαι εἶναι μετέχειν τὸ μέρος τῶν δεινῶν,
ὥσπερ καὶ τῶν ἀγαθῶν μετέχουσι. ὅσοι δὲ φύσει μὲν 6
πολῖταί εἰσι, γνώμῃ δὲ χρῶνται, ὡς πᾶσα γῆ πατρὶς
αὐτοῖς ἐστιν, ἐν ᾗ ἂν τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι δῆ-
λοί εἰσιν, ὅτι ἄν, παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγα-
θόν, ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν· διὰ τὸ μὴ
τὴν πόλιν, ἀλλὰ τὴν οὐσίαν πατρίδα ἑαυτοῖς ἡγεῖσθαι.
ἐγὼ τοίνυν ἀποφανῶ Φίλωνα τουτονὶ περὶ πλείονος 7
ποιησάμενον τὴν ἰδίαν ἀσφάλειαν ἢ τὸν κοινὸν τῆς πό-
λεως κίνδυνον, καὶ ἡγησάμενον κρεῖττον εἶναι αὐτὸν
ἀκινδύνως τὸν βίον διάγειν ἢ τὴν πόλιν σώζειν, ὁμοί-
ως τοῖς ἄλλοις πολίταις κινδυνεύοντα. οὗτος γάρ, ὦ 8
βουλή, ὅτε ἡ συμφορὰ τῇ πόλει ἦν (ἧς ἐγώ, καθ' ὅ-
σον ἀναγκάζομαι, κατὰ τοσοῦτον μέμνημαι), ἐκκεκη-
ρυγμένος ἐκ τοῦ ἄστεος ὑπὸ τῶν τριάκοντα μετὰ τοῦ
ἄλλου πλήθους τῶν πολιτῶν, τέως μὲν ᾤκει ἐν ἀγρῷ·
ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθον εἰς τὸν Πειραιᾶ,
καὶ οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν, ἀλλὰ καὶ οἱ ἐκ τῆς ὑ-
περορίας, οἱ μὲν εἰς τὸ ἄστυ, οἱ δ' εἰς τὸν Πειραιᾶ
συνελέγοντο, καὶ καθ' ὅσον ἕκαστος οἷός τ' ἦν, κατὰ
τοσοῦτον ἐβοήθει τῇ πατρίδι, τἀναντία ἅπασι τοῖς ἄλλοις
πολίταις ἐποίησε. συσκευασάμενος γὰρ τὰ ἑαυτοῦ ἐν- 9
θάδε, εἰς τὴν ὑπερορίαν ἐξῴκησε, καὶ ἐν Ὠρωπῷ με-
τοίκιον κατατιθεὶς ἐπὶ προστάτου ᾤκει, βουληθεὶς παρ' ἐ-

6. ὅσοι δὲ] Ex cod. pro καὶ γὰρ οἱ.
ἑαυτοῖς] Sic idem liber pro αὐτοῖς.
8. ἧς ἐγώ, καθ' ὅσον ἀναγκάζομαι, κατὰ τοσοῦτον μέμνημαι] *Τοσοῦτον* idem pro vulgato *τοῦτο*. Notandum ceteroquin formulam *καθ' ὅσον* hic minuentis esse: tantillum, quantum, quemadmodum etiam Latini adhibent tantum, quantum. Cf. F. A. Wolfium ad Demosth. Leptin. p. 258. §. 27.
*τἀναντία*] Idem pro vulgato *τὰ ἐναντία*. Crasis in Lysia praeferenda, ubi boni eam codices commendant; contra libros non invehenda.

*ἀνεπιτηδείως*] Hoc loco τῷ εὖ oppositum idem erit quod *κακῶς*, damnose, ut detrimento subjecta sit.

9. *ἐπὶ προστάτου ᾤκει*] Harpocration s. v. προστάτης: *οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες προστάται ἐκαλοῦντο·*

www.libtool.com.cn

κείνοις μετοικεῖν μᾶλλον ἢ μεθ' ἡμῶν πολίτης εἶναι. οὐ τοίνυν οὐδ', ὥςπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβάλοντο, ἐπειδὴ ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραττον εὐτυχοῦντας, οὐδὲ τούτων τι τῶν εὐτυχημάτων ἠξίωσε μετασχεῖν, ἐπὶ κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελθεῖν κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμφερόντων. οὐδ' ἦλθεν εἰς τὸν Πειραιᾶ, οὐδ' ἔστιν ὅπου ἑαυτὸν ὑμῖν τάξαι παρέσχε.

10 καίτοι ὅςτις εὐτυχοῦντας ὁρῶν ὑμᾶς ἐτόλμα προδιδόναι, τί ποτε ὡς μὴ βουλόμεθά γε πράττοντας ἐποίησεν ἄν; ὅσοι μὲν τοίνυν διὰ συμφορὰς ἰδίας οὐ μετέσχον τῶν τότε γενομένων τῇ πόλει κινδύνων, συγγνώμης τινὸς ἄξιοί εἰσι τυχεῖν (οὐδενὶ γὰρ οὐδὲν ἑκούσιον δυςτύχημα γίγνεται), ὅσοι δὲ τοῦτο γνώμῃ ἔπραξαν, οὐδεμιᾶς συγγνώμης ἄξιοί εἰσιν· οὐ γὰρ διὰ δυςτυχίαν, ἀλλὰ δι' ἐπιβουλὴν ἐποίησαν αὐτό.

11 καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν ἀνθρώποις τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι τοῖς μάλιστα

9. *ἐπὶ κατειργασμένοις*] Quod Reiskius de suo dederat, firmavit C. Antea legebatur *ἐπὶ κατεργασαμένῳ*, quod habet alter cod. Bekkeri. Formula est *ἐπ' ἐξειργασμένοις*, *ἐπὶ κατειργασμένοις*, significans r e j a m c o n f e c t a. Tetigit eam V a l c k e n a r i u s ad Herodot. IX. 75.

*παρέσχε*] Hoc, quod Reiskius de suo dederat, confirmavit C. Ceteri *παρασχεῖν*.

10. *καίτοι*] Sic dedit Bekkerus ex conjectura pro librorum lectione *καὶ γάρ*.

*ἀναγκαῖον γὰρ ἦν ἑκάστῳ τῶν μετοίκων πολίτην τινὰ νέμειν προστάτην.* Idem mos obtinebat etiam in aliis Graeciae civitatibus, in iis praesertim, quae similem Athenarum habebant gubernandi rationem.

10. *ὁρῶν ὑμᾶς — — ὡς μὴ βουλόμεθά γε*] Personarum variatio ne offendat! *Ὑμᾶς* civitatem spectat in genere; *βουλόμεθα* autem ipsius oratoris sentiendi rationem simul complectitur.

11. *τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι*] Marklandus supplendum censet *ὄντων*, ut sit genitivus absolutus. Alii praepositionem *ἕνεκα* similemve ad genitivum supplendam opinantur. Cf. B o s i i Ell. p. 704 ss. Schaef. H e r m a n n u s ad Viger. p. 878. ejusmodi genitivos ita explicat, ut per confusionem duarum locutionum ad nomen, quod non dictum tamen cogitatur, referendi sint; *ὀργίζεσθαί τινος* esse ὀργὴν ἔχειν τινός.

www.libtool.com.cn

δυναμένοις μὴ ἀδικεῖν, τοῖς δὲ πένησιν ἢ ἀδυνάτοις
τῷ σώματι συγγνώμην ἔχειν, διὰ τὸ ἡγεῖσθαι ἄκον-
τας αὐτοὺς ἁμαρτάνειν. οὗτος τοίνυν οὐδεμιᾶς συγ- 12
γνώμης ἄξιός ἐστι τυχεῖν· οὔτε γὰρ τῷ σώματι ἀδύ-
νατος ἦν ταλαιπωρεῖν (ὡς καὶ ὑμεῖς ὁρᾶτε), οὔτε
τῇ οὐσίᾳ ἄπορος λειτουργεῖν, ὡς ἐγὼ ἀποδείξω. ὅςτις
οὖν, ὅσον δυνατὸς ἦν ὠφελεῖν, τοσοῦτον κακὸς ἦν,
πῶς οὐκ ἂν εἰκότως ὑπὸ πάντων ὑμῶν μισοῖτο; ἀλ- 13
λὰ μὴν οὐδ᾽ ἀπεχθήσεσθέ γε τῶν πολιτῶν οὐδενί, τοῦ-
τον ἀποδοκιμάσαντες, οὔτ᾽ εἰ τοὺς ἑτέρους, ἀλλ᾽ ἀμφο-
τέρους φανερός ἐστι προδούς· ὥςτε μήτε τοῖς ἐν τῷ
ἄστει γενομένοις φίλον προςήκειν εἶναι τοῦτον, (οὐ
γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας) μήτε
τοῖς τὸν Πειραιᾶ καταλαβοῦσιν, οὐδὲ γὰρ τούτοις ἠθέ-
λησε συγκατελθεῖν, καὶ ταῦτα, ὥς φησι, καὶ ἀστὸς
γενόμενος. εἰ μέντοι τι μέρος περίεστι τῶν πολιτῶν, ὃ
τι τῶν αὐτῶν μετέσχε τούτῳ πραγμάτων, μετ᾽ ἐκείνων,
ἐάν ποτε (ὃ μὴ γένοιτο) λάβωσι τὴν πόλιν, βουλεύειν
ἀξιούτω. ὡς οὖν ᾤκει τε ἐν Ὠρωπῷ ἐπὶ προστάτου, 14
καὶ ἐκέκτητο ἱκανὴν οὐσίαν, καὶ οὔτ᾽ ἐν τῷ Πειραιεῖ

12. *ἦν ταλαιπωρεῖν*] Emendatio est Taylori pro librorum lectione *ἢ ταλαιπωρεῖ*. *Ταλαιπωρεῖν* autem est verbum proprium de tolerandis belli laboribus.

13. *οὔτ᾽ εἰ*] Libri habent hoc. *Οὐ γάρ* conjecit Reiskius, probante Bekkero, non male existimans librorum lectionem suadere *οὐχί*. Ut autem *γάρ* saepe a librariis omissum est, sic etiam ante negationem *ὃς* facile absorberi potuit ultima syllaba antecedentis vocabuli. Retinui itaque quamvis corruptam codicum lectionem, quoniam Reiskii conjectura non tam certa est, ut, quod proposui: *ὃς οὐχὶ τοὺς ἑτ.*, non sit probabile.

*καὶ ταῦτα, ὥς φησι, καὶ ἀστὸς γενόμενος*] Sic optimus C. Vulgo *φησὶ δὲ καὶ ταῦτα καὶ αὐτὸς γενόμενος*. *Ἀστός* pro *αὐτός* etiam vir doctus apud Taylorum conjectura assecutus erat.

*τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν*] *Μή* abest a multis codd., sed abesse nequit. Sensus enim est: maxime nos eorum malefactis irasci, qui pro ipsorum conditione facile iis abstinere potuissent. Hoc loco imprimis de externa hominum conditione sermo est, de paupertate et corporis imbecillitate. Quantum pendet etiam ex educatione, consortio, indole!

www.libtool.com.cn

οὔτ' ἐν τῷ ἄστει ἔθετο τὰ ὅπλα, ἵνα εἰδῆτε, ὅτι ταῦτα πρῶτον ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτύρων.

ΜΑΡΤΥΡΕΣ.

15 Ὑπολείπεται τοίνυν αὐτῷ λέγειν, ὡς τῷ μὲν σώματι δι' ἀσθένειάν τινα γενομένην ἀδύνατος κατέστη βοηθῆσαι εἰς τὸν Πειραιᾶ· ἀπὸ δὲ τῶν ὑπαρχόντων ἐπαγγειλάμενος αὐτὸς ἢ χρήματ' εἰςενεγκεῖν εἰς τὸ πλῆθος τὸ ὑμέτερον, ἢ ὁπλίσαι τινὰς τῶν ἑαυτοῦ δημοτῶν, ὥςπερ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν, αὐτοὶ
16 οὐ δυνάμενοι λειτουργεῖν τοῖς σώμασιν. ἵνα οὖν μὴ ἐγγένηται αὐτῷ ψευσαμένῳ ἐξαπατῆσαι, καὶ περὶ τούτων ἤδη σαφῶς ὑμῖν ἀποδείξω, ἐπειδὴ ὕστερον οὐκ ἐξέσται μοι παρελθόντι ἐνθάδ' ἐλέγχειν αὐτόν. καί μοι κάλει αὐτὸν Διότιμον Ἀχαρνέα, καὶ τοὺς αἱρεθέντας μετ' αὐτοῦ τοὺς δημότας ὁπλίσαι ἀπὸ τῶν εἰςενεχθέντων χρημάτων.

ΜΑΡΤΥΡΙΑ τῶν περὶ Διότιμον.

17 Οὗτος τοίνυν οὐχ ὅπως ὠφελήσει τὴν πόλιν ἐν τοιούτῳ καιρῷ καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ' ὅπως τι κερδανεῖ ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρε-
18 σκευάσατο. ὁρμώμενος γὰρ ἐξ Ὠρωποῦ, τοτὲ μὲν αὐτὸς μόνος, τοτὲ δ' ἑτέροις ἡγούμενος, οἷς τὰ ὑμέτερα δυςτυχήματα εὐτυχήματα ἐγεγόνει, περιιὼν κατὰ τοὺς ἀγρούς, καὶ ἐντυγχάνων τῶν πολιτῶν τοῖς πρεσβυτάτοις, οἳ κατέμειναν ἐν τοῖς δήμοις, ὀλίγα μὲν τῶν ἐπιτηδείων ἔχοντες, ἀναγκαῖα δέ, εὖνοι μὲν ὄντες τῷ πλήθει, ἀδύνατοι δὲ ὑπὸ τῆς ἡλικίας βοηθεῖν· τού-

17. ὅπως ὠφελήσει – ἀλλ' ὅπως τι κερδανεῖ] Futurum ὠφελήσει ex cod. Bekkerus restituit; alter liber habet ὠφελήσοι; ceteri ὠφελήσαι. Κερδανεῖ idem codex pro vulgato κερδαίνοι.

14. ἔθετο τὰ ὅπλα] H. e. arma cepit, de eo, qui partes cepit easque armis adjuvat. Varias hujus formulae significationes explicuit Hudsonus ad Thucyd. II. 2. Wesselingius ad Diodor. Sic. XII. 66. Schneider in Ind. Gr. Xenophon. Anab. v. τιθέναι.

15. εἰςενεγκεῖν] Infinitivus pendet ex ἐπαγγειλάμενος. De aoristo infinitivi, ubi plerumque ponitur futurum, cf. Excursum VIII. — Κατέστη autem ut verbum finitum supplendum etiam in hoc membrum per lene zeugma.

www.libtool.com.cn

τους ἀφῃρεῖτο τὰ ὑπάρχοντα, περὶ πλείονος ποιούμενος
αὐτὸς μικρὰ κερδαίνειν ἢ ἐκείνους μηδὲν ἀδικεῖν· οὓς
νῦν αὐτὸν δι' αὐτὸ τοῦτο οὐχ οἷοί τέ εἰσιν ἐπεξελθεῖν
ἅπαντες, διόπερ καὶ τότε ἀδύνατοι τῇ πόλει βοηθεῖν
ἦσαν. οὐ μέντοι τοῦτόν γε χρὴ διὰ τὴν ἐκείνων ἀδυ- 19
ναμίαν δὶς ὠφεληθῆναι, τότε τ' ἀφελόμενον ἃ εἶχον,
νῦν τε δοκιμασθέντα ὑφ' ὑμῶν· ἀλλὰ κἂν ὁστισοῦν
παραγένηται τῶν ἀδικηθέντων, μέγα αὐτὸ ἡγήσασθε
εἶναι· καὶ τοῦτον ὑπερμισήσατε, ὅστις ἐτόλμησεν, οἷς
ἕτεροι διδόναι παρ' ἑαυτῶν τι προῃροῦντο, διὰ τὴν ἀπο-
ρίαν οἰκτείραντες αὐτούς, τούτων ἀφαιρεῖσθαι τὰ ὑπάρ-
χοντα. κάλει μοι τοὺς μάρτυρας.

*ΜΑΡΤΥΡΕΣ.*

Οὐ τοίνυν ἔγωγε οἶδα, ὅ τι ὑμᾶς διαφερόντως 20
δεῖ γινώσκειν περὶ αὐτοῦ ἢ οἱ οἰκεῖοι γιγνώσκουσι·
τοιαῦτα γάρ ἐστιν, ὥστ', εἰ καὶ μηδὲν αὐτῷ ἄλλο ἡ-
μάρτητο, διὰ μόνα ταῦτα ἱκανὸν εἶναι ἀποδοκιμασθῆ-
ναι. οἷα μὲν οὖν ζῶσα ἡ μήτηρ αὐτοῦ κατηγόρει, 21
παρήσω· ἐξ ὧν δὲ τελευτῶσα τὸν βίον διεπράξατο
τεκμαιρομένοις ῥᾴδιόν ἐστιν ὑμῖν γνῶναι, ὁποῖός τις
ἦν περὶ αὐτήν. ἐκείνη γὰρ τούτῳ μὲν ἠπίστησεν ἀ-
ποθανοῦσαν ἑαυτὴν ἐπιτρέψαι· Ἀντιφάνει δὲ οὐδὲν
προσήκουσα πιστεύσασα ἔδωκεν εἰς τὴν ἑαυτῆς ταφὴν
τρεῖς μνᾶς ἀργυρίου, παραλιποῦσα τοῦτον υἱὸν ὄντα
ἑαυτῆς. ἆρα δῆλον, ὅτι εὖ ᾔδει αὐτὸν οὐδὲ διὰ τὸ
προσήκειν αὐτῇ τὰ δέοντα ἂν ποιήσοντα; καίτοι εἰ 22
μήτηρ, ἣ πέφυκε καὶ ἀδικουμένη ὑπὸ τῶν ἑαυτῆς
παίδων μάλιστα ἀνέχεσθαι, καὶ μηδ' ὠφελουμένη με-
γάλα ἔχειν ἡγεῖσθαι, διὰ τὸ εὐνοίᾳ μᾶλλον ἢ ἐλέγχῳ

19. *τότε τ' ἀφελόμενον*] Sic, ut Reiskius conjecerat, dedit Bekkerus sine varietate. Vulgo deerat *τ'*.

20. *οἱ οἰκεῖοι*] Articulum, quem Reiskius de suo addidit, item habet Bekkerus sine varietate.

21. *Ἀντιφάνει δὲ οὐδὲν προσήκουσα πιστεύσασα*] Taylor conjecit *προσήκοντι*, quod ex auribus et sono, quamvis alia ratio nulla adsit, praeferendum esse censet Reiskius. Contra libros equidem nil ausim mutare, quamquam malim sic scripsisse Lysiam.

22. *καὶ μηδ' ὠφελουμένη μεγάλα ἔχειν ἡγεῖσθαι*] Mater, etiam si nullam capiat a liberis numeratam utilitatem, multa se ta-

www.libtool.com.cn

τὰ γιγνόμενα δοκιμάζειν, ἐνόμιζε τοῦτον κἂν ἀπὸ τεθνεώσης φέρειν ἑαυτῆς, τί χρὴ ὑμᾶς περὶ αὐτοῦ διανοηθῆναι; ὅστις γὰρ περὶ τοὺς ἑαυτοῦ ἀναγκαίους τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί γε τοὺς
23 ἀλλοτρίους ποιήσειεν; ὡς οὖν καὶ ταῦτ' ἀληθῆ ἐστιν, ἀκούσατε αὐτοῦ τοῦ λαβόντος τὸ ἀργύριον καὶ θάψαντος αὐτήν.

ΜΑΡΤΥΣ.

24 Τί [ἂν] οὖν βουληθέντες ὑμεῖς τοῦτον δοκιμάσαιτε; πότερον, ὡς οὐχ ἡμαρτηκότα; ἀλλὰ τὰ μέγιστα περὶ τὴν πατρίδα ἠδίκηκεν. ἀλλ' ὡς ἔσται βελτίων; τοιγάρτοι πρότερον βελτίων γενόμενος περὶ τὴν πόλιν, ὕστερον βουλεύειν ἀξιούτω, φανερόν τι ἀγαθόν, ὥσπερ τότε κακόν, ποιήσας. σωφρονέστερον γάρ ἐστιν ὕστερον πᾶσι τῶν ἔργων τὰς χάριτας ἀποδιδό-
25 ναι. δεινὸν γὰρ ἔμοιγε δοκεῖ εἶναι, εἰ ἐξ ὧν μὲν ἤδη ἡμάρτηκε μηδέποτε τιμωρηθήσεται· ἐξ ὧν δὲ μέλλει
1 εὖ ποιήσειν ἤδη τετιμήσεται. ἀλλ' ἄρα, ἵνα βελτίους ὦσιν οἱ πολῖται, ὁρῶντες ἅπαντας ὁμοίως τιμωμένους, διὰ τοῦτο δοκιμαστέον ἐστίν; ἀλλὰ κίνδυνος καὶ τοὺς χρηστούς, ἐὰν αἰσθάνωνται ὁμοίως τοὺς πονηροὺς τιμωμένους, παύσεσθαι τῶν χρηστῶν ἐπιτηδευμάτων, τῶν αὐτῶν ἡγουμένους εἶναι τούς τε κακοὺς
26 τιμᾶν, καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν. ἄξιον δὲ καὶ τόδε ἐνθυμηθῆναι, ὅτι, εἰ μέν τις φρούριόν τι προὔδωκεν, ἢ ναῦν, ἢ στρατόπεδόν τι, ἐν ᾧ μέρος τι ἐτύγχανε τῶν πολιτῶν ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο· οὗτος δέ, προδοὺς ὅλην τὴν πόλιν, οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται. καίτοι δικαίως

24. Τί [ἂν] οὖν] Ἄν, uncis inclusum, de suo addidit Bekkerus sine annotatione.

25. ὁμοίως τοὺς πονηροὺς τιμωμένους] Accusativus est ex emendatione Marklandi pro dativo librorum: qui si ab auctore profectus fuisset, aut ἑαυτούς addendum, aut τιμώμενοι scribendum fuisse judicat Reiskius. Ὁμοίως est aeque ut ipsos.

26. οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται] Raro capiunt viri docti Lysiae brevitatem. Orator vult dicere eum, qui tamen habere existimat. Maximus matri thesaurus sunt liberi. Wakefield Sylvv. Critt. P. IV. p. 12. vana molitus est.

γ' ἂν ὅστις φανερῶς, ὥσπερ αὐτός, προὔδωκε τὴν
ἐλευθερίαν, οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ
τοῦ δουλεύειν καὶ τῆς μεγίστης ἀπορίας ἐκκλησιά-
ζοιτο. ἀκούω δ' αὐτὸν λέγειν, ὡς, εἴ τι ἦν ἀδί- 27
κημα τὸ μὴ παραγενέσθαι ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος
ἂν ἔκειτο περὶ αὐτοῦ διαῤῥήδην, ὥσπερ καὶ περὶ τῶν
ἄλλων ἀδικημάτων. οὐ γὰρ οἴεται ὑμᾶς γνώσεσθαι,
ὅτι διὰ τὸ μέγεθος τοῦ ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ
ἐγράφη νόμος. τίς γὰρ ἄν ποτε ῥήτωρ ἐνεθυμήθη, ἢ 28
νομοθέτης ἤλπισεν, ἁμαρτήσεσθαί τινα τῶν πολιτῶν
τοσαύτην ἁμαρτίαν; οὐ γὰρ ἂν δήπου, εἰ μέν τις λίποι
τὴν τάξιν, μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης,
ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης, ἐτέθη νόμος ὡς με-
γάλα ἀδικοῦντος· εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύ-
νῳ οὔσης λίποι τὴν πόλιν αὐτήν, οὐκ ἂν ἄρα ἐτέθη;
σφόδρα γ' ἄν, εἴ τις ᾠήθη τινὰ τῶν πολιτῶν ἁμαρτή-
σεσθαί τι τοιοῦτόν ποτε. τίς δ' οὐκ ἂν εἰκότως 29
ἐπιτιμήσειεν ὑμῖν, εἰ τοὺς μετοίκους μέν, ὅτι, οὐ

26. ἐκκλησιάζοιτο] Sic cod. Bekkeri pro vulgato ἐκκλησιάζεται. Sententia postulare videtur Reiskio ἀγωνίζοιτο. In ἐκκλησιάζεσθαι videtur inesse gravitas caussae, qualis agebatur ἐν ἐκκλησίᾳ.

lium sibi facinorum conscius sit, qualium Philo, non eam solere spem concipere fore, ut ab omni poena liber discedat, sed in id nonnisi summo studio eniti, ut ne summas poenas patiatur; παρασκευάζεται, omnes machinationes eo tendunt, ὅπως τιμωρηθήσεται, qua ratione puniatur, qua poena afficiatur; sufficit ei, si id assequitur, ut pecunia multetur, saltem si mortis eum poenam subire non oporteat. Philo autem hoc non operae pretium existimat, judicii clementiam implorare, sed honores etiam sibi arrogat. Augerius Reiskii conjecturam: οὐχ ὅπως μὴ τιμωρηθήσεται, ἀλλὰ καὶ ὅπως τιμηθήσεται παρασκευάζεται, temere recepit.

28. οὐ γὰρ ἂν δήπου] Exemplo illustrat legem, quae verbis totum genus complectatur, de singulis etiam partibus latam esse, et quae leviora alicujus generis punienda esse praescribat, multo magis etiam graviora spectare. Lex v. c. erat τὸν λιπόντα τὴν τάξιν ἀπέχεσθαι ἀγορᾶς, μήτε στεφανοῦσθαι, μήτε εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ. Quamquam autem non accuratius sit definitum, num in bello, quod contra hostes patriam invadentes gestum sit, an etiam in eo, quo civitas alias invadat, nemo tamen unquam de alterutro tantum intelligendum esse calumniatus est. Jam vero, si λιπεῖν τὴν τάξιν, μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, ut grave delictum

κατὰ τὸ προσῆκον ἑαυτοῖς, ἐβοήθησαν τῷ δήμῳ, ἐτι-
μήσατε ἀξίως τῆς πόλεως· τοῦτον δέ, ὅτι παρὰ τὸ
προσῆκον ἑαυτῷ προὔδωκε τὴν πόλιν, μὴ κολάζοιτε, εἰ
30 μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ; ἀνα-
μνήσθητε δὲ, διότι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας γινομέ-
νους περὶ τὴν πόλιν τιμᾶτε, καὶ τοὺς κακοὺς ἀτιμά-
ζετε. ἐδείχθη γὰρ ἀμφότερα ταῦτα οὐ τῶν γεγενημέ-
νων μᾶλλόν τι ἕνεκα ἢ τῶν γενησομένων, ἵν' ἀγαθοὶ
προθυμῶνται γίνεσθαι ἐκ παρασκευῆς, κακοὶ δὲ μηδὲ
31 ἐξ ἑνὸς τρόπου ἐπιχειρῶσιν. ἔτι δὲ ἐνθυμήθητε, ποί-
ων ἂν ὑμῖν δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς
πατρῴους θεοὺς προὔδωκεν· ἢ πῶς ἂν χρηστόν τι
βουλεῦσαι περὶ τῆς πολιτείας, ὃς οὐδὲ ἐλευθερῶσαι
τὴν πατρίδα ἐβουλήθη· ἢ ποῖα ἂν ἀπόρρητα τηρῆσαι,
32 ὃς οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε; πῶς δ' εἰκός
ἐστι τοῦτον, ὃς οὐδὲ τελευταῖος ἐπὶ τοὺς κινδύνους
ἦλθε, πρότερον τῶν κατεργασαμένων καὶ οὕτω συντι-
μηθῆναι; σχέτλιον δ' ἂν εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς
πολίτας περὶ οὐδενὸς ἡγήσατο, ὑμεῖς δὲ τοῦτον ἕνα
33 ὄντα μὴ ἀποδοκιμάσαιτε. ὁρῶ δέ τινας, οἳ νῦν
μὲν τούτῳ παρασκευάζονται βοηθεῖν, καὶ δεῖσθαι
ὑμῶν, ἐπειδὴ ἐμὲ οὐκ ἠδύναντο πεῖσαι· τότε δέ, ὅτε
οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶνες ἦσαν, τὰ

30. *γινομένους*] *γενομένους* Reiskius ex coll. Vindob.

notatur, num minus *λιπεῖν τὴν πόλιν, αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης*? Non minus improbum quam vanum calumniatorem omnes habebunt eum, qui talia pronuntiare audeat.

29. *οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς*] Quamquam ab iis postulari non poterat. Ut laudabile erat *μετοίκους* civitati suppetias tulisse temporum discrimine, sic aequum populum Atheniensem eorum fidem atque *εὐεργεσίαν* praemiis justis honorasse. Dolendum, quod parum docemur, qualia fuerint illa praemia. *Ἰσοτέλεια* (cf. Boeckh. Staatsh. II. 77. ss.) tribuebatur *μετοίκοις*, qui bene de civitate meriti erant, atque etiam animadvertimus Lysiam ex numero *ἰσοτελῶν* fuisse. Etiam Demosthenes *πρὸς Λεπτ.* §. 38. p. 52. Wolf. meminit praemiorum in genere, quibus honorati *οἱ χρησίμους αὐτοὺς παρασχόντες, ὅτ' ἔφευγεν ὁ δῆμος*, ubi vide notam.

*τῇ γε παρούσῃ ἀτιμίᾳ*] Quod scilicet per *δοκιμασίαν* senatu excluderetur. Dedecus scilicet erat *ἀποδοκιμασθῆναι*.

www.libtool.com.cn

δὲ ἄθλα αὐτὴ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει οὐ μόνον
περὶ τοῦ βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς ἐλευθερίας βου-
λεύεσθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι καὶ ὑμῖν
καὶ κοινῇ τῇ πόλει, καὶ μὴ προδοῦναι μήτε τὴν πα-
τρίδα μήτε τὴν βουλήν, ἧς νῦν ἀξιοῖ τυχεῖν, οὐ
μετὸν αὐτῷ, ἄλλων γε κατεργασαμένων. μόνος δή,
ὦ βουλή, δικαίως οὐδ' ἂν ἀγανακτοίη μὴ τυχών. οὐ
γὰρ ὑμεῖς νῦν αὐτὸν ἀτιμάζετε, ἀλλ' αὐτὸς αὑτὸν
τότε ἀπεστέρησεν, ὅτε οὐκ ἠξίωσεν, ἧσπερ νῦν προ-
θύμως κληρωσόμενος ἦλθε, καὶ τότε διαμαχόμενος
περὶ αὐτῆς καταστῆναι μεθ' ὑμῶν. ἱκανὰ μὲν νομί- 34
ζω εἰρῆσθαι, καίτοι πολλά γε παραλιπών· ἀλλὰ πι-
στεύω ὑμᾶς καὶ ἄνευ τούτων αὐτοὺς τὰ συμφέροντα
τῇ πόλει γνώσεσθαι. οὐ γὰρ ἄλλοις τισὶν ὑμᾶς δεῖ
περὶ τῶν ἀξίων ὄντων βουλεύειν τεκμηρίοις χρῆσθαι
ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ τὴν πό-
λιν ἐδοκιμάσθητε. ἔστι γὰρ τὰ τούτου ἐπιτηδεύματα
κοινὰ παραδείγματα καὶ πάσης δημοκρατίας ἀλλότρια.

---

# ΛΥΣΙΟΥ

## *ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ ΑΠΟΛΟΓΙΑ.*

### PROOEMIUM.

Restituta per Thrasybulum pace, sancitum quidem erat jure jurando *μὴ μνησικακεῖν*, hominesque patriae concordiaeque amantes non solum ipsi fidem praestabant, sed eos etiam, qui injurias vel sibi vel familiae illatas ulcisci cupiebant, coercebant. Inter eos, qui se Thrasybulo adjunxerant, tyrannidem a patria depulsuri,

34. *ἄνευ τούτων αὐτοὺς*] *Αὐτούς* est emendatio Reiskii; libri habent *αὐτῶν*, sollemni errore, quum antecedat genitivus *τούτων*. *τὰ τούτου ἐπιτηδεύματα*] Sic uterque codex pro vulgato *αὐτοῦ τὰ ἐπιτηδεύματα*.

www.libtool.com.cn

Diogneti item mentio fit §. 9. ss., qui videtur Niciae et Eucratis frater fuisse, mortuo Nicia, Eucrate atque etiam Nicerato Niciae filio, tutor, opinor, orborum puerorum. cf. §. 10. Eundem esse existimo, cujus mentio fit in Andocidis oratione *περὶ τῶν μυστηρ.* p. 7. R. §. 14. ubi dicitur esse *ζητητὴς* de profanatis mysteriis. *Ζητητής*, teste Harpocratione, *ἀρχή τις Ἀθήνησι καὶ κατὰ καιροὺς καθισταμένη, εἴποτε τοὺς ἀδικοῦντάς τι δημοσίᾳ δεῖ ζητεῖν. Ζητητῶν* munus (cf. Boeckh Staatsh. T. I. p. 170. not. 31.) imprimis de investigandis iis, qui debent aerario publico, invenimus, neque tamen ad unam hanc rem circumscriptum erat, sed quaecunque latebant contra leges commissa vere, vel in suspicionem adducta, ea ab his investigabantur. In secunda tamen inquisitione hic idem Diognetus, qui *ζητητὴς* erat in prima, inter reos videtur nominatus. p. 8. R. §. 15. Certe Diogneti nomen inter indicatos legitur. §. 21. invenitur *Διόμνηστος*, qui Marklando idem esse videtur, qui §. 9. *Διόγνητος*. Diomnestum ego ex temporum rerumque conditione concludo Diogneti filium fuisse.

Reliquum est illud nomen, quod ex Galeno in inscriptione posuit Taylor, *Πολίουχος*. Notum est *Πολιοῦχος* tanquam epitheton

deorum, πολιοῦχοι θεοί. Fuisse etiam nomen proprium facile credimus Suidae aliisque. In Lysiae tamen codicibus non legitur, ne in §. 13. quidem, ubi nomen actoris nominatur. Sed ibi codd. vel Πολίεχος habent vel Πολίοχος. Suidas vero cum Πολιοῦχος conjungit ut nomen proprium Πολιάρχης, non Πολίαχος. Πολίοχος, quod etiam codex X habet, notione idem est quod Πολιοῦχος. Stephanus autem dedit Πολίαρχος idque retinuit Bekkerus. Homo ipse cognoscitur ex hac oratione.

www.libtool.com.cn

---

1 Ἐνθυμήθητε τοίνυν, ὦ ἄνδρες δικασταί, οἷοί τινες ὄντες πολῖται καὶ αὐτοί, καὶ ὧν προσήκοντες, ἀδικούμενοι ἀξιοῦμεν ἐλεεῖσθαι ὑφ' ὑμῶν καὶ τῶν δικαίων τυγχάνειν. οὐ γὰρ μόνον περὶ τῆς οὐσίας ἀγωνιζόμεθα, ἀλλὰ καὶ περὶ τῆς πολιτείας, εἰ χρὴ δημοκρατουμένης τῆς πόλεως ἡμῖν μετεῖναι. πρῶτον μὲν οὖν περὶ Νικίου τοῦ ἡμετέρου θείου ἀναμνήσθητε·
2 ἐκεῖνος γὰρ ὅσα μὲν τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, πανταχοῦ φανήσεται πολλῶν μὲν ἰδίᾳ ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος, πλεῖστα δὲ καὶ μέγιστα κακὰ τοὺς πολεμίους εἰργασμένος· ὅσα δὲ οὐ βουλόμενος, ἀλλ' ἄκων

1. *οἷοί τινες*] Sic ex conjectura scripsit Bekkerus pro librorum lectione *οἵτινες*. Quanquam autem negari non potest *ὅς* interdum qualitatem indicare et poni pro *οἷος* (cf. Heindorf ad Plat. Phaedr. §. 46.), id tamen nonnisi vel antecedente *τοιοῦτος* fit, vel alio vocabulo, in quo qualitatis notio jam inest, vel in certis locutionibus v. c. *εἰμὶ ὅς εἰμι*, quae omnem sive hominis sive rei naturam complectuntur. Emendatio autem h. l. tam facilis est, ut eam vix mutationem appellare possis. Probatur etiam iis, quae sequuntur, *καὶ ὧν προσήκοντες*, quod additum non fuisset, si scriptum erat *οἵτινες*. In hoc enim jam inerat illud. Nunc autem orator duas affert rationes, ob quas dignus sit, qui jus accipiat, primam suam ipsius virtutem, alteram cognatorum. Bekkerus autem recte, opinor, delendum censet *καί* ante *αὐτοί*.

1. *ἀλλὰ καὶ περὶ τῆς πολιτείας*] Actio igitur haec videtur in eum finem instituta fuisse, ut reus cum publicatione bonorum ex civitate exterminaretur. Pro rerum diversitate publicatio bonorum cum variis poenarum additamentis poterat esse conjuncta, quae exposuit Meierus in libro saepe laudato et laudando de bonis damnatorum.

2. *ἰδίᾳ*] Pro contextu et iis, quae opponuntur, varias hoc vocabulum exprimit notiones. Hoc loco est pacis tempore et quum munus publicum non obiret. Reiskius conjiciebat *νὴ Δία*, quod non est ex Lysiae more.

www.libtool.com.cn

ἠναγκάσθη ποιῆσαι, τῶν μὲν κακῶν οὐκ ἐλάχιστον αὐτὸς μετέσχε μέρος, τὴν δ' αἰτίαν τῆς συμφορᾶς οἱ
3 πείσαντες ὑμᾶς δικαίως ἂν ἔχοιεν. ἐπεὶ τήν γε πρὸς ὑμᾶς εὔνοιαν καὶ τὴν ἀρετὴν αὐτοῦ ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις καὶ ταῖς δυστυχίαις ταῖς τῶν ἐχθρῶν ἐπέδειξε. στρατηγῶν γὰρ πολλὰς μὲν πόλεις εἷλε, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια· ὧν καθ' ἓν ἕκαστον πολὺ ἂν ἔργον εἴη λέ-
4 γειν. Εὐκράτης τοίνυν, ἀδελφὸς μὲν ὢν ἐκείνου, πατὴρ δὲ ἐμός, ἤδη τῆς τελευταίας ναυμαχίας γεγενημένης φανερὰν ἐπεδείξατο τὴν εὔνοιαν, ἣν εἶχε περὶ τὸ πλῆθος τὸ ὑμέτερον. ἡττημένων γὰρ ἐν τῇ ναυμαχίᾳ, στρατηγὸς ὑφ' ὑμῶν ᾑρημένος, καὶ παρακαλούμενος μετέχειν τῆς ὀλιγαρχίας ὑπὸ τῶν ἐπιβουλευόντων τῷ πλήθει, οὐκ ἠθέλησεν αὐτοῖς πείθεσθαι,
5 ἐν τοιούτῳ καιρῷ ληφθείς, ἐν ᾧ οἱ πλεῖστοι τῶν ἀνθρώπων καὶ μεταβάλλονται πρὸς τὰ παρόντα καὶ ταῖς τύχαις εἴκουσι, δυστυχοῦντος τοῦ δήμου, οὐκ ἀπε-

4. *ἐν τῇ ναυμαχίᾳ*] Articulus, qui deest in libris scriptis, accessit ex emendatione Reiskii. Nempe de ea pugna navali sermo est, quae prope Syracusas acciderat Ol. XCI. 4. Cf. Thucyd. VII. 69 sqq.

5. *ἐν τοιούτῳ καιρῷ ληφθεὶς* cet.] Quaeritur, quomodo haec verba sint conjungenda. Aut enim post *πείθεσθαι* punctum ponendum, ut *οὐκ ἠθέλησεν αὐτοῖς πείθεσθαι* sit praecisa et fortis voluntatis professio, et *ἐν τοιούτῳ καιρῷ ληφθεὶς* ad *μᾶλλον* illud trahendum, ut sit prima, sequentia praeparans, generalis significatio momentorum, sub quibus praetulerit perire potius quam patriam videre hostium arbitrio subjectam: quae ipsa momenta exponuntur in sequentibus, *δυστυχοῦντος τοῦ δήμου*; *οὐκ ἐξελαυνόμενος* cet.; aut, minore distinctione posita, haec adjungenda antecedentibus, ut ostendatur, qua constantia rara et sub quo discrimine noluerit tyrannis obedire. Mihi quidem prior ratio videtur praeferenda. Oratoris est paucis et fortiter quod est gravissimum enuntiare, tum demum adjungere, quibus haec agendi ratio tanquam fortis et ab hominum, quales esse solent, more aliena indicetur et explicetur. Neque me asyndeton offendit, ut Reiskium, qui conjiciebat *ἀλλ' ἐν τοιούτῳ* cet. In asyndeto inest gravitas. Orator abripitur sententiarum pondere; sufficit illi singula raptim percurrere. Redit demum ad sedatam orationem in verbis *ἀλλ' ἐξὸν αὐτῷ* cet.

*καὶ μεταβάλλονται πρὸς τὰ παρόντα καὶ ταῖς τύχαις εἴκουσι*] Prius *καί* abundare videtur Reiskio, mihi non item. Parti-

λαυνόμενος τῆς πολιτείας, οὐδ' ἰδίας ἔχθρας ὑπαρχούσης πρὸς τοὺς ἄρξειν μέλλοντας· ἀλλ' ἐξὸν αὐτῷ καὶ τῶν τριάκοντα γενέσθαι, καὶ μηδενὸς ἔλαττον δύνασθαι, μᾶλλον εἵλετο πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι ἢ ἐπιδεῖν τείχη καθαιρούμενα, καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδιδομένας, καὶ τὸ ὑμέτερον πλῆθος καταδουλούμενον. καὶ οὐ πολλῷ 6
χρόνῳ ὕστερον Νικήρατος, ἀνεψιὸς ὢν ἐμὸς καὶ υἱὸς Νικίου, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλληφθεὶς ὑπὸ τῶν τριάκοντα ἀπέθανεν, οὔτε γένει οὔτε οὐσίᾳ οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν. ἀλλὰ τοιαῦτα ἐνόμιζε τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέτερον πλῆθος εἶναι, καὶ διὰ τοὺς προγόνους καὶ αὐτόν, ὥστε οὐκ ἂν ποθ' ἑτέρας ἐπιθυμῆσαι πολιτείας. συνῄδεσαν γὰρ ἅπασιν αὐτοῖς ὑπὸ τῆς πο- 7
λιτείας τιμωμένοις, καὶ πολλαχοῦ μὲν ὑπὲρ ὑμῶν κεκινδυνευκόσι, μεγάλας δ' εἰσφορὰς εἰσενηνοχόσι, καὶ λελειτουργηκόσι κάλλιστα, καὶ τῶν ἄλλων οὐδενὸς πώποτ' ἀποστᾶσιν, ὧν ἡ πόλις αὐτοῖς προσέταξεν, ἀλλὰ προθύμως λειτουργοῦσι. καίτοι τίνες ἂν ἡμῶν εἴησαν δυσ- 8

5. παραδιδομένας – καταδουλούμενον] *Παραδιδομένας* est in omnibus libris praeter editionem Ald., ex qua Reiskius restituit παραδεδομένας. *Καταδουλούμενον* autem profectum ex optimo Bekkeri cod. pro καταδεδουλωμένον. Praeferendum utique praesens; vivus est in praesente color. Nolebat videre, quum fieret, nedum factum.

tionem facit orator. Pars prior est hominum inconstantium, metu et anxietate facile abreptorum; varii sunt et flectuntur ad auram, *μεταβάλλονται πρὸς τὰ παρόντα*; alii, minus ingenio mutabiles, fortunae tamen cedunt, necessitati parent, quod semper sapientis est habitum. Latine reddas καὶ – καὶ partim – partim.

6. τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέτερον πλῆθος] Ea, quibus bene de populo vestro meritus sit, et quam exinde apud vos gratiam inierit, sua in populum merita et hinc natum populi in ipsum favorem.

7. συνῄδεσαν] Attende ad subitam numeri mutationem. Singularis *ἐνόμιζε* refertur ad unum Niceratum: quum autem addiderit *καὶ διὰ τοὺς προγόνους καὶ αὐτόν*, jam plurali utitur *συνῄδεσαν* sc. οἱ *πρόγονοι καὶ αὐτός*.

*καὶ τῶν ἄλλων οὐδενὸς ἀποστᾶσιν – – ἀλλὰ προθύμως λειτουργοῦσι*] Equidem non mirer, si quis haec a Lysiae brevitate et concinnitate profecta esse neget, sed addita a glossatore, qui quae curae cordique sint satis repeti et inculcari non posse arbitratus sit. Consentientibus tamen libris in hac lectione non ausim eam

www.libtool.com.cn

τυχέστεροι, εἰ ἐν μὲν τῇ ὀλιγαρχίᾳ ἀποθνήσκοιμεν, εὔνοι ὄντες τῷ πλήθει, ἐν δὲ τῇ δημοκρατίᾳ, ὡς κακόνοι ὄντες τῷ πλήθει, ἀποστεροίμεθα τῶν ὄντων;
9 καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, καὶ Διόγνητος, διαβληθεὶς μὲν ὑπὸ τῶν συκοφαντῶν, φεύγων ᾤχετο, μετ' ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ' ἐπὶ τὴν πόλιν ἐστρατεύσατο, οὔτ' εἰς Δεκέλειαν ἀφίκετο· οὐδ' ἔστιν ὅτου κακοῦ αἴτιος οὔτε φυγὼν οὔτε κατελθὼν τῷ ὑμετέρῳ πλήθει γεγένηται, ἀλλ' εἰς τοῦτ' ἀρετῆς ἦλθεν, ὥστε μᾶλλον ὠργίζετο τοῖς εἰς ὑμᾶς ἡμαρτηκόσιν ἢ τοῖς αὐτῷ τῆς καθόδου αἰτίοις γεγενημένοις ἔχαιρε.

8. *κακόνοι*] Hoc, quod Reiskius ex emendatione Marklandi dedit pro librorum lectione *κακοί*, est in editione Bekkeri nulla notata varietate.

9. *ἢ τοῖς αὐτῷ τῆς καθόδου αἰτίοις γεγενημένοις ἔχαιρε*] *Ἔχαιρε* accessit ex cod. Palmerius duplicem viam aperuit loco medendi, aut mutando vocabulo *καθόδου*, aut addendo verbo. Equidem aliquamdiu opinatus eram e verbo *ὠργίζετο* posse verbum suppleri oppositum. Sed re considerata intellexi hoc supplementum non esse, quale solet esse accuratorum scriptorum. Non enim ex negativo supplendum affirmativum aut vice versa, nec ex composito simplex, nec oppositio talis est, ut per alia vocabula occurrat quod supplendum sit. Quid? quod ne vere dici quidem possit oppositum esse supplendum. Gratias igitur habeo optimo codici, quod *ἔχαιρε* addidit.

in suspicionem adducere. Satis enim placet hoc loco orator in enumerandis Nicerati majorumque ejus in rempublicam meritis; et quanquam ingrata sit repetitio *λελειτουργηκόσι* et *λειτουργοῦσι*, observanda tamen temporis varietas, qua laudes familiae eo tempore, quo praestitorum officiorum suorum conscii pronuntiantur, tanquam durantes ponuntur.

9. *διαβληθεὶς ὑπὸ τῶν συκοφαντῶν*] Videtur sermo esse de tempore, quo Quadringenti ex civitate exterminabantur et Deceleam se subducebant. Eo tempore sycophantae actionem instituebant in Diognetum ut asseclam Quadringentorum. Diognetus, metuens factiosorum hominum injurias, fuga, ut ex hoc loco cognoscimus, periculis se surripuit.

*μετ' ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ' ἐπὶ τὴν πόλιν ἐστρατεύσατο* cet.] »Immo vero, inquit Reiskius, *μετ' οὐκ ὀλίγων*: quamvis haud paucos secum haberet adjutores exsilii sui socios, cum quibus potuisset inimicis nocere, tamen non fecit.« Non percepit vir doctus oratoris sententiam. *Μετ' ὀλίγων* est: pauci fecerunt, quod ipse fecit, ut non contra urbem arma caperent. Nempe qui sycophantarum calumnias metuentes ex patria fugissent, aut castra Lacedaemoniorum secuti sunt, aut Deceleam se contulerunt, ubi Quadringenti erant cum amicis, occasionem exspectantes se restituendi. Diognetus autem in-

καὶ ἀρχὴν μὲν οὐδεμίαν ἦρξεν ἐν τῇ ὀλιγαρχίᾳ· ἐπει- 10
δὴ δὲ τάχιστα ἦλθον εἰς τὴν Ἀκαδημίαν Λακεδαιμό-
νιοι, καὶ Πανσανίας, λαβὼν τὸν Νικηράτου καὶ ἡμᾶς
παῖδας ὄντας, ἐκεῖνον μὲν κατέθηκεν ἐπὶ τοῖς γόνασι
τοῖς Πανσανίου, ἡμᾶς δὲ παραστησάμενος, ἔλεγε πρὸς
ἐκεῖνον καὶ τοὺς ἄλλους τοὺς παρόντας, ὅσα εἴημεν
πεπονθότες, καὶ οἵαις τύχαις κεχρημένοι, καὶ ἠξίου
Πανσανίαν βοηθῆσαι καὶ διὰ τὴν φιλίαν καὶ διὰ τὴν
ξενίαν τὴν ὑπάρχουσαν, καὶ τιμωρὸν γενέσθαι τῶν
εἰς ἡμᾶς ἡμαρτηκότων. ὅθεν Πανσανίας ἤρξατο εὔ- 11
νους εἶναι τῷ δήμῳ, παράδειγμα ποιούμενος πρὸς τοὺς
ἄλλους Λακεδαιμονίους τὰς ἡμετέρας συμφορὰς τῆς
τῶν τριάκοντα πονηρίας. δῆλον γὰρ ἅπασι τοῖς ἐλ-
θοῦσι Πελοποννησίων ἐγεγένητο, ὅτι οὐ τοὺς πονη-
ροτάτους τῶν πολιτῶν ἀπέκτεινον, ἀλλ' οἷς μάλιστα
προσῆκον καὶ διὰ γένος καὶ διὰ πλοῦτον καὶ διὰ τὴν
ἄλλην ἀρετὴν τιμᾶσθαι. οὕτω δ' ἠλεούμεθα καὶ πᾶσι 12
δεινὰ ἐδοκοῦμεν πεπονθέναι, ὥςτε Πανσανίας τὰ μὲν
παρὰ τῶν τριάκοντα ξένια οὐκ ἠθέλησε λαβεῖν, τὰ δὲ
παρ' ἡμῶν ἐδέξατο. καίτοι δεινόν, ὦ ἄνδρες δικα-
σταί, ὑπὸ μὲν τῶν πολεμίων παῖδας ἡμᾶς ὄντας ἐλε-
εῖσθαι, οἳ τῇ ὀλιγαρχίᾳ βοηθήσοντες ἦλθον· ὑπὸ
δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, τοιούτους γεγενημένους
τῶν ὄντων ἀποστερεῖσθαι· ὧν οἱ πατέρες ὑπὲρ τῆς
δημοκρατίας ἀπέθανον.
Εὖ δ' οἶδ', ὦ ἄνδρες δικασταί, ὅτι περὶ πλεί- 13
στου ἂν ποιήσαιτο Πολίαρχος τοῦτον τὸν ἀγῶνα κα-

13. *Πολίαρχος*] Sic Stephanus idque retinuit Bekkerus, quanquam codicum nullus nomen sic scribat. Proxime accedit cod. C,

ter paucos erat, qui neutrum facerent.

11. *οἷς μάλιστα προσῆκον*] Reiskius de suo dedit *οὓς*, ut accusativus sit subjectum ad infinitivum *τιμᾶσθαι*. Ut supra in simili loco *δήμου καταλ. ἀπολ.* §. 7. accusativum vindicavimus contra mutationem virorum doctorum, sic monuimus dativum in hac constructione ab optimis scriptoribus jungi verbis finitis similibusque, ibidemque tuitus sum participium *προσῆκον* contra mutationem *προσῆκεν*, quam etiam hic et alibi proposuit.

12. *τοιούτους γεγενημένους*] Quum tales et aetate et agendi ratione simus; quum non aetate solum provecti simus, sed et

www.libtool.com.cn

www.libtool.com.cn
πορθῶσαι, ἡγούμενος αὐτῷ καλὴν εἶναι τὴν ἀπόδειξιν
καὶ πρὸς τοὺς πολίτας καὶ τοὺς ξένους, ὅτι Ἀθήνη-
σι τοσοῦτον δύναται, ὥσθ' ὑμᾶς τοὺς αὐτούς, περὶ
ὧν ὅρκους ὀμωμόκατε, ὑμῖν αὐτοῖς τἀναντία ποιεῖν
14 ψηφίζεσθαι. πάντες γὰρ εἴσονται, ὅτι τότε μὲν χιλί-
αις δραχμαῖς ἐζημίωσε τὸν βουλόμενον τὴν ἡμετέραν
γῆν δημοσίαν ποιῆσαι, νυνὶ δὲ κελεύων δημεῦσαι, νε-
νίκηκε. καὶ περὶ τούτων δὴ ἀμφοτέρων Ἀθηναῖοι, πα-
ρανόμων φεύγοντος τοῦ αὐτοῦ ἀνδρός, τἀναντία σφίσιν
15 αὐτοῖς ἐψηφίσαντο. οὐκοῦν αἰσχρόν, εἰ ἃ μὲν Λακεδαι-
μονίοις συνέθεσθε βεβαιώσετε, ἃ δὲ αὐτοῖς ἐψηφίσα-
σθε οὕτω ῥᾳδίως διαλύσετε, καὶ τὰς μὲν πρὸς ἐκεί-
νους συνθήκας κυρίας ποιήσετε, τὰς δὲ πρὸς αὐτοὺς
ἀκύρους, καὶ τοῖς μὲν ἄλλοις Ἕλλησιν ὀργίζοισθε, εἴ
τις Λακεδαιμονίους ὑμῶν περὶ πλείονος ποιεῖται, ὑμεῖς
δ' αὐτοὶ φανήσεσθε πιστότερον πρὸς ἐκείνους ἢ πρὸς

qui habet *Πολίαχος*; alter Bekkeri scribit *Πόλισχος*. Taylor dedit *Πολιοῦχος*, quem secutus est Reiskius.

*τἀναντία*] Vulgo: *τὰ ἐναντία*. In hoc vocabulo crasis in Lysia jam ubique restituta optimorum codicum auctoritate.

14. *καὶ περὶ τούτων δὴ*] *Δή* restitutum ex Bekkeri codd. pro vulgato *δέ*.

15. *τὰς δὲ πρὸς αὐτοὺς ἀκύρους*] Haec vocabula accesserunt ex optimo cod. In Lysia quidem ea non prorsus necessaria existimo. Quum tamen codex ille non expertus sit glossatorum manus, ob rotunditatem periodi ea non rejeci. Idem codex in seqq. praebuit *μὲν* *καὶ τοῖς μὲν ἄλλοις*. De *ὀργίζοισθε* vide Excursum IX.

cives nos praestiterimus bonos, quales decet.

14. *τότε μὲν χιλίαις δραχμαῖς ἐζημίωσε*] Nempe mille drachmarum multa imponebatur ei, qui contra jus fasque bona alicujus publicari jubebat. Bekkeri Anecdd. p. 188. *ἐν χιλίαις ὁ κίνδυνος καὶ χιλιῶσαι. οἱ κατηγοροῦντες τοὺς κλέπτας καὶ μὴ παριστῶντες* (arguentes, convincentes) *χιλίας δραχμὰς ἐτέλουν καὶ οἱ ῥᾳδίως* (*ῥάτην*) *ἀπογραφόμενοί τινος οὐσίαν*. Ex nostro igitur loco patet olim statim post restitutam pacem Poliarchum alium, qui publicare volebat Niciae cognatorumque vel alius civis bona, *παρανόμων* accusasse eoque rem perduxisse, ut is multam subiret mille drachmarum, nunc autem, quum ipse similem publicandi caussam agat, eandem ipsi multam subeundam esse de jure. Hinc patet, quomodo sequentia verba *παρανόμων φεύγοντος τοῦ αὐτοῦ ἀνδρός* intelligenda sint. Supplendum ad *τοῦ αὐτοῦ* — *ὃς χιλίαις δραχμαῖς ἐζημίωσε τὸν βουλόμενον τὴν ἡμετέραν γῆν δημοσίαν ποιῆσαι*: nisi forte aliquid exciderit, quo addito magis perspicua fiat sententia, quod opinatur Schoemann.

www.libtool.com.cn

ὑμᾶς αὐτοὺς διακείμενοι. ἀξιῶ δὲ μάλιστα φθονῆσαι, 16
ὅτι οὕτως ἤδη οἱ τὰ τῆς πόλεως πράττοντες διάκεινται,
ὥστ' οὐχ ὅ τι ἂν τῇ πόλει βέλτιστον ᾖ, τοῦτο οἱ ῥήτορες
λέγουσιν, ἀλλ' ἀφ' ὧν ἂν αὐτοὶ κερδαίνειν μέλλωσι,
ταῦτα ὑμεῖς ψηφίζεσθε· καὶ εἰ μὲν τῷ ὑμετέρῳ πλήθει 17
συνέφερε τοὺς μὲν ἔχειν τὰ αὑτῶν, τῶν δὲ ἀδίκως δη-
μεύεσθαι τὴν οὐσίαν, εἰκότως ἂν ἠμελεῖτε τῶν ὑφ' ἡ-
μῶν λεγομένων. νυνὶ δὲ πάντες ἂν ὁμολογήσαιτε ὁ-
μόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάν-
των κακῶν αἰτίαν, διαφέρεσθαι δὲ πρὸς ἀλλήλους ἐκ
τῶν τοιούτων μάλιστ', ἂν οἱ μὲν τῶν ἀλλοτρίων ἐπι-
θυμῶσιν, οἱ δ' ἐκ τῶν ὄντων ἐκπίπτωσι. καὶ ταῦθ' ὑμεῖς 18
ἔγνωτε, νεωστὶ κατελθόντες, ὀρθῶς βουλευόμενοι (ἔτι
γὰρ ἐμέμνησθε τῶν γεγενημένων συμφορῶν), καὶ τοῖς
θεοῖς εἰς ὁμόνοιαν εὔχεσθε καταστῆναι τὴν πόλιν μᾶλ-
λον ἤ, ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων τραπόμενοι,
τὴν μὲν πόλιν στασιάσαι, τοὺς δὲ λέγοντας ταχέως

17. *τοὺς μὲν ἔχειν τὰ αὑτῶν*] Ante Reiskium *τὰ αὐτά*. Illud hic dedit ex codd. nonnullis estque in Bekkeri editione sine varietate. Quam lectionem cur Meierus de bonis damnatorum p. 175. n. 50. sensu carere dicat, non intelligo. Sensus est: si civitati conduceret, ut alii sua possiderent, aliorum bona publicarentur, non sine probabili ratione ea, quae a nobis dicuntur, parvi penderetis. Apparet, quod conjecit Marklandus et probavit Meierus, *τὰ ὄντα*, sine libris restituendum non esse. *Δημεύεσθαι* obtulit C pro vulgato *δεδημεῦσθαι*. Praesens h. l. praeferendum, quod loquens metuit, ne haec agendi ratio duret; illam non potest ut absolutam et perfectam agnoscere. Per praesens non negatur rem factam jam esse; sed ut id non negatur, ita eam etiamnum fieri affirmatur.

*οἱ δ' ἐκ τῶν ὄντων ἐκπίπτωσι*] Reiskius de suo scripsit: *οἱ δ' αὖ* in libro: der Attische Process. p. 111. not. 27. v. c. *παρανόμων διώκοντος καὶ φεύγοντος τοῦ αὐτοῦ ἀνδρός*. Nescio tamen, an tolerari possit in Lysiae brevitate altera lectio.

16. *μάλιστα φθονῆσαι*] Verbum *φθονῆσαι* notione **irascendi, aegre ferendi** contra Marklandi mutationem vindicavi *πρὸς Σίμ.* §. 9.

18. *ἤ, ἐπὶ τιμωρίαν — τραπόμενοι*] Est nominativus absolutus, qui refertur ad subjectum verbi finiti *εὔχεσθε*. Sed quum non idem sit subjectum ad infinitivum *στασιάσαι*, sed *τὴν πόλιν*, ad infinitivum *πλουτῆσαι* — *τοὺς λέγοντας*, pendet jam nominativus participii, pro quo legitima structura ponendus erat genitivus *τραπομένων* sc. *ὑμῶν*. *Στασιάζειν* autem apud probos scriptores significationem habet intransitivum, ut hic.

www.libtool.com.cn

19 πλουτῆσαι. καίτοι πλείων συγγνώμη μνησικακεῖν νεω-
στὶ κατεληλυθόσιν, ἔτι τῆς ὀργῆς οὔσης προσφάτου,
ἢ τοσούτῳ χρόνῳ ὕστερον ἐπὶ τιμωρίαν τῶν παρελη-
λυθότων τραπέσθαι, ὑπὸ τοιούτων πεισθέντας, οἳ ἐν
ἄστει μείναντες ταύτην ὑμῖν οἴονται διδόναι πίστιν τῆς
αὑτῶν εὐνοίας, ἑτέρους κακῶς ποιοῦντες, ἀλλ' οὐ σφᾶς
αὐτοὺς χρηστοὺς παρέχοντες· καὶ νυνὶ τῶν τῆς πό-
λεως εὐτυχιῶν ἀπολαύοντες, ἀλλ' οὐ πρότερον τῶν ὑ-
μετέρων κινδύνων μετέχοντες.
20 Καὶ εἰ μὲν ἑωρᾶτο, ὦ ἄνδρες δικασταί, σωζόμε-
να τῇ πόλει τὰ ὑπὸ τούτων δημευόμενα, συγγνώμην
ἂν εἴχομεν· νῦν δ' ἐπίστασθε, ὅτι τὰ μὲν αὐτῶν ὑπὸ
τούτων ἀφανίζεται, τὰ δὲ πολλοῦ ἄξια ὄντα ὀλίγου πι-
πράσκεται. ἂν δέ μοι πείθησθε, οὐκ ἐλάττω ἀπ' αὐ-
21 τῶν ὑμεῖς ὠφεληθήσεσθε, ἢ ἡμεῖς οἱ κεκτημένοι. ἐπεὶ

τῶν ὄντων ἐκπ. nescio cur; nam apud hujus aetatis scriptores ἐκπίπτειν cum praepositione ex regula ponitur.

19. ταύτην ὑμῖν οἴονται διδόναι πίστιν τῆς αὑτῶν εὐνοίας, ἑτέρους κακῶς ποιοῦντες] Ταύτην est emendatio Marklandi pro librorum lectione αὐτήν. Ceterum notanda constructio rarius quidem obvia, certa tamen, ut post pronomen οὗτος, particulam οὕτω et similia, quae ex usu sequitur ὥστε, interdum ponatur participium, ut hoc loco. Cf. Heindorf. ad Plat. Phaedon. §. 5. p. 11.

20. εἰ μὲν ἑωρᾶτο] Hoc, quod Reiskius de conjectura scripserat, confirmavit cod. Vulgo, ἑωρᾶτε: quod quanquam praeter necessitatem mutatum existimat Meierus de bonis damn. p. 211., negare tamen non possumus tertiam personam passivi multo aptiorem esse, ut τὰ ὑπὸ τούτων δημευόμενα sit subjectum et enuntiatio generaliter expressa. Quam lectionem quum jam obtulerit optimus codex, quidni eam a Lysia profectam censeamus? Τὰ μὲν αὐτῶν sc. δημευομένων. Ὑπὸ τούτων sc. τῶν κατηγορούντων.

19. τῆς ὀργῆς οὔσης προσφάτου] Phrynich. p. 374. Πρόσφατον· καὶ περὶ τούτου πολλὴν διατριβὴν ἐποιησάμην ἐπισκοπούμενος, εἰ μόνον λέγεται πρόσφατος νεκρὸς καὶ μὴ πρόσφατον πρᾶγμα. εὑρίσκετο δὲ Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω·

Μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς.

ubi vere monet Lobeckius: »Non videtur ille in quaerendo longe progressus esse; sunt enim exempla hujus usus minime rara.«

20. ἀφανίζεται] Thomas M. p. 131. ἀντὶ τοῦ ἀφανὴς ἐπὶ καιρὸν γίνεται. Nempe ἀφανίζειν saepe de eo, qui aliquid oculis hominum et dominorum subducit, ut contra jus fasque ipse occupet: surripere, interdum etiam dilapidare: quod in bonis publicatis saepissime fiebat. Non minus verum, quod additur, τὰ

www.libtool.com.cn

καὶ νυνὶ Διόμνηστος καὶ ἐγὼ καὶ ὁ ἀδελφὸς ἐκ μιᾶς οἰ-
κίας τρεῖς ὄντες τριηραρχοῦμεν· καὶ ὅταν ἡ πόλις δέη-
ται χρημάτων, ἀπὸ τούτων ὑμῖν εἰςφέρομεν. ὡς οὖν ἡμῶν
ταύτῃ τῇ γνώμῃ χρωμένων, καὶ τῶν προγόνων τῶν ἡμε-
τέρων τοιούτων γεγενημένων, φείδεσθε ἡμῶν. οὐδὲν 22
γὰρ ἂν ἡμᾶς κωλύοι, ὦ ἄνδρες δικασταί, ἀθλιωτάτους
εἶναι, ἐπὶ μὲν τῶν τριάκοντα ὀρφανοὺς καταλειφθέν-
τας, ἐν δὲ τῇ δημοκρατίᾳ τῶν ὄντων ἐστερημένους,
οἷς ἡ τύχη παρέδωκεν, ὥστ' ἔτι ἡμᾶς παῖδας ὄντας
ἐπὶ τὴν Παυσανίου σκηνὴν ἐλθόντας βοηθῆσαι τῷ
πλήθει. καὶ τοιούτων ἡμῖν ὑπαρχόντων, εἰς τίνας
ἂν ἐβουλήθημεν δικαστὰς καταφυγεῖν; οὐκ εἰς τοὺς 23
οὕτω πολιτευομένους ὑπὲρ τῆς πολιτείας, ἧς καὶ ὁ
πατὴρ καὶ οἱ προςήκοντες ἡμῖν ἀπέθανον; νῦν τοίνυν
ταύτην ἀνθ' ἁπάντων ἀπαιτοῦμεν ὑμᾶς τὴν χάριν, μὴ
περιϊδεῖν ἡμᾶς ἀπόρως διατεθέντας, μηδ' ἐνδεεῖς τῶν
ἐπιτηδείων γενομένους, μηδὲ τὴν τῶν προγόνων εὐ-
δαιμονίαν καταλῦσαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα
ποιῆσαι τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν, οἵων
ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται.

Οὐκ ἔχω, ὦ ἄνδρες δικασταί, οὕςτινας δεησομέ- 24
νους ὑπὲρ ἡμῶν ἀναβιβάσωμαι. τῶν γὰρ προςηκόν-

22. *οὐδὲν γὰρ ἂν ἡμᾶς κωλύοι*] Optativum praebuerunt Bekkeri codices pro vulgato conjunctivo, qui h. l. vel contra codices mutandus erat.

*ἀθλιωτάτους*] Emendatio Stephani pro librorum lectione *ἀθλιοθεάτους*.

23. *γενομένους*] Sic Bekkeri codices pro vulgato *γεγενημένους*.

*πολλοῦ ἄξια ὀλίγου πιπράσκεται*. Cf. Boeckh Staatsh. T. I. p. 426.

21. *εἰςφέρομεν*] De subsidiis extraordinariis, quae fiunt juvando aerario sumtibus exhausto.

23. *ἧς – ἀπέθανον*] Repetenda praepositio *ὑπέρ*. Fit enim saepe, ut praepositio addita substantivo, quod relativum ipsum antecedit, repetenda sit ad relativum. Qui usus quum olim viros doctos offenderet, hodie per libros grammaticos ab omnibus agnoscitur. Cf. Matthiae gr. Gr. §. 595. p. 876. Patet igitur oblivioni dandum esse quod vel Taylor voluit: *ὑπὲρ ἧς πολιτείας*, vel Reiskius *ὑπεραπέθανον*.

*εὐδαιμονίαν*] Prosperitatem, laetam rerum externarum sortem. *Τῶν προγόνων* sc. *ἐμῶν*, loquentis.

*παράδειγμα ποιῆσαι*] sc. *ἡμᾶς*. *Παράδειγμα ἐπὶ ἐμψύχου*, teste Thoma M.

www.libtool.com.cn

τῶν οἱ μὲν ἄνδρας ἀγαθοὺς αὑτοὺς παρασχόντες, καὶ μεγάλην τὴν πόλιν ποιοῦντες, ἐν τῷ πολέμῳ τεθνᾶσιν, οἱ δ' ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ὑμετέρας ἐλευθε-
25 ρίας ὑπὸ τῶν τριάκοντα κώνειον πιόντες. ὥστε τῆς ἐρημίας τῆς ἡμετέρας αἴτιαι γεγόνασιν αἵ τε τῶν προσηκόντων ἀρεταὶ καὶ αἱ τῆς πόλεως συμφοραί. ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας, προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους ἂν ἐν δημοκρατίᾳ δικαίως εὖ πάσχειν ὑφ' ὑμῶν, οἵπερ ἐν ὀλιγαρχίᾳ τῶν συμφορῶν μετέ-
26 σχον τὸ μέρος. ἄξιον δὲ καὶ τούτους τοὺς συνδίκους εὔνους ἡμῖν εἶναι, ἐκείνου τοῦ χρόνου μνησθέντας, ὅτ' ἐκ τῆς πατρίδος ἐκπεπτωκότες καὶ τὰς οὐσίας ἀπολωλεκότες ἄνδρας ἀρίστους ἐνομίζετ' εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνήσκοντας, καὶ τοῖς θεοῖς εὔχεσθε δυνη-
27 θῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀποδοῦναι. Ἡμεῖς τοίνυν, υἱεῖς ὄντες καὶ συγγενεῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν μετασχοῦσι συμφορῶν. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ἀντιβολῶ καὶ ἱκετεύω, καὶ τούτων παρ' ὑμῶν τυγχάνειν ἀξιῶ. οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν ὄντων ἁπάντων.

25. αἴτιαι] Iidem pro vulgato αἴτιοι.
ἄξιον] Vulgo: ἀξιῶ. Marklandi conjecturam confirmavit cod. Bekkeri.

24. παρασχόντες — — ποιοῦντες] Temporum varietas me non offendit, ut Reiskium. Aoristus suam vim habet et rem hic notat perfectam. Ii, quos significat, factis se bonos viros praestiterant, eorumque opera manent; quod exprimitur per praesens, μεγάλην τὴν πόλιν ποιοῦντες.

26. συνδίκους] Cf. prooemium ὑπὲρ Μαντιθέου.

www.libtool.com.cn

# ΛΥΣΙΟΥ

## ΥΠΕΡ ΤΩΝ

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ ΠΡΟΣ ΤΟ ΔΗΜΟΣΙΟΝ.

### PROOEMIUM.

Nicophemi et Aristophanis, generi illius, bona post restitutam pacem publicabantur, quumque opinione minora essent, propinqui illorum, in suspicionem de bonis surreptis adducti, in judicium vocabantur. Nicophemus et Aristophanes sub triginta viris indicta caussa obierant. Nicophemus, quantum ex hac oratione cognoscimus, bonus erat civis, qui quaecunque praestanda erant diligenter et religiose praestabat, ceterum res suas agebat, a turba rerum publicarum alienus. Aristophanes, impiger ac strenuus adolescens, per socerum, qui Conone familiariter utebatur, cum hoc viro conjunctus, utendum se obtulit in rebus publicis, et a Conone cum Eunomo et Lysia in Siciliam missus est, qui persuaderet Dionysio, ut affinis fieret Euagorae, hostis Lacedaemoniis, amicus vero et socius Atheniensium. Atque haec, quamvis multa pericula adversus mare et hostes subeunda essent, prospero successu assecuti sunt. Postea vero quam e Cypro legati venissent auxilia flagitantes, summo rem studio agebat Aristophanes. Athenienses autem triremes et auxilia decernebant. Sed opus erat iis, quibus res demandabatur, pecunia, quae non ex aerario publico, sed ex copiis privatis haurienda erat. Aristophanes ipse plurima obtulit. Quum vero haec non sufficerent, ad opes amicorum confugit et germani fratris depositas apud se quadraginta minas, fratre non nolente, impendit. Pridie quam proficiscebatur, accessit ad socerum eumque rogavit, ut, quicquid esset pecuniae, id sibi mutuum daret. Aderant septem minae. Has accepit a socero. Par erat hominem honoris cupidum, qui e Cypro a patre nuntium acceperat omnia abunde futura in Cypro, legationem, ad quam delectus erat, obiturum, cuncta quae posset impendere, ut ei, ad quem missus erat, gratificaretur. Data ab amicis restituta sunt per triremem, quae Aristophanem Cyprum transvexerat. Nihil vero nec auri nec argenti Aristophanes Athenis reliquit; vulgaria nonnisi possidebat vasa aenea. Nec obliviscendum, antequam Conon pugnam navalem ad Cnidum vicerit Ol. XCVI. 3., Aristophanem nonnisi praediolum possedisse Rhamnunte. Jam difficile per quattuor quinqueve annos bis tragoedis chorum ducere suo et patris nomine, tres annos continuos trierarchum esse, multum praeterea pecuniae ad necessitates belli conferre, domum parare quinquaginta minis, amplius trecenta plethra agri acquirere et videri pretiosam reliquisse supellectilem. — Exempla nunc affert eorum, qui, quum multa habere visi fuerint, pauca post mortem reliquerint. Minime igitur mirum, si pauca Aristophanes reliquit,

www.jlbtool.com.cn

qui prope quindecim talenta publice impenderat. Propinquos autem ea de caussa, quod publicationem bonorum metuerint, nihil summovisse ex eo patere, quod ipsi custodem apposuerint, ne quid periret aut corrumperetur, quippe quibus persuasum erat jure suas se res sibi vindicaturos. In possessionibus enim haerere dotem uxoris et septem minas a socero mutuo datas.

Addit qui loquitur pauca de se, modestum se et sobrium fuisse, a foro et judiciis abstinuisse; atque etiam patrem, quanquam nunquam magistratus appetierit, omnia boni civis officia sedulo et religiose praestitisse, choros omnis generis adornasse, septies trierarchum fuisse, saepe et multum pecuniae ad necessitates belli numerasse, atque etiam ad collocandas pauperum civium filias et ad sepeliendos eos, qui unde efferrentur non reliquissent, argentum contulisse; per quinquaginta denique annos et corpore et opibus reipublicae inserviisse nec ulli sumtui nec labori pepercisse.

Hanc orationem aut exeunte Olympiade nonagesima septima aut ineunte nonagesima octava habitam esse vere monuit et probavit Meierus de bonis damn. p. 193.

---

1 Πολλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσί, ὦ ἄνδρες δικασταί, ὅταν ἐνθυμηθῶ, ὅτι, ἂν ἐγὼ μὲν μὴ νῦν εὖ εἴπω, οὐ μόνον ἐγώ, ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος εἶναι, καὶ τῶν ὄντων ἁπάντων στερήσομαι. ἀνάγκη οὖν, εἰ καὶ μὴ δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ καὶ ἐμαυτῷ, οὕτως ὅπως
2 ἂν δύνωμαι. τὴν μὲν οὖν παρασκευὴν καὶ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε, καὶ οὐδὲν δεῖ περὶ τούτων λέγειν· τὴν δ' ἐμὴν ἀπειρίαν πάντες ἴσασιν, ὅσοι ἐμὲ γινώσκουσιν. αἰτήσομαι οὖν ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι, ἄνευ ὀργῆς καὶ ἡμῶν ἀκοῦσαι, ὥσπερ
3 τῶν κατηγόρων. ἀνάγκη γὰρ τὸν ἀπολογούμενον, κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἔλαττον ἔχειν. οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες, αὐτοὶ ἄνευ κινδύνων ὄν-

1. *οὕτως ὅπως ἂν δύνωμαι*] Jam *ὑπὲρ Καλλ.* §. 1. monuimus hanc formulam modestam esse ejus, qui significat omnibus quidem viribus fore, ut nitatur, se tamen optare, ut vires sint majores.

3. *οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες*] Andocides, qui in prooemio orationis *περὶ μυστηρίων* eadem fere verba habet, quae hic leguntur, scribit *ἐπιβουλεύσαντες*, idque etiam hic commendat Taylor. Praefero praesens. Ἐκ πολλοῦ χρόνου satis indicat temporis praecedentis longinquitatem, per quam res duraverit; participium autem *ἐπιβουλεύοντες* eam etiamnum durare ostendit.

www.libtool.com.cn

τες, τὴν κατηγορίαν ἐποιήσαντο· ἡμεῖς δ᾽ ἀγωνιζόμεθα μετὰ δέους καὶ διαβολῆς καὶ κινδύνου μεγίστου. εἰκὸς οὖν ὑμᾶς εὔνοιαν πλείω ἔχειν τοῖς ἀπολογουμένοις. 4 οἶμαι γὰρ πάντας ὑμᾶς εἰδέναι, ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥςτε ὑπὲρ πάντων τῶν πεπραγμένων μισηθέντες ἀπελθεῖν· οἱ δ᾽ αὖ μαρτυρήσαντες τὰ ψευδῆ καὶ ἀδίκως ἀπολέσαντες ἀνθρώπους ἑάλωσαν, ἡνίκα οὐδὲν ἦν πλέον τοῖς πεπονθόσιν. 5 ὅτ᾽ οὖν τοιαῦτα πολλὰ γεγένηται, ὡς ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μήπω τοὺς τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστούς, πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν. ἀκούω γὰρ ἔγωγε (καὶ ὑμῶν δὲ τοὺς πολλοὺς οἶμαι εἰδέναι), ὅτι πάντων δεινότατόν ἐστι διαβολή. 6 μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις ἰδεῖν, ὅταν πολλοὶ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν. ὡς γὰρ ἐπὶ τὸ πολὺ οἱ τελευταῖοι κρινόμενοι σώζονται. πεπαυμένοι γὰρ τῆς ὀργῆς αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες ἀποδέχεσθαι. 7 ἐνθυμεῖσθε οὖν, ὅτι Νικόφημος καὶ Ἀριστοφάνης ἄκριτοι ἀπέθανον,

6. *μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις ἰδεῖν, ὅταν* cet.] Hanc lectionem, quam Marklandus conjectura assecutus erat, habet editio Bekkeri sine varietate pro vulgato *μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις δεινότατον, ὅταν* cet.

*καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες ἀποδέχεσθαι*] Infinitivus est ex emendatione Reiskii pro librorum lectione *ἀποδέχεσθε*. Vulgatam interpretabatur Marklandus: libenter et cum voluptate admittitis. Sed apud Lysiam participium *θέλων* sic non est in usu, et hoc membrum aptius adjungitur ut virtus (?), quam teneant in audiendo.

4. *οἱ δ᾽ αὖ μαρτυρήσαντες τὰ ψευδῆ — — ἑάλωσαν*] Patet ex hoc loco actionem *ψευδομαρτυριῶν* institui potuisse in caussis publicis, quod ex hoc aliisque locis, ut ex rerum natura, demonstravit Platner der Process. p. 411. s.

5. *ἀκούω γὰρ ἔγωγε — — — ὅτι πάντων δεινότατόν ἐστι διαβολή*] »Fando, exclamat Taylor, fando ergo illud audivit dici! Rumor erat in civitate calumniam esse rem longe teterrimam.« Sic pergit vir doctissimus exasperari, donec tandem erumpat in vocem: »Profecto non ea una absurditas neque ea levicula, sed multae, quibus hoc comma onustum est, certissimam lacunam indicant.« Absurditatis equidem nihil video, sed modestam loquendi formulam, qua quis rem non ipse affirmat, sed aliorum testimonia, immo populi vocem appellat.

www.libtool.com.cn

πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ' εἶδεν ἐκείνους μετὰ τὴν σύλληψιν. οὐ γὰρ θάψαι τὰ σώματ' αὐτῶν ἀπέδωκαν· ἀλλ' οὕτω δεινὴ συμφορὰ γεγένηται, ὥστε πρὸς τοῖς
8 ἄλλοις καὶ τούτου ἐστέρηνται. ἀλλὰ ταῦτα μὲν ἐάσω (οὐδὲν γὰρ ἂν περαίνοιμι)· πολὺ δὲ ἀθλιώτεροι δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους. οὐδένα γὰρ οὔτ' ἰδίᾳ οὔτε δημοσίᾳ ἠδικηκότες οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ὑμετέρους, ἀλλὰ καὶ ἡ ὑπόλοιπος ἐλπὶς ἦν, ὑπὸ τοῦ πάππου
9 ἐκτραφῆναι, ἐν οὕτω δεινῷ καθέστηκεν. ἔτι δ' ἡμεῖς ἐστερημένοι μὲν κηδεστῶν, ἐστερημένοι δὲ τῆς προικός,

8. ὑμετέρους] Hoc praebuerunt Bekkeri codd. pro vulgato ἡμετέρους.

7. πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν] Haec est epexegesis ad vocabulum ἄκριτοι: ante quam quis eos conspiceret convictos injuriae. Taylor, »Novi, inquit, qui ἐλεγχόμενον praeferat«. Novi equidem hunc Graece doctum non fuisse. Scribendum enim erat ἐλέγχοντα. Sed si utrumque codices praeberent, vulgatum tamen praeferendum esset. Subtilis enim est loquendi ratio, omnisque narratio egregie et vividis coloribus leges conculcantem tyrannidem pingit.

οὕτω δεινὴ συμφορὰ γεγένηται] Non addiderim post δεινή articulum, quod voluit Reiskius. Minime damnandum, quod οὕτω δεινὴ συμφορά tanquam subjectum sint jungenda.

τούτου ἐστέρηνται] Sc. τοῦ θάψαι: cujus facinoris saepe accusantur triginta tyranni.

8. οὐδὲν γὰρ ἂν περαίνοιμι] Quia facta infecta fieri nequeunt.

πολὺ ἀθλιώτεροι] Quam si patrem fato functum amisissent. Patris mors in se jam est filiorum calamitas; sin vero is mature decessit, superstite avo, orbos hic educandos curat. Hic vero cum patre et opibus etiam avus abreptus. Omnis spes erat in avunculo, ipso ad miserias redacto. Sic eorum ἐλπὶς ἐν οὕτω δεινῷ καθέστηκεν, spes in tantas angustias inciderat.

9. κηδεστῶν] Proprie ponendus erat singularis. Aristophanes enim unus proprio nomine erat κηδεστής. Quum vero simul cum eo pater Nicophemus interierit, rhetorice ponit pluralem. Etiam in sequentibus de eadem re ubique plurali utitur, ut certum sit κηδεσταί sensu latiore dictum fuisse, non solum de eo, qui ipse per matrimonium affinis sit factus.

ἐστερημένοι δὲ τῆς προικός] Novum argumentum, quousque civitas per temporum angustias progressa sit. Cautum enim erat lege, ne quid uxoris doti accideret, etiam si bona mariti publicarentur. Sed tum tantum aberat, ut uxori dos restitueretur, ut frater et pater uxoris in crimen adducerentur: quod verbis exprimitur, quae sequuntur.

παιδάρια δὲ τρία ἠναγκάσμεθα τρέφειν, πρὸς δὲ τούτοις συκοφαντούμεθα, καὶ κινδυνεύομεν περὶ ὧν οἱ πρόγονοι ἡμῖν κατέλιπον κτησάμενοι ἐκ τοῦ δικαίου. καίτοι, ὦ ἄνδρες δικασταί, ὁ ἐμὸς πατὴρ ἐν ἅπαντι τῷ βίῳ πλείω εἰς τὴν πόλιν ἀνάλωσεν ἢ εἰς αὑτὸν καὶ τοὺς οἰκείους, διπλάσια δὲ ἢ νῦν ἔστιν ἡμῖν, ὡς ἐγὼ λογιζομένῳ αὐτῷ πολλάκις παρεγενόμην. μὴ οὖν προ- 10
καταγινώσκετε ἀδικίαν τοῦ εἰς αὑτὸν μὲν μικρὰ δαπανῶντος, ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν, ἀλλ' ὅσοι καὶ τὰ πατρῷα καὶ ἄν τί ποθεν λάβωσιν, εἰς τὰς αἰσχίστας ἡδονὰς εἰθισμένοι εἰσὶν ἀναλίσκειν. χαλεπὸν μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἀπολογεῖσθαι 11
πρὸς δόξαν, ἣν ἔνιοι ἔχουσι περὶ τῆς Νικοφήμου οὐσίας, καὶ σπάνιν ἀργυρίου, ἣ νῦν ἔστιν ἐν τῇ πόλει, καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος· ὅμως δέ, καὶ τούτων ὑπαρχόντων, ῥᾳδίως γνώσεσθε, ὅτι οὐκ ἀληθῆ ἐστι τὰ κατηγορημένα. δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μετ' εὐνοίας ἀκροασαμένους ἡμῶν διὰ τέλους, ὅ τι ἂν ὑμῖν ἄριστον καὶ εὐορκότατον νομίσητε εἶναι, τοῦτο ψηφίσασθαι.

Πρῶτον μὲν οὖν ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγέ- 12
νοντο διδάξω ὑμᾶς. στρατηγῶν γὰρ Κόνων περὶ Πε-

10. *ἄν τί ποθεν λάβωσιν*] Hoc, quod Taylor conjectura assecutus erat pro vulgata lectione *ἄν τί ποθεν μὴ δῶσιν*, confirmavit optimus Bekkeri liber.

11. *νομίσητε*] sic idem liber. Ante Reiskium legebatur *νομίζηται*, quod is de conjectura mutavit in *νομίζητε*.

*παιδάρια*] liberos, quos Aristophanes ex sorore loquentis susceperat.

*κινδυνεύομεν*] Suspicio erat, propinquos uxoris surripuisse ex bonis Nicophemi et Aristophanis publicatis.

10. *ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν*] Scaliger participium excidisse opinatur. Reiskius etiam *εἰςενηνοχότος* addendum censebat. Sluiterus Lectt. Andd. p. 267. proponit *καθ' ἕκαστον δόντος ἐνιαυτόν*: quod vel ipsa vocabulorum collocatione in Lysia rejicitur. Nos locum per zeugma explicantes vindicavimus in Excursu III.

11. *καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος*] In his, quae antecedentia significant, disertis verbis exprimuntur. Quaecunque in suspicionem loquentis spargebantur, eo facilius fidem inveniebant, quod res pertinebat ad aerarium publicum.

[illegible] τῷ ἐμῷ πατρὶ πάλαι φίλος γεγενημένος, ἐδεήθη δοῦναι τὴν ἀδελφὴν αἰτοῦντι
13 τῷ υἱεῖ τῷ Νικοφήμου. ὁ δέ, ὁρῶν αὐτοὺς ὑπ' ἐκείνου τε πεπιστευμένους γεγονότας τε ἐπιεικεῖς τῇ τε πόλει ἔν γε τῷ τότε χρόνῳ ἀρέσκοντας, ἐπείσθη δοῦναι, οὐκ εἰδὼς τὴν ἐσομένην διαβολήν· ἀλλ' ὅτε καὶ ὑμῶν ὁστισοῦν ἂν ἐκείνοις ἠξίωσε κηδεστὴς γενέσθαι. ἐπεὶ ὅτι γε οὐ χρημάτων ἕνεκα, ῥᾴδιον γνῶναι ἐκ τοῦ
14 βίου παντὸς καὶ τῶν ἔργων τῶν τοῦ πατρός. ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην, ὅτι δὲ Ξενοφῶντος ἦν θυγάτηρ τοῦ Εὐριπίδου υἱέος, ὃς οὐ μόνον ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν αὐτὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω.
15 τὰς τοίνυν ἐμὰς ἀδελφάς, θελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλουσίων, οὐ δέδωκεν, ὅτι ἐδόκουν

13. ἀλλ' ὅτε] Est Sluiteri emendatio lectt. Andocc. p. 267. pro librorum lectione ἄλλως τε. Nemo, inquit, animadvertit nexum his verbis plane deesse. Memorabilis est lectio codd. Coisl. et Vindob. ἄλλοτε (optimus C item habet ἄλλο τε), quae verba si bene distinguantur, veram continent lectionem: filiam ei in matrimonium collocavit, quum nondum sciret futuram calumniam, sed quum vestrum unusquisque affinitatem cum iis lubens contraxisset.

12. τὴν ἀδελφὴν] Errat Taylor, excidisse opinatus τὴν ἐμήν. Haec ipsa est Lysiae brevitas, ut, quae existimet ab attento lectore non posse non recte percipi, in his parcus verborum sit, nec inane vocabulum addat. Aliud est in oppositione concinnitatis caussa, in qua ipsa brevitati studet. Reiskius, saepe alias Lysiae brevitate offensus, h. l. recte τὴν ἐμήν subaudiendum esse monet.

13. αὐτοὺς] Aristophanem patremque illius; ὑπὸ τούτου, a Conone.

ὅτι γε οὐ χρημάτων ἕνεκα] Sc. ἔδωκε τὴν θυγατέρα vel ἠξίωσεν αὐτοῖς κηδεστὴς γενέσθαι.

14. οὐδὲν ἐπιφερομένην] Ἐπιφέρεσθαι de uxore dotem ferente tetigi ad Aeschin. in Ctes. c. 54.

Ξενοφῶντος τοῦ Εὐριπίδου υἱέος] Cognoscimus hunc ut Atheniensium strenuum imperatorem ex Thucyd. II. 70. 79.

ὡς ἐγὼ ἀκούω] Jam mortuus erat hic Xenophon, quum haec oratio haberetur.

15. ἀπροίκους] Quod signum erat magni hos procos aestimasse conjungi matrimonio cum hac familia. Quanquam enim non infamiam afferebat Atheniis virgini, quum sine dote nuberet, ut Romae, tamen raro id accidebat, rarius etiam virgo ἄπροικος in matrimonium offerebatur.

οὐ δέδωκεν] Bekkerus malit οὐκ ἔδωκεν, quod probo. Sim-

κάκιον γεγονέναι· ἀλλὰ τὴν μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίονα ἡγοῦνται εἶναι ἢ πλουσιώτερον, τὴν δὲ πένητι γεγενημένῳ οὐ διὰ κακίαν, ἀδελφιδῷ δὲ Φαίδρῳ ὄντι Μυῤῥινουσίῳ, ἐπιδοὺς τετταράκοντα μνᾶς, καὶ Ἀριστοφάνει, τὸ ἴσον. πρὸς δὲ 16 τούτοις ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα λαβεῖν ἐλάττω συνεβούλευσεν, ὥστε εὖ εἰδέναι, ὅτι κηδεσταῖς χρησοίμην κοσμίοις καὶ σώφροσι. καὶ νῦν ἔχω γυναῖκα τὴν Κριτοδήμου θυγατέρα τοῦ Ἀλωπεκῆθεν, ὃς ὑπὸ Λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγένετο ἐν Ἑλλησπόντῳ. καίτοι, ὦ ἄνδρες δικασταί, ὅστις αὐ- 17 τός τε ἄνευ χρημάτων ἔγημε, ταῖν τε θυγατέροιν πολὺ ἀργύριον ἐπέδωκε, τῷ τε υἱῷ ὀλίγην προῖκα ἔλαβε, πῶς οὐκ εἰκὸς περὶ τούτου πιστεύειν, ὡς οὐχ ἕνεκα χρημάτων τούτοις κηδεστὴς ἐγένετο;

plex enim est narratio, nec momentum in eo ponitur, quod hoc revera factum sit.

κάκιον γεγονέναι] Terminus technicus de iis, qui non probo genere nati erant, aut quorum parentes majoresve infamia laborabant. Opponitur γεγενῆσθαι καλῶς. κατ' Ἀγορ. 59. τοῦτον μέντοι ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα ἐβούλοντό τινες βασανισθῆναι. Errat Sluitern s Lectt. Andoc. p. 267., qui scribendum opinatur κακίονες vel κακίους, quod longe aliud significaret.

τὴν δὲ πένητι γεγενημένῳ οὐ διὰ κακίαν, ἀδελφιδῷ δὲ Φαίδρῳ ὄντι] Non miror hic paulum offendisse viros doctos, quum in verborum collocatione sit quod affectatum videri queat. Clara erunt omnia, si verba sic collocata existimes: τὴν δὲ Φαίδρῳ ἀδελφιδῷ ὄντι, γεγενημένῳ μὲν πένητι, ἀλλ' οὐ διὰ κακίαν. Rhetorice autem verba sic collocavit, ut, quod sit praecipue honori patri, pateret; non spectabat externam hominis fortunam, ne id quidem, si quis in deteriorem sit conditionem delapsus; sed caussam respiciebat, unde hoc accidisset. Si non κακία fuerit, libenter suppetias ferebat, seque etiam cum paupere affinitate conjungebat. Fortasse etiam de industria postpositum hominis nomen. Poterat enim Phaedrus Myrrhinusius, quamvis pauper, virtute clarus esse. Meminerimus Phaedri, qui nomen dedit Platonis dialogo.

16. ἐξὸν] Pro ea, qua erat, conditione; honesto genere natus, patre divite, probis cognatis et affinibus.

17. τῷ τε υἱῷ ὀλίγην προῖκα ἔλαβε] Ut potestas erat paterna in filium, sic etiam sermo talis erat in usu, ut potestas inde paterna pateret. Quemadmodum in rebus omnibus filium patris tanquam κυρίου voluntati obedire oportebat, sic aperte hoc exprimebat sermo. Non filius sibi προῖκα sive magnam sive parvam acquirebat, sed pater eam constituebat, filius autem constitutam debebat accipere.

τούτοις] Aristophani et Nicophemo.

18 Ἀλλὰ μὲν ὅ γε Ἀριστοφάνης, ἤδη ἔχων τὴν γυ-
www.libtool.com.cn
ναῖκα, ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο ἢ τῷ ἐμῷ πα-
τρί, ῥᾴδιον γνῶναι. ἥ τε γὰρ ἡλικία πολὺ διάφορος,
ἥ τε φύσις ἔτι πλέον. ἐκείνῳ μὲν γὰρ ἦν τὰ ἑαυτοῦ
πράττειν. Ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων, ἀλλὰ
καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι, καὶ εἴ τι ἦν
19 αὐτῷ ἀργύριον, ἀνάλωσεν, ἐπιθυμῶν τιμᾶσθαι. γνώ-
σεσθε δέ, ὅτι ἀληθῆ λέγω, ἐξ αὐτῶν ὧν ἐκεῖνος ἔπρα-
ξε. πρῶτον μὲν γάρ, βουλομένου Κόνωνος πέμπειν
τινὰ εἰς Σικελίαν, ᾤχετο ὑποστὰς μετὰ Εὐνόμου καὶ
Λυσίου, φίλου ὄντος καὶ ξένου, τὸ πλῆθος τὸ ὑμέ-
τερον πλεῖστα ἀγαθὰ πεποιηκότος, ὡς ἐγὼ ἀκήκοα τῶν
20 ἐν Πειραιεῖ παραγενομένων. ἦσαν δ' ἐλπίδες τοῦ πλοῦ,
πεῖσαι Διονύσιον κηδεστὴν μὲν γενέσθαι Εὐαγόρᾳ,
πολέμιον δὲ Λακεδαιμονίοις, φίλον δὲ καὶ σύμμαχον
τῇ πόλει τῇ ὑμετέρᾳ. καὶ ταῦτ' ἔπραττον, πολλῶν κιν-
δύνων ὑπαρχόντων πρὸς τὴν θάλασσαν καὶ τοὺς πο-
λεμίους, καὶ ἔπεισαν Διονύσιον μὴ πέμψαι τριήρεις,

18. *ἀνάλωσεν*] Sic cod. pro vulgato *ἀνήλωσεν*. Apud Lysiam tamen codd. frequentius tuentur hujus verbi augmentum quam rejiciunt. Participium autem additum caussam indicat, ob quam pecuniam impenderit.

19. *τῶν ἐν Πειραιεῖ παραγενομένων*] *Τῶν*, quod vulgo repetitum erat ante *παραγενομένων*, omissum est auctoritate optimi cod.

18. *ἐκείνῳ μὲν γὰρ ἦν τὰ ἑαυτοῦ πράττειν*] Viris doctis ad *ἦν* deesse videtur praedicatum *ἱκανόν* aut simile. Jacobsius autem vitium ex uberi errorum fonte manasse suspicans, quo librarii postremam verborum syllabam plerumque per compendium scriptam negligebant, Additt. Animadvv. in Athen. p. 270. conjecit: *ἐκείνῳ μὲν γὰρ ἤρκει*. Equidem in librorum lectione acquiescendum existimo. *Ἔστι μοι* phrasis est saepissime a Graecis adhibita, non solum de eo, quod possum sive corporis sive animi viribus sive aliorum permissu et concessione, sed etiam de eo, quod naturae et indoli aptum est, convenit. Lucianus Diall. mortt. 24, 2. *ὁ δὲ τάφος καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἐπιδείκνυσθαι*, ubi vide Tib. Hemsterhusium. Quod attinet ad locutionem *τὰ ἑαυτοῦ πράττειν*, habet Phrynichus p. 441. *τὰ ἴδια πράττω καὶ τὰ ἴδια πράττει οἱ πολλοὶ λέγουσιν εἰκῇ, δέον τὰ ἐμαυτοῦ πράττω, καὶ τὰ σαυτοῦ πράττεις, λέγειν, ὡς οἱ παλαιοί, ἢ τὰ ἴδια ἐμαυτοῦ πράττω καὶ τὰ ἴδια σεαυτοῦ πράττεις*: ubi vide Lobeck.

ὃς τότε παρεσκευάσατο, Λακεδαιμονίοις. μετὰ δὲ ταῦ- 21
τα ἐπειδὴ οἱ πρέσβεις ἧκον ἐκ Κύπρου ἐπὶ τὴν βοή-
θειαν, οὐδὲν ἐνέλιπε προθυμίας σπεύδων· ὑμεῖς δὲ
τριήρεις αὐτοῖς ἔδοτε καὶ τἆλλα ἐψηφίσασθε, ἀργυρίου
δ' εἰς τὸν ἀπόστολον ἠπόρουν. ὀλίγα μὲν γὰρ ἦλθον
ἔχοντες χρήματα, πολλῶν δὲ προσεδεήθησαν· οὐ γὰρ
μόνον εἰς τὰς ναῦς, ἀλλὰ καὶ πελταστὰς ἐμισθώσαντο,
καὶ ὅπλα ἐπρίαντο. Ἀριστοφάνης δ' οὖν τῶν χρημά- 22
των τὰ μὲν πλεῖστα αὐτὸς παρέσχεν· ἐπειδὴ δὲ οὐχ
ἱκανὰ ἦν, τοὺς φίλους ἔπειθε δεόμενος καὶ ἐγγυώμε-
νος, καὶ τοῦ ἀδελφοῦ τοῦ ὁμοπατρίου ἀποκειμένας
παρ' αὐτῷ τεσσαράκοντα μνᾶς εἰπὼν κατεχρήσατο. τῇ
δὲ προτεραίᾳ ἢ ᾗ ἀνήγετο, εἰσελθὼν ὡς τὸν πατέρα

20. ὃς τότε παρεσκευάσατο] Bekkerus existimat praestare παρεσκεύαστο, vere, opinor. Non enim recte aoristus ponitur significatione plusquamperfecti conjunctus cum aoristo ἔπεισαν, qui mere historicus est, sed ponendum plusquamperfectum ipsum; nec fere haec dici potest mutatio. Nam talia vel accuratissimi librarii saepissime confuderunt.

22. τῇ δὲ προτεραίᾳ ἢ ᾗ ἀνήγετο] sic optimus cod. Vulgo deerat ἤ; codices tamen fluctuabant inter ἢ et ᾗ. Equidem si vel nullus codex utrumque conjunctum praebuisset, hoc faciendum putavissem. Legitima enim est constructio, ut post τῇ ὑστεραίᾳ, τῇ προτεραίᾳ, ἢ sequente relativo ponatur. Quum vero jam optimus codex hanc lectionem obtulerit, opinor etiam Buttmannum, qui ad Mid. §. 33. vulgatum contra mutationem tueri studuerit, optimo codici cessurum, quanquam ceteroqui non negamus esse locos, ubi sola aut particula aut relativa conjunctio sine corruptelae suspicione ponatur.

21. ἐκ Κύπρου ἐπὶ τὴν βοήθειαν] E Cypro Athenas, petentes, ut auxilia mittantur Cyprum.
εἰς τὸν ἀπόστολον] ὁ ἀπόστολος et ἡ ἀποστολή pariter dicuntur de classe maritima, quae emittitur. Cf. Duker. ad Thucyd. VIII. 8.
οὐ γὰρ μόνον εἰς τὰς ναῦς] Ex antecedente προσεδεήθησαν assumendum ἐδεήθησαν.

22. τεσσαράκοντα μνᾶς εἰπὼν κατεχρήσατο] Quod Taylor et Markland voluerunt λαβὼν pro εἰπών, id est etiam in Bekkeri optimo. Et apparet jamdudum hoc εἰπὼν mirum visum et ejus loco perspicuum magis vocabulum desideratum esse, quod facile ducebat ad λαβών, quod paulo post in simili sententia legitur. Verum vocabulorum confusio criticam probabilitatem non habet. Multo probabilius corruptionis ratione est quod conjecit Jacobsius Additt. Animadvv. in Athen. p. 55. ἀπιὼν κατεχρήσατο, quum abiturus esset. Sed minus placet. Aut enim notio hujus participii languida est, aut molestam habet ambiguitatem, quasi furtim creditam pecuniam arripuerit. E contrario in εἰπὼν notionem vi-

www.libtool.com.cn

τὸν ἐμόν, ἐκέλευσε χρῆσαι ὅ τι εἴη ἀργύριον· προσδεῖν γὰρ ἔφη πρὸς τὸν μισθὸν τοῖς πελτασταῖς. ἦσαν δ᾽ ἡμῖν ἔνδον ἑπτὰ μναῖ. ὁ δὲ καὶ ταύτας [ὁμ]ῶν κατεχρήσατο.

23 τίνα γὰρ οἴεσθε, ὦ ἄνδρες δικ[ασ]ταί, φιλότιμον μὲν ὄντα, ἐπιστολῶν δὲ ἡκουσῶν αὐτῷ παρὰ τοῦ πατρὸς μηδὲν ἀπορήσειν ἐκ Κύπρου, ᾑρημένον δὲ πρεσβευτὴν, καὶ μέλλοντα πλεῖν ὡς Εὐαγόραν, ὑπολείπεσθαι ἄν τι τῶν ὄντων, ἀλλ᾽ οὐχ ἃ δυνατὸς ἦν, πάντα παρασχόντα χαρίσασθαι ἐκείνῳ τε, καὶ κομίσασθαι μὴ ἐλάττω; ὡς τοίνυν ταῦτ᾽ ἔστιν ἀληθῆ, κάλει μοι Εὔνομον.

*ΜΑΡΤΥΡΕΣ.*

24 Τῶν μὲν μαρτύρων ἀκούετε, οὐ μόνον ὅτι ἔχρησαν ἐκείνου δεηθέντος, ἀλλὰ καὶ ὅτι ἀπειλήφασιν. ἐκομίσθη γὰρ αὐτοῖς ἐπὶ τῆς τριήρους.

23. *οὐχ ἃ δυνατὸς ἦν*] Sic Bekkeri editio, ex conjectura, opinor, editoris. In ejus codd. est *εἰ* pro *ἅ*, et in uno eorum *οὐκ εἰ ἦν δυνατός*. Libri ante collati habebant *οὐκ εἴην δυνατός*. In editione Aldina est *οὐκ εἷον ἦν δυνατός*, unde Reiskius, praeeunte Scaligero, scripsit *οὐχὶ ὧν ἦν δυνατός*.

24. *ἔχρησαν*] Hoc est in editione Bekkeri sine varietate pro lectione vulgata *ἐχρήσαντο*. Recte. Activum enim *χρῆν* creditoris est, qui dat mutuum, *χρῆσθαι* debitoris, qui accipit. Utrumque *ἐπὶ φίλων*, quum *δανείζειν* et *δανείζεσθαι* sit *ἐπὶ τῶν τυχόντων*.

deo, quae probitatem hominis ostendat. Opinor eo significari convenisse ei cum fratre, ut in hunc usum impenderet depositam apud se pecuniam: *εἰπών*, ex composito, postquam de ea re collocuti erant. [Fortasse *πιθών*, aut *πείθων κατεχρήσατο*. F. J.]

23. *ἐπιστολῶν δ᾽ αὐτῷ ἡκουσῶν παρὰ τοῦ πατρὸς μηδὲν ἀπορήσειν ἐκ Κύπρου*] Ἐκ Κύπρου offendebat Marklandum, nomen loci cum *μηδὲν ἀπορήσειν* jungentem ita, ut scribendum censeret *ἐν Κύπρῳ*. Reiskius autem, si *ἐκ Κύπρου* bene habeant, ea collocanda existimat pone *παρὰ τοῦ πατρός*. Quod si verba *ἐκ Κύπρου* jungenda sint cum *ἡκουσῶν*, verborum collocatio in ore Graeco non potest offendere, quum ad finem ejusdem enuntiationis sint posita; sin vero praeferas jungere cum *ἀπορήσειν*, ne tum quidem mutatione opus. Jam enim libri grammatici docent hunc esse Graecis idiotismum, ut verbo recto candem praepositionem adjungant, quae vi propria nonnisi regenti, unde alterum pendet, adjungi possit. Vide Matthiae gr. Gr. §. 596.

*ἐκείνῳ*] sc. *Εὐαγόρᾳ*.

24. *ἐπὶ τῆς τριήρους*] Ea scilicet, qua Aristophanes legatus ad Euagoram vectus erat. Quae quum Athenas rediret, statim Aristophanes pecuniam ab amicis mutuo acceptam restituit.

www.libtool.com.cn

Ῥᾴδιον μὲν οὖν ἐκ τῶν εἰρημένων γνῶναι, ὅτι,
τοιούτων καιρῶν συμπεσόντων, οὐδενὸς ἂν ἐφείσατο
τῶν ἑαυτοῦ. ὃ δὲ μέγιστον τεκμήριον· Δῆμος γὰρ ὁ 25
Πυριλάμπους, τριηραρχῶν εἰς Κύπρον, ἐδεήθη μου
προςελθεῖν αὐτῷ, λέγων, ὅτι ἔλαβε σύμβολον παρὰ
βασιλέως τοῦ μεγάλου φιάλην χρυσῆν, ὡς Ἀριστοφά-
νη λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ' αὐτῇ, ὡς ἔχοι ἀναλί-
σκειν εἰς τὰς τριηραρχίας· ἐπειδὴ δὲ εἰς Κύπρον ἀφί-
κοιτο, λύσασθαι, ἀποδοὺς εἴκοσι μνᾶς· πολλῶν γὰρ
ἀγαθῶν καὶ ἄλλων χρημάτων εὐπορήσειν διὰ τὸ σύμ-
βολον ἐν πάσῃ τῇ ἠπείρῳ. Ἀριστοφάνης τοίνυν ἀκούων 26

25. *Δῆμος γὰρ ὁ Πυριλάμπους*] Ante Bekkerum scribebatur *Πυριλαμποῦς*, quod is recte mutavit; nominativus enim est *Πυριλάμπης*. Et ubique sic scribitur. Demus, Pyrilampis filius, excellebat pulchritudine. Aristophanes Vesp. 98.

> *– – ἢν ἴδῃ γέ πού γεγραμμένον*
> *τὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλόν.*

ubi vide Brunckium.

*ὃ δὲ μέγιστον τεκμήριον*] Formula si vis elliptica, in qua deest apodosis. Eam sequitur plerumque explicativa particula *γάρ*. Interdum brevius etiam dicitur, *τεκμήριον δέ*. Cf. Matthiae gr. Gr. p. 905.

25. *ἐδεήθη μου προςελθεῖν αὐτῷ – – ὡς Ἀριστοφάνη λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ' αὐτῇ*] Non miror viros doctos hunc locum turbatum hac illave parte censuisse. Fateor enim illum etiam me diu multumque vexasse, nec contenderim eum me nunc recte percipere et explicare. Dicam tamen quod sentio. Demo, qui erat trierarchus designatus eorum, qui Euagorae auxilio mitterentur, pecunia opus erat ad navem instruendam ornandamque. Olim Demus *φιάλην χρυσῆν* (hanc lectionem obtulit optimus liber pro vulgato *φιάλης μὲν χρυσῆς*) a Persarum rege acceperat *σύμβολον*, signum clementiae in memoriam officii accurate praestiti. Jam adibat affinem Aristophanis eumque rogabat, ut Aristophani, sub cujus auspiciis subsidia mitterentur, persuaderet, ut sedecim sibi minas procuraret, accepta pignoris loco phiala; in Cypro se viginti minas restituturum. Jam sensum in universum expressi, in quo maximam mihi semper difficultatem faciebat verbum *λαβεῖν*. Generaliter videtur accipiendum: capere quod des alteri, h. l. pecuniam, sive ex suis ipsius opibus, sive ex aliorum mutuo sumtam. Liberum Aristophani relinquit, unde pecuniam procurare velit; sufficit, si pecuniam accipiat, ex qua navem, ut oportet, ornare possit.

*λύσασθαι*] Medium ut in genere de redemtione dicitur, sic etiam de pignore redemto, ut numerata reddatur pecunia, pro qua pignus erat datum.

*εὐπορήσειν διὰ τὸ σύμβολον*] Si quis a rege vel homine potente symbolum, tesseram, de cujus authentia dubitari non posset, acceperat, is apud amicos aut regi addictos facile fidem inveniebat,

www.libtool.com.cn

μὲν ταῦτα Δήμου, δεομένου δ' ἐμοῦ, μέλλων δ' ἄξειν χρυσίον, τέτταρας δὲ μνᾶς τόκον λήψεσθαι, οὐκ ἔφη εἶναι, ἀλλ' ὤμνυε καὶ προςδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν· ἐπειδὴ ..... ἥδιστ' ἀνθρώπων ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμβολον, καὶ χαρίσασθαι ἡμῖν ἃ ἐδεόμεθα. ὡς δὲ ταῦτ' ἐστιν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

27 Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν Ἀριστοφάνης ἀργύριον, οὐδὲ χρυσίον, ῥᾴδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων. χαλκώματα δὲ σύμμικτα οὐ πολλὰ ἐκέκτητο. ἀλλὰ καὶ ὅθ' εἱστία τοὺς παρ' Εὐαγόρου πρεσβεύοντας, αἰτησάμενος ἐχρήσατο. ἃ δὲ κατέλιπεν, ἀναγνώσεται ὑμῖν.

ΑΠΟΓΡΑΦΗ ΧΡΗΜΑΤΩΝ.

28 Ἴσως ἐνίοις ὑμῶν, ὦ ἄνδρες δικασταί, δοκεῖ ὀλίγα εἶναι· ἀλλ' ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι Ἀριστοφάνει, πρὶν

26. *ἐπειδὴ ..... ἥδιστ' ἀνθρώπων*] Lacunam duodecim litterarum habet optimus C. cui ut gratificarer, lacunam notavi. Si enim ipsam enuntiationem consideres, nihil deesse existimabis, nec, opinor, quidquam deest, nisi formula, quam scriptor brevitatis studiosus facile omittit, v. c. *εἰ δυνατόν*, aut similis. [De infinitivo particulae *ἐπειδή* et similibus adjuncto vid. quae monuimus in gr. Gr. §. 121. not. 3 et 4. V. C. F. R.].

27. *ΑΠΟΓΡΑΦΗ ΧΡΗΜΑΤΩΝ*] accessit ex C.

28. *ὅτι Ἀριστοφάνει*] Vulgo legitur *ὅτι πρὶν Νικοφήμῳ ἢ καὶ Ἀριστοφάνει*. Quattuor vocabula *πρὶν Νικοφήμῳ ἢ καὶ* auctore Reiskio deleta sunt. Probabiliter etiam conjicit Bekkerus post *νικῆσαι* excidisse *Κόνωνα*. Intelligitur pugna navalis a Conone ad Cnidum facta, quae incidit in initium anni tertii Ol. XCVI.

eique quisque praestabat quod poterat, et fiebat quod ille vellet.

26. *δεομένου δ' ἐμοῦ*] Quum ego rogarem, ut illum voti compotem faceret.

*χρυσίον*] h. l. de vase aureo; in genere dicitur de metallo facto. Aristophanes magni aestimabat corpus unum idque pretiosum acquirere loco nummorum, quorum pretium pro temporum locorumque ratione variabat.

27. *χαλκώματα σύμμικτα*] *Χαλκώματα* sunt utensilia ex aere facta. *Ἀργύριον* et *χρυσίον* igitur id est, quod Pollux X. 174. *ἀργυρώματα καὶ χρυσώματα* appellat, quibus vocabulis idem testatur Lysiam usum esse in oratione *πρὸς Κλέωνα*. *Σύμμικτα* tropicam hic habet significationem: vulgaria, vilia.

*αἰτησάμενος*] Notant antiqui grammatici medium *αἰτεῖσθαι* esse *χρήσασθαι εἰς ἀπόδοσιν*, aliquid petere utendum, quod reddas, quum usus sis, et differre a *δανείζεσθαι*, ita mutuum rogare, ut sis cum fenore redditurus. Cf. Valckenaer Animadvv. in Ammonium p. 12 s.

www.libtool.com.cn

τὴν ναυμαχίαν νικῆσαι, γῆ μὲν οὐδὲν ἦν ἀλλ' ἢ χω-
ρίδιον μικρὸν Ῥαμνοῦντι. ἐγένετο δὲ ναυμαχία ἐπ' Εὐ-
βούλου ἄρχοντος. ἐν οὖν τέτταρσιν ἢ πέντε ἔτεσι, 29
πρότερον μὴ ὑπαρχούσης οὐσίας, χαλεπόν, ὦ ἄνδρες
δικασταί, τραγῳδοῖς τε δὶς χορηγῆσαι ὑπὲρ αὑτοῦ τε
καὶ τοῦ πατρός, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι,
εἰςφοράς τε πολλὰς εἰςενηνοχέναι, οἰκίαν τε πεντήκον-
τα μνῶν πρίασθαι, γῆς τε πλέον ἢ τριακόσια πλέθρα
κτήσασθαι· ἔτι δὲ πρὸς τούτοις οἴεσθαι χρῆναι ἔπιπλα
πολλὰ καταλελοιπέναι. ἀλλὰ οὐδὲ οἱ πάλαι πλούσιοι 30
δοκοῦντες εἶναι ἄξια λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν. ἐνίοτε
γὰρ οὐκ ἔστιν, οὐδ' ἐὰν τις πάνυ ἐπιθυμῇ, πρίασθαι
τοιαῦτα, ἃ κτησαμένῳ εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν
ἂν παρέχοι. ἀλλὰ τόδε σκοπεῖτε. τῶν ἄλλων ὅσων 31

29. *οὐσίας*] Hoc, quod Reiskius ex Schotti conjectura pro librorum lectione *αἰτίας* dederat, confirmavit Bekkeri optimus.

*δὶς χορηγῆσαι*] Certa haec est Reiskii emendatio pro librorum lectione *διαχορηγῆσαι*. Emendationem probant et flagitant verba *ὑπὲρ αὑτοῦ τε καὶ πατρός*: quae item leguntur §. 42. ubi additur summa *πεντακιςχιλίων δραχμῶν*, quam impenderit his choregiis, quae modum solitum excedebat. Sufficiebat enim *χορηγία* summa ducentarum et mille drachmarum. Vulgatam tamen retinet Meierus de bonis damn. p. 193. not. 112.

30. *ἄξια λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν*] *Ἄξια* est ex optimo pro vulgato *ἄξιον*. *Ἂν*, quod vulgo deest, obtulit idem et codd. Vindob.

28. *ἐπ' Εὐβούλου ἄρχοντος*] Hoc nomen omnes codd. tenent. Apud ceteros hujus anni archon appellatur Hubulides. Contra codices tamen nihil mutandum, quanquam Meursius aliique voluerunt. Satis enim demonstravit Hemsterhusius ad Luciani Tim. c. 44. non insolens esse, ut primitivum et patronymicum nomen in eadem persona locum obtineant. Sic etiam *κατὰ Νικομάχου* §. 11. *Νικομαχίδης* appellatur, qui semper alias *Νικόμαχος*.

29. *τραγῳδοῖς*] Quum agerentur tragoediae. cf. ad Aeschinem adv. Ctesiph. c. 56.

*οἰκίαν πεντήκοντα μνῶν*] Erat hoc mediocre pretium domus Atheniensis. A pretio trium minarum ad viginti et centum minas accrescit domorum pretium. Collegit exempla Boeckhius Staatsh. I. p. 71 sq. Agrorum pretium cognosces ab eodem ib. p. 67. ss.

www.libtool.com.cn

ἐδημεύσατε χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀφηρπάσθησαν· ἡμεῖς δέ, ἤδη δεδημευμένων καὶ ἐξεληλυθυίας τῆς ἐμῆς ἀδελφῆς, φύλακα κατεστήσαμεν τῇ ἐμῇ οἰκίᾳ, ἵνα μήτε θυρώματα, μήτε ἀγγεῖα, μήτε ἄλλο μηδὲν ἀπόλοιτο. ἔπιπλα δὲ ἀπεφαίνοντο πλείω ἢ χιλίων δραχμῶν, ὅσα
32 οὐδενὸς πώποτ' ἐλάβετε. πρὸς δὲ τούτοις καὶ πρότερον πρὸς τοὺς συνδίκους καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μὴ ἔχειν τῶν Ἀριστο-

31. ἀφηρπάσθησαν] Sic jam ante Bekkerum codices optimi et ipsius X. Alter per lapsum calami ἀφηρπασάσθησαν. Editiones vulgatae ἀπεσπάσθησαν.

φύλακα] Singularem obtulit C pro vulgato φύλακας: quod fortasse habeas pro plurali hyperbolico.

31. οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀφηρπάσθησαν] Perperam reddidit Auger: »Ceterorum, quorum publicastis bona, non solum supellectilem vendidistis, sed etiam fores ab aedibus divulsae sunt«, atque etiam ceteri interpretes vix recte locum intellexisse videntur. Vertendum est: Tantum aberat, ut supellectilem venderetis, ut etiam fores aedium abriperentur. De locutione οὐχ ὅπως confer Schaeferum ad Bosii Ell. p. 775. s. Hermannum ad Viger. p. 790. Respicitur ad eum morem, quo propinqui ejus, cujus bona publicabantur, fraude plurima subtrahere et surripere conabantur, non pecuniam solum numeratam summovebant, sed etiam supellectilem, ut nihil restaret aerario vendendum. Quid? quod ex nostro loco cognoscimus fores adeo aedium abreptas fuisse. Cf. Meierum de bonis damn. p. 212 s.

τῇ ἐμῇ οἰκίᾳ] Taylor delendum censet ἐμῇ eique a[illegible]r Meierus. Reiskius opi[illegible] ete actorem domum [illegible] pellasse, quod in ea [illegible] tatur, ut ostendat jure [illegible] et injuriam sibi fieri, si ea eripiatur. Quum codices sine ulla varietate ἐμῇ teneant, non impugno, quanquam, opinor, actor, si hanc rem in lite pendentem tanquam suam vindicare voluerit, aliquid addidisset, quo hoc per prolepsin dictum esse significaretur. Haec autem ostendunt longe aliter se in publicatione bonorum Aristophanis egisse, quam vulgo fieri solebat. Non solum ipsi a publicatis bonis abstinebant, sed tantum aberat, ut quidquam inde surriperent, ut etiam alios impedirent, quo minus id facerent.

πλείω ἢ χιλίων δραχμῶν] Tamen persuasum nobis esse potest verum supellectilis pretium multo majus fuisse, ad minimum duplum. Cf. Boeckh Staatsh. II. p. 25.

32. πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις] Pro varietate formularum jurisjurandi sanctitas varia erat. Sub ea, quae sanctissima erat hominibus, intelli[illegible] jusjurandum per libero[illegible]tner der Process T. I[illegible] et der Attische Proc[illegible].

φένους χρημάτων, ὀφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελφῆς καὶ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαβὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ. πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι ἢ 33
εἰ τὰ σφέτερ' αὐτῶν ἀπολωλεκότες δοκοῖεν τἀκείνων ἔχειν; ὃ δὲ πάντων δεινότατον, τὴν ἀδελφὴν ὑποδέξασθαι παιδία ἔχουσαν πολλά, καὶ ταῦτα τρέφειν, μηδ' αὐτοὺς ἔχοντας μηδέν, ἐὰν ὑμεῖς τὰ ὄντ' ἀφέλησθε. φέρε 34
πρὸς θεῶν Ὀλυμπίων· οὕτω γὰρ σκοπεῖτε, ὦ δικασταί· εἴ τις ὑμῶν ἔτυχε δοὺς Τιμοθέῳ τῷ Κόνωνος τὴν θυγατέρα ἢ τὴν ἀδελφήν, καὶ ἐκείνου ἀποδημήσαντος καὶ ἐν διαβολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τάλαντα ἀργυρίου, διὰ τοῦτο ἠξιοῦτε ἂν τοὺς ἐκείνου καὶ τοὺς προσήκοντας ἀπολέσθαι, ὅτι οὐδὲ πολλοστὸν μέρος τῆς δόξης τῆς παρ' ὑμῖν ἐφάνη τὰ χρήματα; ἀλλὰ μὴν τοῦτο πάντες ἐπίστασθε, Κόνωνα μὲν ἄρ- 35
χοντα, Νικόφημον δὲ ποιοῦντα ὅ τι ἐκεῖνος προστάττοι. τῶν οὖν ὠφελειῶν Κόνωνα εἰκὸς πολλοστὸν μέρος ἄλλῳ τινὶ μεταδιδόναι· ὥστ', εἰ οἴονται πολλὰ γενέσθαι Νικοφήμῳ, ὁμολογήσειαν τὰ Κόνωνος εἶναι πλείονα ἢ δεκαπλάσια. ἔτι δὲ φαίνονται οὐδὲν πώ- 36
ποτε διενεχθέντες, ὥστ' εἰκὸς καὶ περὶ τῶν χρημάτων ταὐτὰ γνῶναι· ἱκανὰ μὲν ἐνθάδε τῷ υἱεῖ ἑκατέρου

34. διὰ τοῦτο ἠξιοῦτε ἂν] Διὰ τοῦτο obtulerunt Bekkeri codices. Libri antea collati habebant διὰ τοῦτον, unde Reiskius per conjecturam dederat διὰ τοῦτ' οὖν. Simplicior codicum Bekkeri ratio. Ἂν accessit ex C, cui ut optimo codici obediendum erat: quanquam constructionem, omisso etiam ἂν, ab usu Lysiae non abhorrere ostendit Excursus IV.

35. ἀλλὰ μὴν τοῦτο πάντες ἐπίστασθε] Τοῦτο habet Bekkeri optimus. Ceteri τοῦτον, unde Reiskius de conjectura dederat τούτοιν.

36. ταὐτὰ γνῶναι] Ταὐτά, quae Reiskii emendatio est pro vulgato ταῦτα, est etiam in Bekkeri editione sine varietate. Sic etiam ἱκανά, pro quo ante Reiskium erat ἱκανοί.

ὀφείλεσθαι δὲ] Bekkerus mavult ἐνοφείλεσθαι: quod in jure Attico verbum proprium est de argento, quod creditum est ita, ut fundi aut possessiones pignoris loco inscripta sint, quo tutius sit creditum.

35. πολλοστὸν μέρος] Aliqua, sed parva pars, si eam toto conferas. Proportio conspicitur ex eo, quod sequitur. Πολλοστὸν μέρος h. l. est minus quam decuma.

www.libtool.com.cn

καταλιπεῖν, τὰ δὲ ἄλλα παρ' αὐτοῖς ἔχειν: ἦν γὰρ Κόνωνι μὲν υἱὸς ἐν Κύπρῳ καὶ γυνή· Νικοφήμῳ δὲ γυνὴ καὶ θυγάτηρ. ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὅμως
37 σφίσιν εἶναι, ἴσα ὥσπερ καὶ τὰ ἐνθάδε. πρὸς δὲ τούτοις ἐνθυμεῖσθε, ὅτι καὶ εἴ τις μὴ κτησάμενος, ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν τοῖς παισὶ διένειμεν, οὐκ ἐλάχιστα ἂν αὑτῷ ὑπέλιπε. βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι ἔχοντες χρήματα
38 μᾶλλον ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες. νῦν τοίνυν εἰ δημεύσετε τὰ τοῦ Τιμοθέου (ὃ μὴ γένοιτο, εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει), ἐλάττω δὲ ἐξ αὐτῶν λάβοιτ' ἢ ἐκ τῶν Ἀριστοφάνους γεγένηται, τούτου ἕνεκα ἀξιοῖτ' ἂν τοὺς ἀναγκαίους τοὺς ἐκεί-
39 νου τὰ σφέτερ' αὐτῶν ἀπολέσαι; ἀλλ' οὐκ εἰκός, ὦ ἄνδρες δικασταί· ὁ γὰρ Κόνωνος θάνατος καὶ αἱ διαθῆκαι, ἃς διέθετο ἐν Κύπρῳ, σαφῶς ἐδή-

37. *διένειμεν*] Hoc ex Bekkeri codicibus profectum pro vulgato *διένεμεν*. Aoristus hic unice aptus. Plusquamperfecti significationem habet.

38. *εἰ δημεύσετε*] Reiskius de conjectura dedit *δημεύσαιτε*, idque retinuit Bekkerus. Ego vulgatam lectionem revocavi, eam vindicans in Excursu VII.

*ἐλάττω δὲ ἐξ αὐτῶν λάβοιτ' ἢ*] *Δέ* obtulit C pro lectione librorum *ἐάν*: quod aperte corruptum, nisi forte pro *λάβοιτε* scribendum sit *λάβητε*, quod est in cod. Vindob. Ex ea autem, quam optimus codex obtulit, lectione *λάβοιτ'* est alterum membrum protaseos pendens ex *εἰ*. In seq. *ἀξιοῖτ' ἂν* idem cod. obtulit pro vulgato *ἠξιοῦτε*.

36. *ὅμως*] Jacobs Additt. Animadvv. in Athen. p. 141. scribendum existimat *ὁμῶς*. Quod si discrimen a grammaticis nonnullis inter *ὅμως* et *ὁμῶς* traditum verum est, *ὁμῶς* esse i. q. *ὁμοίως*, haec similisve significatio hic locum habet. Verum etiam *ὅμως* eadem significatione usurpatum esse existimo. Cur autem *ὥσπερ* post *ἴσα* Reiskius ut a glossatore additum uncis incluserit, non intelligo. Ut enim interdum simplex *καί* post *ἴσος* sequitur, sic saepe *ἴσος ὥσπερ*, *ὥσπερ καί*.

37. *εἴ τις μὴ κτησάμενος*] Verum enim est, quod Socrates apud Platonem de rep. L. I. c. 4. dicit: *οἱ δὲ κτησάμενοι διπλῇ ἢ οἱ ἄλλοι ἀσπάζονται τὰ χρήματα.*

38. *ἐκείνων δεῖσθαι*] sc. *τῶν παίδων*. Nam, quod natura jubet et quod probi filii sponte faciunt, quo neglecto autem pravi iram divinam excitant, ut diligentem parentum curam habeant, id apud Athenienses lege erat sancitum, si quis vellet esse civis *ἐπίτιμος*.

www.libtool.com.cn

λωσαν, ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα ὧν ὑμεῖς προςεδοκᾶτε. τῇ μὲν γὰρ Ἀθηνᾷ καθιέρωσεν εἰς ἀναθήματα καὶ τῷ Ἀπόλλωνι εἰς Δελφοὺς πεντακιςχιλίους στατῆρας· τῷ δὲ ἀδελφιδῷ τῷ ἑαυτοῦ, ὃς ἐφύ- 40
λαττεν αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν Κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμάς· τῷ δὲ ἀδελφῷ τρία τάλαντα· τὰ δὲ λοιπὰ τῷ υἱεῖ κατέλιπε, τάλαντα ἑπτακαίδεκα. τούτων δὲ κεφάλαιον γίγνεται περὶ τετταράκοντα τάλαντα. καὶ οὐδενὶ οἷόν τε εἰπεῖν, ὅτι διηρπά- 41
σθη, ἢ ὡς οὐ δικαίως ἀπεφάνθη. αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν ἤσθετο. καί μοι κάλει. τούτων μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ μὴν ὁςτιςοῦν, ὦ ἄνδρες δικασταί, πρὶν 42
ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων ᾠήθη ἂν εἶναι. Ἀριστοφάνης τοίνυν γῆν μὲν καὶ οὐσίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, κατεχορήγησε δὲ ὑπὲρ αὐτοῦ καὶ τοῦ πατρὸς πεντακιςχιλίας δραχμάς· τριηραρχῶν δὲ ἀνήλωσεν ὀγδοήκοντα μνᾶς· εἰςενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων 43
οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐν Σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς, εἰς δὲ τὸν ἀπόστο-

42. ᾠήθη ἂν] Hoc primus dedit Stephanus, idque est etiam in Bekkeri editione sine varietate. In Reiskiana est lectio antiquior ᾠήθησαν. Sed non, opinor, usitatum ad ὁςτιςοῦν verbum ponere in plurali.

κατεχορήγησε] Haec est emendatio Reiskii pro librorum lectione καὶ ἐχορήγησε. Κατεχορηγεῖν autem est in choregiam impendere, et adjunctam videtur habere notionem liberalitatis atque profusionis.

39. πεντακιςχιλίους στατῆρας] Στατήρ erat nummus aureus, quorum singuli pretium habebant viginti drachmarum Atticarum. Ergo πεντακιςχίλιοι στατῆρες aequabant summam 100,000 drachmarum i. e. sedecim talentorum et quadraginta minarum. Jam si addas singulas, quae enumerantur, summas, totum assurgit περὶ τεσσαράκοντα τάλαντα, vel si accurate numerare velis, octo et triginta talenta et viginti minas. Nec obliviscendum pretium staterum, ut nummorum aureorum, pro tempore variasse.

41. ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν ἤσθετο] Quanquam mortifero morbo laborans, mente tamen sana ad cuncta attendebat et omnium bene conscius.

42. ἀμφότερα] Τὰ τοῦ Νικοφήμου καὶ τὰ τοῦ Κόνωνος.

www.libtool.com.cn

λου τῶν τριήρων, ὅτε οἱ Κύπριοι ἦλθον, καὶ ἔδοτε αὐτοῖς τὰς δέκα ναῦς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν καὶ τῶν ὅπλων τὴν ὠνὴν παρέσχε τρισμυρίας δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται, μικροῦ
44 λείποντος, πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθε, εἰ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ᾽ αὐτοῦ ἐκείνου, πολλαπλασίων δοκούντων πλέον ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστοφάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός.

45 Ἐγὼ μὲν οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταί, οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπολέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ πρόσθεν χρόνῳ πολλῶν ἐψεύσθητε τῆς οὐσίας, οἳ καὶ ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ πο-
46 λὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα

44. εἰ] Hoc obtulit C. pro ceterorum librorum lectione ἐπί, pro quo de conjectura scripserat Reiskius ἐπεὶ majore interpunctione posita ante hoc vocabulum. In lectione vero, quam obtulit codex, enuntiatio erat adjungenda antecedentibus.

δοκούντων] Vulgo δοκούντων εἰ. Reiskius de conjectura δοκούντων εἶναι. Conjunctio abest a Bekkeri codicibus.

45. πρόσθεν] Sic optimus pro vulgato ἔμπροσθεν.

ἐφάνησαν] Quod conjectura restituit Reiskius, confirmavit C. Vulgo ἐφάνη.

43. μικροῦ λείποντος, πεντεκαίδεκα τάλαντα] Si accurate scire velis summam, si singula addideris, invenies esse quattuordecim talenta et dimidium, sive triginta minas.

45. Ἐγὼ μὲν οὐκ ἀξιῶ — — ἡμᾶς ἀπολέσθαι ἀδίκως] Notandus idiotismus linguae Graecae, ex quo negatio, quae sententiam infinitivi afficit, adjuncta est verbo finito, unde infinitivus pendet. Cf. Rost. gr. Gr. §. 135. not. 3.

καὶ ζῶντες μὲν πλουτεῖν ἐδόκουν] Reiskius ex Taylori conjectura dedit οἳ ζῶντες etc. Quod si omnes codices haberent, non foret rejiciendum; ex conjectura cur restituatur, non intelligo. Verbum ἐδόκουν pendet ex conjunctione ὅτι et subjectum ex antecedente supplendum πολλοί.

46. αὐτίκα] Marklandus recte monuit interpretes in constituenda hujus vocabuli significatione multis locis errasse. Est enim saepe, ut hic, particula, quae enuntiationem antecedentem per exemplum illustrat: verbi causa. Si propius ad primariam vocabuli notionem significationem constituere velis, est: ut afferam

www.libtool.com.cn

Ἰσχομάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλέον ἢ ἑβδομήκοντα τάλαντα, ὡς ἐγὼ ἀκούω. ἐνειμάσθην δὲ τὼ υἱέε οὐδὲ δέκα τάλαντα ἑκατέρω ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θάλλου ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων, ἀποθανόντος δ' ἡ οὐσία ἐφάνη περὶ ἕνδεκα τάλαντα. ὁ τοίνυν Νικίου οἶκος προσεδοκᾶτο εἶναι 47
οὐκ ἔλαττον ἢ ἑκατὸν ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον ἦν. Νικήρατος δ' ὅτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν οὐδέν, ἀλλὰ τὴν οὐσίαν, ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάντων. Καλλίας τοίνυν ὁ Ἱππο- 48
νίκου, ὅς, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ, πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆσθαι, καί, ὥς φησι, διακοσίων

46. *πλέον ἢ ἑβδομήκοντα τάλαντα*] Sic est in editione Bekkeri. Vulgo pro *πλέον* legitur *πλείω*. *πλέον* autem ex nullo codice notat Bekkerus, sed in C ait esse *πλεῖον*. *Πλέον* in Lysia frequentissimum; *πλεῖον* nonnisi ter legitur.

*ἐνειμάσθην δὲ τὼ υἱέε*] Hoc, quod Reiskius ex conjectura restituerat, confirmavit C. Vulgo *ἐνειμάσθην δὲ τῷ υἱεῖ*.

48. *ὅς, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ*] *Ὅς*, quod in libris post *πατήρ* collocatum erat, ex conjectura ante *ὅτε* posuit Reiskius.

quod statim occurrit, quod primum venit in mentem. Sic etiam *εὐθύς*.

*πλέον ἢ πεντήκοντα ταλάντων*] Cf. ad orationem *δήμου καταλ. ἀπολ.* §. 23.

47. *ὁ Νικίου οἶκος*] *Οἶκος* grammatici explicant *τὴν πᾶσαν οὐσίαν*, et ita discernunt ab *οἰκία*, quae sit *ἡ ἀφ' ἑνὸς ἢ δυοῖν οἰκουμένη*. De significatione vocabuli *οἶκος* cf. prae ceteris Valckenaer ad Herod. VII. 224.

48. *Καλλίας ὁ Ἱππονίκου*] Multorum ejusdem generis hominum sunt haec nomina. Genealogiam eorum accurate exposuit Boeckhius Staatsh. II. inde a p. 14., unde cognoscimus hunc Calliam tertium esse in familia, *δᾳδοῦχον*, celebrem liberalitate in sophistas, parasitos et *ἑταίρας*. Pauper obiit Ol. CII, 2.

*νεωστὶ ἐτεθνήκει ὁ πατήρ*] Sex et triginta annos ante quam haec oratio habita est. Calliae pater occubuit dux in proelio ad Delion Ol. LXXXIX, 1. Haec autem oratio habita est Ol. XCVIII. ita ut, quum vix pueritiam egressus esset Callias, pater Hipponicus mortem oppetierit.

*ὥς φησι*] Haud scio, cur Markland et Taylor scribi jubeant *ὥς φασι*: ut ajunt. *Ὥς φησι* refertur ad Calliam, qui, ut monui, Ol. demum CII. obiit. Ipse igitur Callias affirmabat avum suum, Calliam secundum, censum habuisse ducentorum talentorum.

ταλάντων ἐτιμήσατο αὐτοῦ ὁ πάππος, τὸ τούτου τοίνυν τίμημ᾽ οὐδὲ δυοῖν ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε, ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα καὶ προςεδοκᾶτο πάμπολλα ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ᾽ αὐτοῦ οὐδαμοῦ δῆλα τὰ χρήματα, ἀλλὰ καὶ οἱ προςήκοντες καὶ οἱ κηδεσταί, παρ᾽ οἷς κατέ-
49 λιπεν, ὁμολογουμένως πένητές εἰσι. φαινόμεθα δὴ καὶ τῶν ἀρχαιοπλούτων πολὺ ἐψευσμένοι καὶ τῶν νεωστὶ παρὰ τὸ εἰκὸς ἐν δόξῃ γεγενημένων. αἴτιον δέ μοι δοκεῖ εἶναι, ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν, ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ ὅσα μὲν περὶ τεθνεώτων λέγουσιν, οὐ πάνυ θαυμάζω (οὐ γὰρ ὑπό

*τὸ τούτου τοίνυν τίμημ᾽ οὐδὲ δυοῖν ταλάντοιν ἐστί*] sic optimus Bekkeri. Vulgo pro *τό* legebatur *τότε* idque junctum antecedentibus *ἐτιμήσατο ὁ πάππος τότε*: quod ne prorsus otiosum esset, Reiskius de conjectura pro *τοίνυν* scripsit *τανῦν*, ut fiat oppositio inter *τότε* et *τανῦν*. Optimam lectionem obtulit optimus codex. Ceterum lenis est in hoc loco anacoluthia ejus generis, cujus frequentissima sunt apud antiquos scriptores exempla. Nempe ab initio enuntiationis positus nominativus *Καλλίας ὁ Ἱππονίκου*, ita ut orator in animo haberet verbum ponere, ad quod *Καλλίας* esset subjectum, v. c. *τιμᾶται οὐδὲ δυοῖν ταλάντοιν*. Quum autem in enuntiatione interjecta jam posuisset verbum *ἐτιμήσατο*, orationis variandae caussa posuit, quod ad sententiam idem est, *τίμημά ἐστι*, sed constructione diversum. Ut tamen constructionis mutatio ne dissimularetur, genitivum pronominis addidit *τούτου*; et *τοίνυν* pro indicio est interruptam enuntiationem alia jam constructione redintegrari. Hoc anacoluthiae genus inter scriptores sacros nulli frequentius excidit quam Paulo Apostolo, epistolas suas dictanti.

*πάμπολλα*] Sic receptum ex C pro vulgato *πάνυ πολλά*.

49. *φαινόμεθα δή*] *Δή* et paulo post *παρὰ τὸ εἰκός* accessit ex optimo libro.

*περὶ τεθνεώτων*] Haec est emendatio Marklandi pro librorum lectione *περὶ τεθνεῶτος*. Ejus necessitas patet ex sequenti *ὑπό γε ἐκείνων*.

*Κλεοφῶντα*] Thressa matre natus in civitatem Atticam obrepsit. Hinc traducitur saepe tanquam barbarus et peregrinus ab Aristophane. Plato comicus fabulam in eum docuit sub Cleophontis nomine. Post Cleonem mortuum plurimum in civitate valuit ab omnibusque *δημοτικώτατος* est habitus. Accuratissime de eo exposuit Meierus de bonis damnat. p. 218 s. not. 211.

*παρ᾽ οἷς κατέλιπεν*] Sc. *τὴν οὐσίαν αὐτοῦ*: apud quos facultates reliquit. Nec enim mortuus quicquam ex re familiari potest auferre. Ergo si quis, dum in vivis erat, vel diligentissime sive divitias sive inopiam celare voluit, post mortem palam fit. Non opinor opus esse reponere, quod Taylor conjecit, *οἷς πάντα κατέλιπεν*.

γε ἐκείνων ἐξελεγχθείεν ἄν), ἀλλ' ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γὰρ ἔναγχος ἠκούετε ἐν 50 τῇ ἐκκλησίᾳ, ὡς Διότιμος ἔχοι τάλαντα τετταράκοντα πλείω ἢ ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν ναυκλήρων καὶ ἐμπόρων λαβεῖν καὶ ταῦτα, ἐπειδὴ ἦλθεν, ἐκείνου ἀπογραφέντος καὶ χαλεπῶς φέροντος, ὅτι ἀπὼν διεβάλλετο, οὐδεὶς ἐξήλεγξε, δεομένης μὲν τῆς πόλεως χρημάτων, ἐθέλοντος δὲ ἐκείνου λογίσασθαι. ἐνθυμεῖσθε 51 τοίνυν, οἷον ἂν ἐγένετο, εἰ Ἀθηναίων ἁπάντων ἀκηκοότων, ὅτι τετταράκοντα τάλαντα ἔχοι Διότιμος, εἶτα ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. εἶτα οἱ προσήκοντες ἂν αὐτοῦ ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ, εἰ ἔδει αὐτοὺς πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδότας μηδὲν τῶν πεπραγμένων. αἴτιοι οὖν εἰσι καὶ ὑμῖν πολλῶν ἤδη ψευσθῆναι, καὶ ἰδίᾳ ἀδίκως τινὰς ῥᾳδίως ἀπολέσθαι, οἱ τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώπους ἐπιθυμοῦντες. ἔπειτ' οἴομαι ὑμᾶς εἰδέναι, 52 ὅτι Ἀλκιβιάδης τέτταρα ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν καὶ νενικηκὼς Λακεδαιμονίους, καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις διδόναι ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν ὥστ' ᾤοντό εἶναί τινες αὐτῷ πλέον ἢ ἑκατὸν τάλαντα. ὁ δ' ἀποθανὼν ἐδήλωσεν, ὅτι οὐκ ἀλη-

50. πλείω ἢ ὅσα - - λαβεῖν] Ἤ, quod Marklandus et Taylor addendum esse intellexerunt, accessit ex C, ex quo etiam in fine accessit λαβεῖν.

51. Ἀθηναίων ἁπάντων ἀκηκοότων] Ἁπάντων, quod Reiskius ex conjectura dederat pro librorum lectione ἀπόντων, confirmavit C; idem habet sequentem accusativum εἰδότας, quem Reiskius de conjectura dederat pro εἰδότες.

ἀδίκως τινὰς] Vulgo post ἀδίκως additur τε, quod Reiskius de suo mutavit in γε. Particula omissa est auctoritate cod. C.

50. ἐκείνου ἀπογραφέντος] Valesius ad Harpocrat. p. 279. scribendum censet ἐπιγραφέντος i. e. quum in tabulas hoc censu illatus esset. Sed ἀπογραφῆναι in jure Attico est verbum proprium de eo, qui accusatur, ut bona, vel eorum pars, publicentur.

51. ἰδίᾳ] Hoc oppositum est antecedenti ὑμῖν, in quo latet notio δημοσίᾳ: vobis, qua δήμῳ; igitur ἰδίᾳ est ratione singulorum, si spectemus singulos quosque civium. Hinc apparet non esse cur Reiskium sequamur, qui scripsit νὴ Δία,

www.libtool.com.cn

μὲν ταῦτα Δήμου, δεομένου δ' ἐμοῦ, μέλλων δ' ἄξειν χρυσίον, τέτταρας δὲ μνᾶς τόκον λήψεσθαι, οὐκ ἔφη εἶναι, ἀλλ' ὤμνυε καὶ προσδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν· ἐπειδὴ ..... ἥδιστ' ἀνθρώπων ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμβολον, καὶ χαρίσασθαι ἡμῖν ἃ ἐδεόμεθα. ὡς δὲ ταῦτ' ἐστιν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

27 Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν Ἀριστοφάνης ἀργύριον, οὐδὲ χρυσίον, ῥάδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων. χαλκώματα δὲ σύμμικτα οὐ πολλὰ ἐκέκτητο. ἀλλὰ καὶ ὅθ' εἱστία τοὺς παρ' Εὐαγόρου πρεσβεύοντας, αἰτησάμενος ἐχρήσατο. ἃ δὲ κατέλιπεν, ἀναγνώσεται ὑμῖν.

ΑΠΟΓΡΑΦΗ ΧΡΗΜΑΤΩΝ.

28 Ἴσως ἐνίοις ὑμῶν, ὦ ἄνδρες δικασταί, δοκεῖ ὀλίγα εἶναι· ἀλλ' ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι Ἀριστοφάνει, πρὶν

26. ἐπειδὴ ..... ἥδιστ' ἀνθρώπων] Lacunam duodecim litterarum habet optimus C. cui ut gratificarer, lacunam notavi. Si enim ipsam enuntiationem consideres, nihil deesse existimabis, nec, opinor, quidquam deest, nisi formula, quam scriptor brevitatis studiosus facile omittit, v. c. εἰ δυνατόν, aut similis. [De infinitivo particulae ἐπειδή et similibus adjuncto vid. quae monuimus in gr. Gr. §. 121. not. 3 et 4. V. C. F. R.].

27. ΑΠΟΓΡΑΦΗ ΧΡΗΜΑΤΩΝ] accessit ex C.

28. ὅτι Ἀριστοφάνει] Vulgo legitur ὅτι πρὶν Νικοφήμῳ ἢ καὶ Ἀριστοφάνει. Quattuor vocabula πρὶν Νικοφήμῳ ἢ καὶ auctore Reiskio deleta sunt. Probabiliter etiam conjicit Bekkerus post νικῆσαι excidisse Κόνωνα. Intelligitur pugna navalis a Conone ad Cnidum facta, quae incidit in initium anni tertii Ol. XCVI.

eique quisque praestabat quod poterat, et fiebat quod ille vellet.

26. δεομένου δ' ἐμοῦ] Quum ego rogarem, ut illum voti compotem faceret.

χρυσίον] h. l. de vase aureo: in genere dicitur de metallo facto. Aristophanes magni aestimabat corpus unum idque pretiosum acquirere loco nummorum, quorum pretium pro temporum locorumque ratione variabat.

27. χαλκώματα σύμμικτα] Χαλκώματα sunt utensilia ex aere facta. Ἀργύριον et χρυσίον igitur id est, quod Pollux X. 174. ἀργυρώματα καὶ χρυσώματα appellat, quibus vocabulis idem testatur Lysiam usum esse in oratione πρὸς Κλέωνα. Σύμμικτα tropicam hic habet significationem: vulgaria, vilia.

αἰτησάμενος] Notant antiqui grammatici medium αἰτεῖσθαι esse χρήσασθαι εἰς ἀπόδοσιν, aliquid petere utendum, quod reddas, quum usus sis, et differre a δανείζεσθαι, ita mutuum rogare, ut sis cum fenore redditurus. Cf. Valckenaer Animadvv. in Ammonium p. 12 s.

www.libtool.com.cn

τὴν ναυμαχίαν νικῆσαι, γῆ μὲν οὐδὲν ἦν ἀλλ' ἢ χωρίδιον μικρὸν Ῥαμνοῦντι. ἐγένετο δὲ ναυμαχία ἐπ' Εὐβούλου ἄρχοντος. ἐν οὖν τέτταρσιν ἢ πέντε ἔτεσι, 29
πρότερον μὴ ὑπαρχούσης οὐσίας, χαλεπόν, ὦ ἄνδρες δικασταί, τραγῳδοῖς τε δὶς χορηγῆσαι ὑπὲρ αὑτοῦ τε καὶ τοῦ πατρός, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι, εἰςφοράς τε πολλὰς εἰςενηνοχέναι, οἰκίαν τε πεντήκοντα μνῶν πρίασθαι, γῆς τε πλέον ἢ τριακόσια πλέθρα κτήσασθαι· ἔτι δὲ πρὸς τούτοις οἴεσθαι χρῆναι ἔπιπλα πολλὰ καταλελοιπέναι. ἀλλὰ οὐδὲ οἱ πάλαι πλούσιοι 30
δοκοῦντες εἶναι ἄξια λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν. ἐνίοτε γὰρ οὐκ ἔστιν, οὐδ' ἐὰν τις πάνυ ἐπιθυμῇ, πρίασθαι τοιαῦτα, ἃ κτησαμένῳ εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν ἂν παρέχοι. ἀλλὰ τόδε σκοπεῖτε. τῶν ἄλλων ὅσων 31

29. *οὐσίας*] Hoc, quod Reiskius ex Schotti conjectura pro librorum lectione *αἰτίας* dederat, confirmavit Bekkeri optimus.

*δὶς χορηγῆσαι*] Certa haec est Reiskii emendatio pro librorum lectione *διαχορηγῆσαι*. Emendationem probant et flagitant verba *ὑπὲρ αὑτοῦ τε καὶ πατρός*: quae item leguntur §. 42. ubi additur summa *πεντακιςχιλίων δραχμῶν*, quam impenderit his choregiis, quae modum solitum excedebat. Sufficiebat enim *χορηγίᾳ*, summa ducentarum et mille drachmarum. Vulgatam tamen retinet Meierus de bonis damn. p. 193. not. 112.

30. *ἄξια λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν*] *Ἄξια* est ex optimo pro vulgato *ἄξιον*. *Ἄν*, quod vulgo deest, obtulit idem et codd. Vindob.

28. *ἐπ' Εὐβούλου ἄρχοντος*] Hoc nomen omnes codd. tenent. Apud ceteros hujus anni archon appellatur Hubulides. Contra codices tamen nihil mutandum, quanquam Meursius aliique voluerunt. Satis enim demonstravit Hemsterhusius ad Luciani Tim. c. 44. non insolens esse, ut primitivum et patronymicum nomen in eadem persona locum obtineant. Sic etiam *κατὰ Νικομάχου* §. 11. *Νικομαχίδης* appellatur, qui semper alias *Νικόμαχος*.

29. *τραγῳδοῖς*] Quum agerentur tragoediae. cf. ad Aeschinem adv. Ctesiph. c. 56.

*οἰκίαν πεντήκοντα μνῶν*] Erat hoc mediocre pretium domus Atheniensis. A pretio trium minarum ad viginti et centum minas accrescit domorum pretium. Collegit exempla Boeckhius Staatsh. I. p. 71 sq. Agrorum pretium cognosces ab eodem ib. p. 67. ss.

ἐδημεύσατε χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀφηρπάσθησαν· ἡμεῖς δέ, ἤδη δεδημευμένων καὶ ἐξεληλυθυίας τῆς ἐμῆς ἀδελφῆς, φύλακα κατεστήσαμεν τῇ ἐμῇ οἰκίᾳ, ἵνα μήτε θυρώματα, μήτε ἀγγεῖα, μήτε ἄλλο μηδὲν ἀπόλοιτο. ἔπιπλα δὲ ἀπεφαίνοντο πλείω ἢ χιλίων δραχμῶν, ὅσα
32 οὐδενὸς πώποτ' ἐλάβετε. πρὸς δὲ τούτοις καὶ πρότερον πρὸς τοὺς συνδίκους καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μὴ ἔχειν τῶν Ἀριστο-

www.libtool.com.cn

31. *ἀφηρπάσθησαν*] Sic jam ante Bekkerum codices optimi et ipsius X. Alter per lapsum calami *ἀφηρπασάσθησαν*. Editiones vulgatae *ἀπεσπάσθησαν*.

*φύλακα*] Singularem obtulit C pro vulgato *φύλακας*; quod fortasse habeas pro plurali hyperbolico.

31. *οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀφηρπάσθησαν*] Perperam reddidit Auger: »Ceterorum, quorum publicastis bona, non solum supellectilem vendidistis, sed etiam fores ab aedibus divulsae sunt«, atque etiam ceteri interpretes vix recte locum intellexisse videntur. Vertendum est: Tantum aberat, ut supellectilem venderetis, ut etiam fores aedium abriperentur. De locutione *οὐχ ὅπως* confer Schaeferum ad Bosii Ell. p. 775. s. Hermannum ad Viger. p. 790. Respicitur ad eum morem, quo propinqui ejus, cujus bona publicabantur, fraude plurima subtrahere et surripere conabantur, non pecuniam solum numeratam summovebant, sed etiam supellectilem, ut nihil restaret aerario vendendum. Quid? quod ex nostro loco cognoscimus fores adeo aedium abreptas fuisse. Cf. Meierum de bonis damn. p. 212 s.

*τῇ ἐμῇ οἰκίᾳ*] Taylor delendum censet *ἐμῇ* eique assentitur Meierus. Reiskius opinatur recte actorem domum suam appellasse, quod in ea causa vertatur, ut ostendat jure suam esse, et injuriam sibi fieri, si ea eripiatur. Quum codices sine ulla varietate *ἐμῇ* teneant, non impugno, quanquam, opinor, actor, si hanc rem in lite pendentem tanquam suam vindicare voluerit, aliquid addidisset, quo hoc per prolepsin dictum esse significaretur. Haec autem ostendunt longe aliter se in publicatione bonorum Aristophanis egisse, quam vulgo fieri solebat. Non solum ipsi a publicatis bonis abstinebant, sed tantum aberat, ut quidquam inde surriperent, ut etiam alios impedirent, quo minus id facerent.

*πλείω ἢ χιλίων δραχμῶν*] Tamen persuasum nobis esse potest verum supellectilis pretium multo majus fuisse, ad minimum duplum. Cf. Boeckh Staatsh. II. p. 25.

32. *πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις*] Pro varietate formularum jurisjurandi sanctitas varia erat. Sub ea, quae sanctissima erat hominibus, intelligitur jusjurandum per liberos. Cf. Platner der Process T. I. p. 223. et der Attische Process p. 688 s.

φάνους χρημάτων, ὀφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελ-
φῆς καὶ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαβὼν παρὰ τοῦ πατρὸς
τοῦ ἐμοῦ. πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι ἢ 33
εἰ τὰ σφέτερ' αὐτῶν ἀπολωλεκότες δοκοῖεν τἀκείνων
ἔχειν; ὃ δὲ πάντων δεινότατον, τὴν ἀδελφὴν ὑποδέξα-
σθαι παιδία ἔχουσαν πολλά, καὶ ταῦτα τρέφειν, μηδ' αὐ-
τοὺς ἔχοντας μηδέν, ἐὰν ὑμεῖς τὰ ὄντ' ἀφέλησθε. φέρε 34
πρὸς θεῶν Ὀλυμπίων· οὕτω γὰρ σκοπεῖτε, ὦ δικα-
σταί· εἴ τις ὑμῶν ἔτυχε δοὺς Τιμοθέῳ τῷ Κόνωνος
τὴν θυγατέρα ἢ τὴν ἀδελφήν, καὶ ἐκείνου ἀποδημή-
σαντος καὶ ἐν διαβολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ
μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τά-
λαντα ἀργυρίου, διὰ τοῦτο ἠξιοῦτε ἂν τοὺς ἐκείνου
καὶ τοὺς προσήκοντας ἀπολέσθαι, ὅτι οὐδὲ πολλοστὸν
μέρος τῆς δόξης τῆς παρ' ὑμῖν ἐφάνη τὰ χρήματα;
ἀλλὰ μὴν τοῦτο πάντες ἐπίστασθε, Κόνωνα μὲν ἄρ- 35
χοντα, Νικόφημον δὲ ποιοῦντα ὅ τι ἐκεῖνος προστάτ-
τοι. τῶν οὖν ὠφελειῶν Κόνωνα εἰκὸς πολλοστὸν μέ-
ρος ἄλλῳ τινὶ μεταδιδόναι· ὥστ', εἰ οἴονται πολλὰ
γενέσθαι Νικοφήμῳ, ὁμολογήσειαν τὰ Κόνωνος εἶναι
πλείονα ἢ δεκαπλάσια. ἔτι δὲ φαίνονται οὐδὲν πώ- 36
ποτε διενεχθέντες, ὥστ' εἰκὸς καὶ περὶ τῶν χρημάτων
ταὐτὰ γνῶναι· ἱκανὰ μὲν ἐνθάδε τῷ υἱεῖ ἑκάτερον

34. διὰ τοῦτο ἠξιοῦτε ἂν] Διὰ τοῦτο obtulerunt Bekkeri codices, Libri antea collati habebant διὰ τοῦτοῦ, unde Reiskius per conjecturam dederat διὰ τοῦτ' οὖν. Simplicior codicum Bekkeri ratio. Ἂν accessit ex C, cui ut optimo codici obediendum erat: quanquam constructionem, omisso etiam ἄν, ab usu Lysiae non abhorrere ostendit Excursus IV.

35. ἀλλὰ μὴν τοῦτο πάντες ἐπίστασθε] Τοῦτο habet Bekkeri optimus. Ceteri τοῦτον, unde Reiskius de conjectura dederat τούτοιν.

36. ταὐτὰ γνῶναι] Ταὐτά, quae Reiskii emendatio est pro vulgato ταῦτα, est etiam in Bekkeri editione sine varietate. Sic etiam ἱκανά, pro quo ante Reiskium erat ἱκανοί.

ὀφείλεσθαι δὲ] Bekkerus mavult ἐνοφείλεσθαι: quod in jure Attico verbum proprium est de argento, quod creditum est ita, ut fundi aut possessiones pignoris loco inscripta sint, quo tutius sit creditum.

35. πολλοστὸν μέρος] Aliqua, sed parva pars, si eam toto conferas. Proportio conspicitur ex eo, quod sequitur. Πολλοστὸν μέρος h. l. est minus quam decuma.

www.libtool.com.cn

καταλιπεῖν, τὰ δὲ ἄλλα παρ' αὑτοῖς ἔχειν. ἦν γὰρ Κόνωνι μὲν υἱὸς ἐν Κύπρῳ καὶ γυνή· Νικοφήμῳ δὲ γυνὴ καὶ θυγάτηρ. ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὅμως
37 σφίσιν εἶναι, ἴσα ὥςπερ καὶ τὰ ἐνθάδε. πρὸς δὲ τούτοις ἐνθυμεῖσθε, ὅτι καὶ εἴ τις μὴ κτησάμενος, ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν τοῖς παισὶ διένειμεν, οὐκ ἐλάχιστα ἂν αὑτῷ ὑπέλιπε. βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι ἔχοντες χρήματα
38 μᾶλλον ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες. νῦν τοίνυν εἰ δημεύσετε τὰ τοῦ Τιμοθέου (ὃ μὴ γένοιτο, εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει), ἐλάττω δὲ ἐξ αὐτῶν λάβοιτ' ἢ ἐκ τῶν Ἀριστοφάνους γεγένηται, τούτου ἕνεκα ἀξιοῖτ' ἂν τοὺς ἀναγκαίους τοὺς ἐκεί-
39 νου τὰ σφέτερ' αὐτῶν ἀπολέσαι; ἀλλ' οὐκ εἰκός, ὦ ἄνδρες δικασταί· ὁ γὰρ Κόνωνος θάνατος καὶ αἱ διαθῆκαι, ἃς διέθετο ἐν Κύπρῳ, σαφῶς ἐδή-

37. *διένειμεν*] Hoc ex Bekkeri codicibus profectum pro vulgato *διένεμεν*. Aoristus hic unice aptus. Plusquamperfecti significationem habet.

38. *εἰ δημεύσετε*] Reiskius de conjectura dedit *δημεύσαιτε*, idque retinuit Bekkerus. Ego vulgatam lectionem revocavi, eam vindicans in Excursu VII.

*ἐλάττω δὲ ἐξ αὐτῶν λάβοιτ' ἢ*] *Δέ* obtulit C pro lectione librorum *ἐάν*: quod aperte corruptum, nisi forte pro *λάβοιτε* scribendum sit *λάβητε*, quod est in cod. Vindob. Ex ea autem, quam optimus codex obtulit, lectione *λάβοιτ'* est alterum membrum protaseos pendens ex *εἰ*. In seq. *ἀξιοῖτ' ἄν* idem cod. obtulit pro vulgato *ἠξιοῦτε*.

66. *ὅμως*] Jacobs Additt. Animadvv. in Athen. p. 141. scribendum existimat *ὁμῶς*. Quod si discrimen a grammaticis nonnullis inter *ὅμως* et *ὁμῶς* traditum verum est, *ὁμῶς* esse i. q. *ὁμοίως*, haec similisve significatio hic locum habet. Verum etiam *ὅμως* eadem significatione usurpatum esse existimo. Cur autem *ὥςπερ* post *ἴσα* Reiskius ut a glossatore additum uncis incluserit, non intelligo. Ut enim interdum simplex *καί* post *ἴσος* sequitur, sic saepe *ἴσος ὥςπερ*, *ὥςπερ καί*.

37. *εἴ τις μὴ κτησάμενος*] Verum enim est, quod Socrates apud Platonem de rep. L. I. c. 4. dicit: *οἱ δὲ κτησάμενοι διπλῇ ἢ οἱ ἄλλοι ἀσπάζονται τὰ χρήματα.*

38. *ἐκείνων δεῖσθαι*] sc. *τῶν παίδων*. Nam, quod natura jubet et quod probi filii sponte faciunt, quo neglecto autem pravi iram divinam excitant, ut diligentem parentum curam habeant, id apud Athenienses lege erat sancitum, si quis vellet esse civis *ἐπίτιμος*.

www.libtool.com.cn

λωσαν, ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα ὧν ὑμεῖς προςεδοκᾶτε. τῇ μὲν γὰρ Ἀθηνᾷ καθιέρωσεν εἰς ἀναθήματα καὶ τῷ Ἀπόλλωνι εἰς Δελφοὺς πεντακιςχι-
λίους στατῆρας· τῷ δὲ ἀδελφιδῷ τῷ ἑαυτοῦ, ὃς ἐφύ- 40
λαττεν αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν Κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμάς· τῷ δὲ ἀδελφῷ τρία τάλαντα· τὰ δὲ λοιπὰ τῷ υἱεῖ κατέλιπε, τάλαντα ἑπτακαίδεκα. τούτων δὲ κεφάλαιον γίγνεται περὶ τετταράκοντα τάλαντα. καὶ οὐδενὶ οἷόν τε εἰπεῖν, ὅτι διηρπά- 41
σθη, ἢ ὡς οὐ δικαίως ἀπεφάνθη. αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν ἤσθετο. καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ μὴν ὁςτιςοῦν, ὦ ἄνδρες δικασταί, πρὶν 42
ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων φήθη ἂν εἶναι. Ἀριστοφάνης τοίνυν γῆν μὲν καὶ οὐσίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, κατεχορήγησε δὲ ὑπὲρ αὐτοῦ καὶ τοῦ πατρὸς πεντακιςχιλίας δραχμάς· τριηραρχῶν δὲ ἀνήλω-
σεν ὀγδοήκοντα μνᾶς· εἰςενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων 43
οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐν Σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς, εἰς δὲ τὸν ἀπόστο-

42. φήθη ἂν] Hoc primus dedit Stephanus, idque est etiam in Bekkeri editione sine varietate. In Reiskiana est lectio antiquior φήθησαν. Sed non, opinor, usitatum ad ὁςτιςοῦν verbum ponere in plurali.
κατεχορήγησε] Haec est emendatio Reiskii pro librorum lectione καὶ ἐχορήγησε. Καταχορηγεῖν autem est in choregiam impendere, et adjunctam videtur habere notionem liberalitatis atque profusionis.

39. πεντακιςχιλίους στατῆρας] Στατήρ erat nummus aureus, quorum singuli pretium habebant viginti drachmarum Atticarum. Ergo πεντακιςχίλιοι στατῆρες aequabant summam 100,000 drachmarum i. e. sedecim talentorum et quadraginta minarum. Jam si addas singulas, quae enumerantur, summas, totum assurgit περὶ τεσσαράκοντα τάλαντα, vel si accurate numerare velis, octo et triginta talenta et viginti minas. Nec obliviscendum pretium staterum, ut summorum aureorum, pro tempore variasse.

41. ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν ἤσθετο] Quanquam mortifero morbo laborans, mente tamen sana ad cuncta attendebat et omnium bene conscius.

42. ἀμφότερα] Τὰ τοῦ Νικοφήμου καὶ τὰ τοῦ Κόνωνος.

www.libtool.com.cn

λον τῶν τριήρων, ὅτε οἱ Κύπριοι ἦλθον, καὶ ἔδοτε αὐτοῖς τὰς δέκα ναῦς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν καὶ τῶν ὅπλων τὴν ὠνὴν παρέσχε τρισμυρίας δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται, μικροῦ
44 λείποντος, πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθε, εἰ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ᾽ αὐτοῦ ἐκείνου, πολλαπλασίων δοκούντων πλέον ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστοφάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός.

45 Ἐγὼ μὲν οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταί, οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπολέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ πρόσθεν χρόνῳ πολλῶν ἐψεύσθητε τῆς οὐσίας, καὶ ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ πο-
46 λὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα

44. εἰ] Hoc obtulit C. pro ceterorum librorum lectione ἐπί, pro quo de conjectura scripserat Reiskius ἐπεὶ majore interpunctione posita ante hoc vocabulum. In lectione vero, quam obtulit codex, enuntiatio erat adjungenda antecedentibus.

δοκούντων] Vulgo δοκούντων εἰ. Reiskius de conjectura δοκούντων εἶναι. Conjunctio abest a Bekkeri codicibus.

45. πρόσθεν] Sic optimus pro vulgato ἔμπροσθεν.

ἐφάνησαν] Quod conjectura restituit Reiskius, confirmavit C. Vulgo ἐφάνη.

43. μικροῦ λείποντος, πεντεκαίδεκα τάλαντα] Si accurate scire velis summam, si singula addideris, invenies esse quattuordecim talenta et dimidium, sive triginta minas.

45. Ἐγὼ μὲν οὐκ ἀξιῶ — — ἡμᾶς ἀπολέσθαι ἀδίκως] Notandus idiotismus linguae Graecae, ex quo negatio, quae sententiam infinitivi afficit, adjuncta est verbo finito, unde infinitivus pendet. Cf. Rost. gr. Gr. §. 135. not. 2.

καὶ ζῶντες μὲν πλουτεῖν ἐδόκουν] Reiskius ex Tayləri conjectura dedit οἱ ζῶντες cet. Quod si omnes codices haberent, non foret rejiciendum; ex conjectura cur restituatur, non intelligo. Verbum ἐδόκουν pendet ex conjunctione ὅτι et subjectum ex antecedente supplendum πολλοί.

46. αὐτίκα] Marklandus recte monuit interpretes in constituenda hujus vocabuli significatione multis locis errasse. Est enim saepe, ut hic, particula, quae enuntiationem antecedentem per exemplum illustrat; verbi causa. Si propius ad primariam vocabuli notionem significationem constituere velis, est: ut afferam

www.libtool.com.cn

Ἰσχομάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλέον ἢ ἑβδομήκοντα τάλαντα, ὡς ἐγὼ ἀκούω. ἐνειμάσθην δὲ τὼ υἱέε οὐδὲ δέκα τάλαντα ἑκατέρῳ ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θάλλου ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων, ἀποθανόντος δ' ἡ οὐσία ἐφάνη περὶ ἕνδεκα τάλαντα. ὁ τοίνυν Νικίου οἶκος προσεδοκᾶτο εἶναι 47
οὐκ ἔλαττον ἢ ἑκατὸν ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον ἦν. Νικήρατος δ' ὅτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν οὐδέν, ἀλλὰ τὴν οὐσίαν, ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάντων. Καλλίας τοίνυν ὁ Ἱππο- 48
νίκου, ὅς, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ, πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆσθαι, καί, ὥς φησι, διακοσίων

46. πλέον ἢ ἑβδομήκοντα τάλαντα] Sic est in editione Bekkeri. Vulgo pro πλέον legitur πλείω. πλέον autem ex nullo codice notat Bekkerus, sed in C ait esse πλεῖον. Πλέον in Lysia frequentissimum; πλεῖον nonnisi ter legitur.

ἐνειμάσθην δὲ τὼ υἱέε] Hoc, quod Reiskius ex conjectura restituerat, confirmavit C. Vulgo ἐνειμάσθην δὲ τῷ υἱεῖ.

48. ὅς, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ] Ὅς, quod in libris post πατήρ collocatum erat, ex conjectura ante ὅτε posuit Reiskius.

quod statim occurrit, quod primum venit in mentem. Sic etiam εὐθύς.

πλέον ἢ πεντήκοντα ταλάντων] Cf. ad orationem δήμου καταλ. ἀπολ. §. 23.

47. ὁ Νικίου οἶκος] Οἶκος grammatici explicant τὴν πᾶσαν οὐσίαν, et ita discernunt ab οἰκία, quae sit ἡ ἀφ' ἑνὸς ἢ δυοῖν οἰκουμένη. De significatione vocabuli οἶκος cf. prae ceteris Valckenaer ad Herod. VII. 224.

48. Καλλίας ὁ Ἱππονίκου] Multorum ejusdem generis hominum sunt haec nomina. Genealogiam eorum accurate exposuit Boeckhius Staatsh. II. inde a p. 14., unde cognoscimus hunc Calliam tertium esse in familia, δᾳδοῦχον, celebrem liberalitate in sophistas, parasitos et ἑταίρας. Pauper obiit Ol. CII, 2.

νεωστὶ ἐτεθνήκει ὁ πατήρ] Sex et triginta annos ante quam haec oratio habita est. Calliae pater occubuit dux in proelio ad Delion Ol. LXXXIX, 1. Haec autem oratio habita est Ol. XCVIII. ita ut, quum vix pueritiam egressus esset Callias, pater Hipponicus mortem oppetierit.

ὥς φησι] Haud scio, cur Markland et Taylor scribi jubeant ὥς φασι: ut ajunt. Ὥς φησι refertur ad Calliam, qui, ut monui, Ol. demum CII. obiit. Ipse igitur Callias affirmabat avum suum, Calliam secundum, censum habuisse ducentorum talentorum.

www.libtool.com.cn

ταλάντων ἐτιμήσατο αὐτοῦ ὁ πάππος, τὸ τούτου τοίνυν τίμημ' οὐδὲ δυοῖν ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε, ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα καὶ προςεδοκᾶτο πάμπολλα ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ' αὐτοῦ οὐδαμοῦ δῆλα τὰ χρήματα, ἀλλὰ καὶ οἱ προςήκοντες καὶ οἱ κηδεσταί, παρ' οἷς κατέλιπεν, ὁμολογουμένως πένητές εἰσι. 49 φαινόμεθα δὴ καὶ τῶν ἀρχαιοπλούτων πολὺ ἐψευσμένοι καὶ τῶν νεωστὶ παρὰ τὸ εἰκὸς ἐν δόξῃ γεγενημένων. αἴτιον δέ μοι δοκεῖ εἶναι, ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν, ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ ὅσα μὲν περὶ τεθνεώτων λέγουσιν, οὐ πάνυ θαυμάζω (οὐ γὰρ ὑπό

τὸ τούτου τοίνυν τίμημ' οὐδὲ δυοῖν ταλάντοιν ἐστί] sic optimus Bekkeri. Vulgo pro τό legebatur τότε idque junctum antecedentibus ἐτιμήσατο ὁ πάππος τότε: quod ne prorsus otiosum esset, Reiskius de conjectura pro τοίνυν scripsit τανῦν, ut fiat oppositio inter τότε et τανῦν. Optimam lectionem obtulit optimus codex. Ceterum lenis est in hoc loco anacoluthia ejus generis, cujus frequentissima sunt apud antiquos scriptores exempla. Nempe ab initio enuntiationis positus nominativus Καλλίας ὁ Ἱππονίκου, ita ut orator in animo haberet verbum ponere, ad quod Καλλίας esset subjectum, v. c. τιμᾶται οὐδὲ δυοῖν ταλάντοιν. Quum autem in enuntiatione interjecta jam posuisset verbum ἐτιμήσατο, orationis variandae caussa posuit, quod ad sententiam idem est, τίμημά ἐστι, sed constructione diversum. Ut tamen constructionis mutatio ne dissimularetur, genitivum pronominis addidit τούτου; et τοίνυν pro indicio est interruptam enuntiationem alia jam constructione redintegrari. Hoc anacoluthiae genus inter scriptores sacros nulli frequentius excidit quam Paulo Apostolo, epistolas suas dictanti.

πάμπολλα] Sic receptum ex C pro vulgato πάνυ πολλά.

49. φαινόμεθα δή] Δή et paulo post παρὰ τὸ εἰκός accessit ex optimo libro.

περὶ τεθνεώτων] Haec est emendatio Marklandi pro librorum lectione περὶ τεθνεῶτος. Ejus necessitas patet ex sequenti ὑπό γε ἐκείνων.

Κλεοφῶντα] Thressa matre natus in civitatem Atticam obrepsit. Hinc traducitur saepe tanquam barbarus et peregrinus ab Aristophane. Plato comicus fabulam in eum docuit sub Cleophontis nomine. Post Cleonem mortuum plurimum in civitate valuit ab omnibusque δημοτικώτατος est habitus. Accuratissime de eo exposuit Meierus de bonis damnat. p. 218 s. not. 211.

παρ' οἷς κατέλιπεν] Sc. τὴν οὐσίαν αὐτοῦ: apud quos facultates reliquit. Nec enim mortuus quicquam ex re familiari potest auferre. Ergo si quis, dum in vivis erat, vel diligentissime sive divitias sive inopiam celare voluit, post mortem palam fit. Non opinor opus esse reponere, quod Taylor conjecit, οἷς πάντα κατέλιπεν.

www.libtool.com.cn

γε ἐκείνων ἐξελεγχθείη ἄν), ἀλλ' ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γὰρ ἔναγχος ἠκούετε ἐν 50
τῇ ἐκκλησίᾳ, ὡς Διότιμος ἔχοι τάλαντα τετταράκοντα πλείω ἢ ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν ναυκλήρων καὶ ἐμπόρων λαβεῖν· καὶ ταῦτα, ἐπειδὴ ἦλθεν, ἐκείνου ἀπογραφέντος καὶ χαλεπῶς φέροντος, ὅτι ἀπὼν διεβάλλετο, οὐδεὶς ἐξήλεγξε, δεομένης μὲν τῆς πόλεως χρημάτων, ἐθέλοντος δὲ ἐκείνου λογίσασθαι. ἐνθυμεῖσθε 51
τοίνυν, οἷον ἂν ἐγένετο, εἰ Ἀθηναίων ἁπάντων ἀκηκοότων, ὅτι τετταράκοντα τάλαντα ἔχοι Διότιμος, εἶτα ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. εἶτα οἱ προσήκοντες ἂν αὐτοῦ ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ, εἰ ἔδει αὐτοὺς πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδότας μηδὲν τῶν πεπραγμένων. αἴτιοι οὖν εἰσι καὶ ὑμῖν πολλῶν ἤδη ψευσθῆναι, καὶ ἰδίᾳ ἀδίκως τινὰς ῥᾳδίως ἀπολέσθαι, οἱ τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώπους ἐπιθυμοῦντες. ἔπειτ' οἴομαι ὑμᾶς εἰδέναι, 52
ὅτι Ἀλκιβιάδης τέτταρα ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν καὶ νενικηκὼς Λακεδαιμονίους, καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις διδόναι ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν· ὥστ' ᾤοντο εἶναί τινες αὐτῷ πλέον ἢ ἑκατὸν τάλαντα. ὁ δ' ἀποθανὼν ἐδήλωσεν, ὅτι οὐκ ἀλη-

**50.** *πλείω ἢ ὅσα - - λαβεῖν*] *Ἢ*, quod Marklandus et Taylor addendum esse intellexerunt, accessit ex C, ex quo etiam in fine accessit *λαβεῖν*.

**51.** *Ἀθηναίων ἁπάντων ἀκηκοότων*] *Ἁπάντων*, quod Reiskius ex conjectura dederat pro librorum lectione *ἀπόντων*, confirmavit C; idem habet sequentem accusativum *εἰδότας*, quem Reiskius de conjectura dederat pro *εἰδότες*.

*ἀδίκως τινὰς*] Vulgo post *ἀδίκως* additur *τε*, quod Reiskius de suo mutavit in *γε*. Particula omissa est auctoritate cod. C.

**50.** *ἐκείνου ἀπογραφέντος*] Valesius ad Harpocrat. p. 279. scribendum censet *ἐπιγραφέντος* i. e. quum in tabulas hoc censu illatus esset. Sed *ἀπογραφῆναι* in jure Attico est verbum proprium de eo, qui accusatur, ut bona, vel eorum pars, publicentur.

**51.** *ἰδίᾳ*] Hoc oppositum est antecedenti *ὑμῖν*, in quo latet notio *δημοσίᾳ*: vobis, qua δήμῳ; igitur *ἰδίᾳ* est ratione singulorum, si spectemus singulos quosque civium. Hinc apparet non esse cur Reiskium sequamur, qui scripsit *νὴ Δία*,

θῆ ταῦτα ἦν. ἐλάττω γὰρ οὐσίαν κατέλιπε τοῖς παισὶν ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάντων παρέλαβεν.

www.libtool.com.cn

53 Ὅτι μὲν οὖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τοιαῦτα ἐγίγνετο, ῥᾴδιον γνῶναι· φασὶ δὲ καὶ τοὺς ἀρίστους καὶ σοφωτάτους μάλιστα ἐθέλειν μεταγινώσκειν. εἰ οὖν δοκοῦμεν εἰκότα λέγειν, καὶ ἱκανὰ τεκμήρια παρέχεσθαι, ὦ ἄνδρες δικασταί, πάσῃ τέχνῃ καὶ μηχανῇ ἐλεήσατε· ὡς ἡμεῖς, τῆς μὲν διαβολῆς οὕτω μεγάλης οὔσης, ἀεὶ προσεδοκῶμεν κρατήσειν μετὰ τοῦ ἀληθοῦς· ὑμῶν δὲ μηδενὶ τρόπῳ ἐθελησάντων πεισθῆναι, οὐδ' ἐλπὶς οὐ-
54 δεμία σωτηρίας ἐδόκει ἡμῖν εἶναι. ἀλλὰ πρὸς θεῶν Ὀλυμπίων, ὦ ἄνδρες δικασταί, βούλεσθε ἡμᾶς δικαίως σῶσαι μᾶλλον ἢ ἀδίκως ἀπολέσαι, καὶ πιστεύετε τούτοις ἀληθῆ λέγειν, οἳ ἂν καὶ σιωπῶντες ἐν ἅπαντι τῷ βίῳ παρέχωσι σώφρονας σφᾶς αὐτοὺς καὶ δικαίους.

55 Περὶ μὲν οὖν αὐτῆς τῆς γραφῆς, καὶ ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, καὶ ὅτι οὐκ ἐξήρκει τὰ ἐκείνου εἰς τὸν ἔκπλουν, ἀλλὰ καὶ ὡς ἄλλοθεν προσεδα-

52. *ἀληθῆ ταῦτα*] Pluralem praebuerunt Bekkeri codices pro vulgato singulari *ἀληθὲς τοῦτο*.
54. *ἀπολέσαι*] Haec est Reiskii emendatio pro librorum lectione *ἀπολέσθαι*. Emendationis veritatem et necessitatem probat oppositio *δικαίως σῶσαι* - *ἀδίκως ἀπολέσαι*. *ὑπὲρ τοῦ ἀδυν.* §. 7. *μὴ τοίνυν, ἐπειδή γε ἔστιν, ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως*.

52. *ἐλάττω γὰρ οὐσίαν κατέλιπε*] Hoc luxui, profusioni et gravi fortunae vicissitudini tribuendum videtur potius, quam quod non oporteret eum multo plus relinquere, quam a tutoribus acceperat. Cf. Boeckh Staatsh. Vol. II. p. 17 s.

53. *πάσῃ τέχνῃ καὶ μηχανῇ*] Formula, quae in genere idem significat quod *παντὶ τρόπῳ*. Cum imperativo juncta, qui exprimit votum, auget precum gravitatem. »Enixe vos oro; oro rogoque, ut misereamini.«

*κρατήσειν*] Fore, ut caussa mea vincat vi veritatis.

*ἐδόκει*] Reiskius non dubitat, quin scribendum sit *δοκεῖ*. Quod si in codd. esset, vix id quisquam rejiceret. Sed contra codd. nil tentandum. Orator enim commemorat, quid sibi rem secum deliberanti visum fuerit, antequam caussam susceperit. Et sane tunc temporis haud inutile erat, si quis non temere actionem institueret, sed diligenter et deliberatione sine partium studio instituta.

55. *ἐκείνου*] Aristophanis, ad quem etiam singularis *προςεδανείσατο* est referendus, qui non erat a Marklando tentandus.

νείσατο, ἀκηκόατε, καὶ μεμαρτύρηται ὑμῖν· περὶ δ' ἐμαυτοῦ βραχέα βούλομαι εἰπεῖν. ἐγὼ γὰρ ἔτη γεγονὼς ἤδη τριάκοντα, οὔτε τῷ πατρὶ οὐδὲν πώποτε ἀντεῖπον, οὔτε τῶν πολιτῶν οὐδείς μοι ἐνεκάλεσεν, ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς οὔτε πρὸς δικαστηρίῳ οὔτε πρὸς βουλευτηρίῳ ὤφθην οὐδεπώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέσθαι. περὶ μὲν ἐμαυτοῦ τοσαῦτα 56
λέγω. περὶ δὲ τοῦ πατρός, ἐπειδὴ ὥσπερ ἀδικοῦντος αἱ κατηγορίαι γεγένηνται, συγγνώμην ἔχετε, ἐὰν λέγω ἃ ἀνήλωσεν εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους. οὐ γὰρ φιλοτιμίας ἕνεκα, ἀλλὰ τεκμήριον ποιούμενος, ὅτι οὐ τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς ἄνευ ἀνάγκης τε πολλὰ ἀναλίσκειν καὶ μετὰ κινδύνου τοῦ μεγίστου ἐπιθυμῆσαι ἔχειν τι τῶν κοινῶν. εἰσὶ δέ τινες οἳ προαναλί- 57
σκοντες, οὐ μόνον τούτου ἕνεκεν, ἀλλ' ἵνα ἄρχειν ὑφ' ὑμῶν ἀξιωθέντες διπλάσια κομίσωνται. ὁ τοίνυν ἐμὸς πατὴρ ἄρχειν μὲν οὐδεπώποτε ἐπεθύμησε, τὰς δὲ χορηγίας ἁπάσας κεχορήγηκε, τετριηράρχηκε δὲ ἑπτάκις, εἰσφορὰς δὲ πολλὰς καὶ μεγάλας εἰσενήνοχεν. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς, καθ' ἑκάστην ἀναγνώσεται.

ΛΕΙΤΟΥΡΓΙΑΙ.

Ἀκούετε, ὦ ἄνδρες δικασταί, τὸ πλῆθος. πεν- 58
τήκοντα γὰρ ἔτη ἐστίν, ὅσα ὁ πατὴρ καὶ τοῖς χρήμασι καὶ τῷ σώματι τῇ πόλει ἐλειτούργει. ἐν οὖν το-

55. *βραχέα βούλομαι εἰπεῖν*] Ante *εἰπεῖν* vulgo additur *ὑμῖν*, quod omissum est auctoritate codicis C. *Βραχέα εἰπεῖν*, quod aliquando (Dinarch. p. 80.) Reiskium nactum est adversarium, frequens est apud Atticos oratores.

*οὔτε τῷ πατρί*] *Οὔτε*, quod Reiskius dedit ex conjectura pro librorum lectione *οὐδέ*, confirmavit idem liber.

57. *οὐ μόνον τούτου ἕνεκεν*] *Μόνου* obtulit C. pro vulgato *μόνον*. *Μόνου τούτου* sc. *τοῦ ἀναλίσκειν ἕνεκα*, quod studio et amore patriae ducantur, de bonis suis ad decus et ad laudem civitatis impendere.

*καθ' ἑκάστην*] Vulgo *καὶ καθ' ἑκάστην*. *Καί* auctoritate cod. C. omissum est.

*ΛΕΙΤΟΥΡΓΙΑΙ*] Titulus accessit ex codice.

*ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς*] Ubi scilicet tribunalia plurima, quanquam non omnia erant. Cf. der Attische Process, p. 147.

www.libtool.com.cn

σούτῳ χρόνῳ δοκοῦντάς τι ἐξ ἀρχῆς ἔχειν οὐδεμίαν εἰκὸς δαπάνην πεφευγέναι. ὅμως δὲ καὶ μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

59 Τούτων συμπάντων κεφάλαιόν ἐστιν ἐννέα τάλαντα καὶ δισχίλιαι δραχμαί. ἔτι τοίνυν καὶ ἰδίᾳ τισὶ τῶν πολιτῶν ἀποροῦσι συνεξέδωκε θυγατέρας καὶ ἀδελφάς, τοὺς δ' ἐλύσατο ἐκ τῶν πολεμίων, τοῖς δ' εἰς ταφὴν παρεῖχεν ἀργύριον. καὶ ταῦτ' ἐποίει ἡγούμενος εἶναι ἀνδρὸς ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι· νῦν δὲ πρέπον ἐστὶ καὶ ὑμᾶς ἀκοῦσαί μου. καί μοι κάλει τὸν καὶ τόν.

ΜΑΡΤΥΡΕΣ.

60 Τῶν μὲν οὖν μαρτύρων ἀκηκόατε· ἐνθυμεῖσθε δὲ, ὅτι ὀλίγον μὲν χρόνον δύναιτ' ἄν τις πλάσασθαι τὸν τρόπον τὸν αὑτοῦ, ἐν ἑβδομήκοντα δὲ ἔτεσιν οὐδ' ἂν εἷς λάθοι πονηρὸς ὤν. τῷ τοίνυν πατρὶ τῷ ἐμῷ ἄλλα μὲν ἄν τις ἔχοι ἐπικαλέσαι ἴσως· εἰς χρήμα-
61 τα δὲ οὐδεὶς οὐδὲ τῶν ἐχθρῶν ἐτόλμησε πώποτε. οὐκ-

58. *ἐν οὖν τοσούτῳ χρόνῳ δοκοῦντάς τι ἐξ ἀρχῆς ἔχειν οὐδεμίαν εἰκὸς δαπάνην πεφευγέναι*] Viri docti locum non recte ceperunt. Marklandus legendum esse censebat: *δοκοῦντά — — οὐδεμίαν οὐκ εἰκός*, hoc sensu: non verisimile est eum, si peculatus reus fuisset, nullam impensam refugisse, quia non sit ejusdem hominis, nulla incumbente necessitate, multa impendere, et simul pecuniam publicam velle surripere. Reiskio autem dubium non est, quin pro *δαπάνην* legendum sit *δίκην*. »Quod si ergo visi fuissemus ex honoribus gestis locupletati fuisse, nos per tempus tam longinquum ne semel quidem in jus vocatos esse probabile?« Quae sententia probabilior fuerit ea, quam habet Marklandus, nisi verissima sit lectio librorum. Orator enim ex eo, quod pater suspicionem excitaverit ex muneribus gestis haud pauca se lucratum esse, concludit patrem multa oportuisse in civitatem impendisse. Aliter enim fieri non potuisse, ut suspicio illa excitaretur. Talis est enim suspiciosorum suique commodi studiosorum mos, quales esse solent plerique, ut opinari non possint liberalem et beneficum quemquam esse, quin tandem cuncta cum uberrimis fructibus ad ipsum redeant.

*μάρτυρας*] Interrogat Reiskius cujus rei? Tandem videt, quid rei sit: testes testari de summis a patre in rempublicam collatis.

60. *πλάσασθαι τὸν τρόπον τὸν αὑτοῦ*] Fingere mores suos, simulare v. c. se liberalem esse et beneficum. Per temporis vero longinquitatem fucata et simulata omnia internoscuntur a sinceris atque veris.

οὐκ ἄξιον τοῖς τῶν κατηγόρων λόγοις πιστεῦσαι μᾶλλον ἢ τοῖς ἔργοις, ἃ ἐπράχθη ἐν ἅπαντι τῷ βίῳ, καὶ τῷ χρόνῳ, ὃν ὑμεῖς σαφέστατον ἔλεγχον τοῦ ἀληθοῦς νομίσατε. εἰ γὰρ μὴ ἦν τοιοῦτος, οὐκ ἂν ἐκ πολλῶν ὀλίγα κατέλιπεν, ἐπεί, εἰ νῦν γε ἐξαπατηθείητε ὑπὸ τούτων, καὶ δημεύσαιθ' ἡμῶν τὴν οὐσίαν, οὐδὲ δύο τάλαντα λάβοιτ' ἄν. ὥστε οὐ μόνον πρὸς δόξαν, ἀλλὰ καὶ εἰς χρημάτων λόγον λυσιτελεῖ μᾶλλον ὑμῖν ἀποψηφίσασθαι· πολὺ γὰρ πλείω ὠφελήσεσθε, ἂν ἡμεῖς ἔχωμεν. σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος χρόνου ὅσα 62
φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν· καὶ νῦν ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγώ, τριηραρχῶν δὲ ὁ πατὴρ ἀπέθανεν, πειράσομαι δ', ὥσπερ ἐκεῖνον ἑώρων, ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς κοινὰς ὠφελείας. ὥστε τῷ γ' ἔργῳ πάλαι ταῦτ' ἐστι, καὶ οὔτ' ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἰήσομαι, ὑμῖν τε πλείους οὕτως αἱ ὠφέλειαι ἢ εἰ δημεύσαιτε. πρὸς δὲ τούτοις ἄξιον 63
ἐνθυμηθῆναι, οἵαν φύσιν εἶχεν ὁ πατήρ. ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλίσκειν, πάντα φανήσεται τοιαῦτα, ὅθεν καὶ τῇ πόλει τιμὴ ἔμελλεν ἔσεσθαι. αὐτίκα ὅτε ἵππευεν, οὐ μόνον ἵππους ἐκτή-

61. ὃν ὑμεῖς] Hanc emendationem Reiskii pro eo, quod antea vulgabatur ὃ νῦν εἰς, confirmavit idem liber.
ὠφελήσεσθε] Sic idem cod. pro vulgato ὠφεληθήσεσθε. Hodie quidem decantatur jam in scholis futurum formae mediae poni pro futuro formae passivae. Sed non obliviscendum quod monet Tib. Hemsterhusius ad Thom. M. p. 852. »Haud levi, inquit, veterum scriptorum familiaritate est opus, ut quis dignoscat, quibus in verbis aut rarius aut nunquam, in quibus crebrius hic usus frequentetur.«
62. ὥστε τῷ γ' ἔργῳ πάλαι ταῦτ' ἐστι] Γ' est ex emendatione Marklandi pro librorum lectione τ'. Post πάλαι autem ὑμέτερα addendum censet Reiskius hoc sensu: »Bona, de quibus nunc jure vobiscum contendo, et fuerunt semper et sunt et erunt bona vestra; tametsi ego ea possidere pergam.« Videtur tamen ex ipso contextu hic sensus elucere, etiamsi non addatur ὑμέτερα.
ὑμῖν τε] Sic primus adjecit Stephanus pro librorum lectione ὑμῖν δέ.

61. ἃ ἐπράχθη ἐν ἅπαντι τῷ βίῳ] Omnis contextus satis docet, de cujus factis sermo sit, ut non probem Marklandum, qui αὐτῷ ante ἐπράχθη excidisse opinatur.

www.libtool.com.cn

σατο λαμπάδας, ἀλλὰ καὶ ἀθλητάς, καὶ ἐνίκησεν Ἰσθμοῖ καὶ Νεμέᾳ ὥστε τὴν πόλιν κηρυχθῆναι καὶ
64 αὐτὸν στεφανωθῆναι. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων τῶν εἰρημένων, βοηθεῖν ἡμῖν, καὶ μὴ περιϊδεῖν ὑπὸ τῶν ἐχθρῶν ἀναιρεθέντας. καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια ψηφιεῖσθε καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.

# ΛΥΣΙΟΥ

## ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩΝ.

### PROOEMIUM.

Magna erat Athenis cura frumenti, quum ob agrorum sterilitatem haud raro male proveniret annona nec unquam sufficeret incolarum multitudini, sed aliunde esset importanda, ejusque caritas inde oriretur. Nec deerant homines, qui ex angustiis publicis lucrum quaerebant, legibus illi, quantum fieri poterat, coercendi, interque eos σιτοπῶλαι, mercatores frumentarii, homines plerumque ex ordine τῶν μετοίκων, qui annonam studebant vexare pretiumque in suam utilitatem adaugere.

Lege igitur cautum erat, ne quis πλείω σῖτον coemeret πεντήκοντα φορμῶν. §. 5. ibique annott. Ea, quae frumentarias migraverant leges, crimina per εἰσαγγελίαν ad senatum quingentorum deferebantur (vide Aug. Matthiae Misc. Philoll. p. 232. cum not. 7.). Huic crimini mors erat poena lege constituta. Pars senatus, irae impetu abrepta, quum caussa σιτοπωλῶν deferretur, eos statim τοῖς ἕνδεκα tradere volebat ad supplicium: cui sententiae is, qui hanc orationem habet, se opposuerat nec destiterat prius quam obtinuisset, ut judicio res quaerenda traderetur. Ut autem rumorem de se sparsum depelleret, quasi hoc ideo fecis-

καὶ ἐνίκησεν] Καί accessit ex C. Reiskius conjiciebat excidisse οἷς.

63. ἀθλητάς] Ἀθληταὶ ἦσαν, qui operae et sumtus impendebant sustinere ad certamina instructi et exercitati, quibus multum opulentiores Atheniensium.

www.libtool.com.cn

gat, ut frumentum [illegible], [illegible] ipse suscepit coram judicio. Primum jubet prodire *σιτοπωλῶν* aliquem, eumque interrogat, num legibus civitatis observandis teneatur *μέτοικος*. Quod quum reus affirmasset, quaerit ex eo, num ea, quam supra posui, lex sit publica et ipse num eam non violaverit. Id reus non negat, sed se plus quinquaginta phormis affirmat jussu magistratuum coemisse. Hanc orator criminis esse ostendit confessionem. Nam si vel jussu magistratuum frumentum contra legem coemissent, num culpa vacarent? communicarent eam potius cum magistratu. Sed mendacium est eos jussu magistratus plus coemisse quam lex permittit. Se enim advocasse *σιτοφύλακας*. cf. 5. annott. Duo se quicquam de ea re scire negabant. Tertius autem, Anytus, superiore hieme, quum esset caritas annonae, hique in damnum civitatis licitando certarent, se eos affirmat, ut desisterent, esse hortatum, seque ut conjungerent, quo minore pretio civitas frumentum ab iis emeret. Ex lege enim nonnisi obolo licere pretium medimni augere. Ex quo eos patet consilio in salutem civium dato abusos hoc anno in damnum civium annonam vexasse. Verum, pergit, hoc non urgebunt, sed se dicent pietate in civitatem ductos frumentum coemisse, ut quam minimo pretio civibus divenderent. Etiam hoc falsum. Nam vel eodem die medimni pretium drachma auxerunt. Iidem vero, quum quid publice conferendum sit, egestatem praetexunt; ea autem, quorum poena mors est, caritate patriae contra leges se fecisse ajunt. At plurimum hi lucrantur, quum nuntio patriae tristi accepto pluris vendunt frumentum, quin etiam ejusmodi nuntios fingunt ipsi. Quare ut improbitatem coerceretis, hujus generis hominum novum magistratum *σιτοφυλάκων* creastis, saepeque factum est, ut etiam ab his, civibus, qui eorum, *μετοίκων*, malitias reprimere non potuissent, summum supplicium sumendum esset. Ne igitur obliviscamini, concludit tandem, si hos condemnaveritis, gratiam vos a mercatoribus inituros, aequitati juris satis facturos et frumenti pretium deminuturos; sin aliter, et mercatorum et civium animos sordidi lucri cupiditas occupabit.

---

Πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, 1
θαυμάζοντες, ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες, ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.

Ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βου- 2
λὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἐλε-

2. *ἀπέδοσαν εἰς τὴν βουλὴν*] Reiskius de suo dederat *ἐπέδοσαν*. Sed *ἀποδιδόναι εἰς* haud rarum est deferre ad aliquem ut judicem cet. Per *εἰσαγγελίαν* haec caussa ad senatum

www.libtool.com.cn

μέν τινες τῶν ῥητόρων, ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον, ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον, νομίζων, εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς
3 ἀκρίτους ἀπολωλέναι. πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν με λέγοντες, ὡς ἐγὼ σωτηρίας οὕνεκα τῆς τῶν σιτοπωλῶν τοὺς λόγους τούτους ἐποιούμην. πρὸς μὲν οὖν τὴν βουλήν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ ἀπελογησάμην. τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων, ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα, ὅτι οὐχ ὑπὲρ τούτων ἔλε-
4 γον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. ἠρξάμην μὲν οὖν τούτων ἕνεκα· δεδιὼς δὲ τὰς αἰτίας, αἰσχρὸν ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅ τι ἂν βούλησθε ψηφίσησθε.

3. *ἀπελογησάμην*] Hoc, quod Reiskius de conjectura dederat pro *ἀπελογισάμην*, est etiam in editione Bekkeri sine varietate. Sensus est: ad senatum contra ea, quae mihi a senatu objiciebantur, me scilicet, ut *σιτοπώλας* servem, ne *τοῖς ἕνδεκα* tradantur, obniti, facto me defendi, ostendens me non in hominum favorem obniti, sed ut legum sanctitati opem feram.

quingentorum erat delata. Cf. Schoemann de com. p. 198.

*τοῖς ἕνδεκα παραδοῦναι*] Haec est phrasis propria, etiam absolute posita, tradere undecimviris, ut poena vel legibus vel judicio imposita convictum aut damnatum afficiant. Hic additum habemus *θανάτῳ ζημιῶσαι*: ad quod non erat cur Taylor addendum censeret *ὥστε*. Haec enim conjunctio ad infinitivum saepe omittitur. Vide Bosii Ellips. p. 783. s. Schaef.

*οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια*] Nescio cur Reiskio *ἡμῶν* sit offendiculo idque delendum censeat, ut natum ex *ἧττον*. Qui hanc orationem habet, erat eo tempore *βουλευτής*, et ad *βουλὴν* erat, ut jam vidimus, haec caussa delata; *ἡμῶν* igitur est *τῶν βουλευτῶν*. Judices autem, apud quos jam res agebatur, erant *ἐκ τῶν ἑξακισχιλίων* sorte ducti.

3. *ἐπεχείρουν*] Interrogat Reiskius quinam? Nec satis potest ipse ad quaestionem respondere. Dubium non est, quin subjectum sit *τινὲς τῶν βουλευτῶν*, ii nempe, qui *σιτοπώλαις* indignati eos tradere voluerunt *τοῖς ἕνδεκα* ad supplicium.

4. *δεδιὼς δὲ τὰς αἰτίας*] Metuens calumnias, rumores sparsos, qui facile fidem apud credulam plebem inveniunt, me arte et dolo frumentarios justae poenae eripuisse.

www.libtool.com.cn

Καὶ πρῶτον μὲν ἀνάβηθι, καὶ εἰπέ σύ μοι, μέτοικος εἶ; Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς πεισόμενος. Ἄλλο τι οὖν ἀξιοῖς ἢ ἀποθανεῖν, εἴ τι πεποίηκας παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία; Ἔγωγε. Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει. Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην. 5

5. πρῶτον μὲν ἀνάβηθι, καὶ εἰπὲ σὺ ἐμοί] Cf. κατὰ Ἐρατοσθ. §. 24. ss.

Ἄλλο τι οὖν ἀξιοῖς ἢ ἀποθανεῖν;] Ἄλλο τι aliquando solum, vel, adjecto ἤ, ἄλλο τι ἤ, aliquando, ut hic, ἢ per verbum separato ab ἄλλο τι, est formula interrogandi plerumque exprimens Latinorum nonne? Hinc responsio ἔγωγε. Cf. Heindorf ad Plat. Phaedon. §. 126. Matthiae gr. Gr. p. 675. Sluiter Lectt. Andd. p. 140. Reiskius locutionem non ut formulam, quae usu certam significationem habet, accipiens, sed pro singulorum vocabulorum vi, de suo scripsit ἄλλο τι οὖν οὐκ ἀξιοῖς cet.

πεντήκοντα φορμῶν] Φορμός a φέρω est sporta viminea, mensurae genus fortasse certum, fortasse incertum, tantum quantum homo ferre valebat. Certum quod novimus mensurae genus, medimnus; pendebat libras octoginta vel nonaginta. Φορμός fortasse similis mensura; quanquam nihil prohibet, quominus etiam major esset, dupla etiam; tanto enim oneri ferendo pares sunt viri humeri, quemadmodum apud nos in uno sacco interdum a viris robustis per aliquod spatium medimni duo, quos appellamus Mutt, feruntur. Si tamen φορμός erat sporta, qua vulgo triticum portabatur, qua videmus etiam bajulos in itineribus exercitum sequentes usos esse, vix multo plus capiebat medimno.

τῶν ἀρχόντων] Per ἄρχοντας h. l. intelliguntur, qui suo nomine σιτοφύλακες appellantur §. 16. Eo tempore, quo haec caussa agebatur, tres numero fuisse cognoscimus ex §. 8. Ibi enim primum sermo est de duobus: οἱ μὲν δύο. Tum additur tertius proprio nomine Ἄνυτος. Posteriore tempore eorum numerus auctus, ut videmus ex Harpocratione: Σιτοφύλακες· ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο, ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. Ἦσαν δὲ τὸν ἀριθμὸν πεντεκαίδεκα, δέκα (hoc, quod vulgo deest, recte addendum censet Valesius) μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Et aucto numero opus fuisse vel ex hac oratione probabile fit. Patet enim, quam difficile et operosum fuerit eorum munus, quum mercatores fraudibus et dolis omnis generis uterentur, populus autem in annonae caritate σιτοφύλαξι graviter succenseret, adeo ut eos, quum clandestinas fraudes non cavissent (quod in hac numeri paucitate difficillimum erat), vel morte damnaret.

www.libtool.com.cn

6 Εἰ μὲν τοίνυν ἀποδείξει, ὦ ἄνδρες δικασταί, ὡς ἔστι νόμος, ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον, ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

7 Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἱκανὴν εἶναι ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι· ὅμως δ' ἵνα πεισθῆτε, ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν.
8 ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας ἠρωτῶμεν. καὶ οἱ μὲν δύο οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος· Ἄνυτος δ' ἔλεγεν, ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος ἦν ὁ σῖτος, τούτων ὑπερβαλλόντων ἀλλήλους καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονικοῦσιν, ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις, ὡς ἀξιώτατον τούτους πρίασθαι· δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον πωλεῖν τιμιώτερον.
9 ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτούς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε

7. χρῆν] Haec est Reiskii emendatio pro librorum lectione χρή, in quod saepissime illud a librariis corruptum est. Sic legi postulat oppositio ὅμως ἀνάγκη.

8. ἠρωτῶμεν] Hanc emendationem Taylori confirmavit C. Editiones habebant ἠρώτησα μέν, codices nonnulli ἠρώτων μέν.

8. ἀξιώτατον] Ἄξιον, dicunt glossographi, παρὰ τοῖς Ἀττικοῖς εὔωνον. Cf. intpp. ad Moerin. p. 56. s.

9. καταθέσθαι] Κατατίθεσθαι in genere esse custodiendum seu servandum tradere docuit Valckenaer ad Herodot. VI. 73. H. l. autem est frumentum in granariis recondere et ad tempus caritatis reservare.

www.libtool.com.cn

τοὺς λόγους, οὗτοι δ' ἐπίτηδες συνωνούμενοι φαίνονται.

## ΜΑΡΤΥΣ.

Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε. ἡγοῦμαι δ', ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὐτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους, καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν; 10

Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οἴομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον 11

οὗτοι δ' ἐπίτηδες συνωνούμενοι φαίνονται] Num ἐπίτηδες verum esse possit, dubium. Significare oportet hoc anno. Τῆτες autem, quod ab Aristophane plus semel usurpatur, glossographi explicant ἐπ' ἔτος. Scholiastes ad Acharn. v. 15. οἱ Δωριεῖς, addit, διὰ τοῦ δ λέγουσι τῆδες. Unde compositum esse oporteret ἐπίτηδες. Reiskius scripsit ἐπὶ τῆτες: in quo tum ipsum vocabulum, tum addita praepositio dubitationem facit. Ἐπίτηδες idem esset quod τητινόν: quod Anecdd. Bekkeri p. 66. explicant ἐπέτειον. Ἀττικώτερον μὲν τὸ τητινόν· εἴρηται μέντοι καὶ ἐπέτειον. Simplicissimum fuerit quod Bekkerus conjecit: ἐπὶ τῆςδε vel ἔτ' ἐπὶ τῆςδε. Sed mutatio a librariorum parte non probatur.

10. ἂν ὡς μάλιστα cet.] Locum quamvis minime difficilem, fuerunt tamen, qui non intelligerent. Sensus est: Si vel maxime de his vera dicant, eos tamen non existimo ita se culpa liberaturos, sed cum his culpam communicaturos; poena enim dignos esse utrosque, et illos, qui certis legibus et notis obsequium non praestiterint, et eos, qui jusserint ea fieri, quae legibus sunt contraria.

11. ἐλεύσεσθαι] Pollux L. V. 155. εἶμι, ἥξω, ἀφίξομαι· τὸ δὲ ἐλεύσομαι Ὅμηρος μὲν εἶπεν, οὐδεὶς δὲ τῶν καταλογάδην δοκίμων. Eadem docent alii, grammaticorum optimi; et veram esse observationem docet usus. Aetas Alexandrina et sequiora tempora hoc futurum usurpare coeperunt, ut fere assentiaris Elmslejo, qui ad Eurip. Heracl. v. 210. hunc locum librariorum culpa depravatum esse existimat. Cf. Lobeck ad Phryn. p. 37. s.

www.libtool.com.cn

12 τεκμήριον, ὅτι ψεύδονται. ἐχρῆν γὰρ αὐτούς, εἴπερ
ὑμῶν ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς
τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημέ-
νος αὐτοὺς ἐπέλιπε· νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας
ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον
συνωνούμενοι· καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι.
13 δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ, ὅταν μὲν εἰςφορὰν εἰς-
ενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ
ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται, ἐφ' οἷς δὲ
θάνατός ἐστιν ἡ ζημία, καὶ λαθεῖν αὐτοῖς συνέφερε,
ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καί-
τοι πάντες ἐπίστασθε, ὅτι τούτοις ἥκιστα προςήκει
τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς
καὶ τοῖς ἄλλοις συμφέρει. τότε γὰρ πλεῖστα κερδαί-
νουσιν, ὅταν, κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει,
14 τίμιον τὸν σῖτον πωλῶσιν. οὕτω δ' ἄσμενοι τὰς συμ-
φορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥςτε τὰς μὲν πρότεροι
τῶν ἄλλων πυνθάνονται, τὰς δ' αὐτοὶ λογοποιοῦσιν
ἢ τὰς ναῦς διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ
Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι, ἢ τὰ ἐμπό-
ρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀποῤῥηθήσε-
15 σθαι, καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥςτ' ἐν τού-
τοις τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷςπερ οἱ
πολέμιοι. ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμε-

14. τὰς δ' αὐτοὶ λογοποιοῦσιν] *Αὐτοὶ* est emendatio Marklandi pro librorum lectione *οὗτοι*. *Λογοποιεῖν* est in genere fingere.

13. ἣν πάντες εἴσεσθαι μέλλουσιν] Quam praestitam esse omnibus innotescet: quae quum a civibus, quales esse solent, aegre praestetur, certum et indubitabile erat a partibus *μετοίκων* argumentum *τῆς εὐνοίας εἰς τὴν πόλιν*.

14. ἐν τῷ Πόντῳ] Pontus tanquam horreum erat imprimis Athenarum et plurimum inde frumenti Athenas advehebatur. Cf. F. A. Wolfium ad Leptin. p. 252. b.

15. ἐν οἷςπερ οἱ πολέμιοι] Reiskius de suo scripsit *ἐν οἷςπερ οὐδ' οἱ πολέμιοι*, »re ipsa, inquit, id subjiciente, et praeterea illa proxima *εἰρήνης οὔσης* confirmant.« Mihi secus videtur. Tempora belli sunt mercatoribus frumenti exoptatissima. Annonam tum incendi novimus omnes, qui bella sumus experti. Plus enim absumitur, multum etiam perit. — Quod autem *εἰρήνης οὔσης* sequitur, bene habet. Quum enim bellum natura sua annonae caritatem secum ferat, eam, pace

σοι, ἀναρπάζουσιν οὗτοι, καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν ἂν ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν· ὥστ' ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα.
16 οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας ἀποκληροῦτε· καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς οὐ δυναμένους φυλάττειν ἀποκτείνετε;

17 Ἐνθυμεῖσθαι δὲ χρή, ὅτι ἀδύνατον ὑμῖν ἐστιν ἀποψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβουλεύειν τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν (ἐφ' ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν), νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε;
18 ἀναμνήσθητε δέ, ὦ ἄνδρες δικασταί, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν, καὶ μάρτυρας παρεχομέ-

18. *ἐχόντων ταύτην τὴν αἰτίαν*] Vulgo post *αἰτίαν* additur *λαμβάνειν*, quod primus recte vidit Marklandus delendum esse, idque restituta, arte prorogare student frumentarii, et novimus per aliquod tempus iis id succedere.

*ἀναρπάζουσιν οὗτοι*] Verbum notat rapiditatem hominum; qua, ut ita dicam, singulis granis inhiant, septemque pessulos obdunt, ut ne quisquam quid inde capiat, donec pretium immensum factum sit.

16. *ἀγορανόμους*] Harpocration: *Ἀγορανόμοι οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. — Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ κληροῦσθαί φησι πέντε μὲν εἰς Πειραιᾶ, πέντε δὲ εἰς ἄστυ.*

*πολιτῶν ὄντων*] Qui si culpa ipsi vacent, nec tamen possint improbitatem et fraudem *μετοίκων* coercere, auxilio potius et venia digni sunt, improbi autem *μέτοικοι*, superbi legum contemtores, summo supplicio afficiendi. Hos enim, qui accusantur, *σιτοπώλας*, ut plurimos ceterorum, *μετοίκους* fuisse videmus.

17. *ὁποτέροις βούλεσθε*] Actori, an reo. Si utraeque partes sibi repugnent, penes judices est discernere, utrae vera dicant.

www.libtool.com.cn

τῶν, θάνατον καταγνῶτε, πιστοτέρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. καίτοι πῶς ἂν οὐ θαυμαστὸν εἴη, εἰ, περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες, μᾶλλον ἐπιθυμεῖτε παρὰ τῶν ἀρνουμένων δίκην λαμ-
19 βάνειν; καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, πᾶσιν ἡγοῦμαι φανερὸν εἶναι, ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι τυγχάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται, ἥντινα γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἂν μὲν θάνατον αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς· ἂν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅ τι ἂν βού-
20 λωνται. χρὴ δέ, ὦ ἄνδρες δικασταί, μὴ μόνον τῶν παρεληλυθότων ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος ἕνεκα τῶν μελλόντων ἔσεσθαι· οὕτω γὰρ ἔσονται μόγις ἀνεκτοί. ἐνθυμεῖσθε δ' ὅτι ἐκ ταύτης τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματός εἰσιν ἠγωνισμένοι· καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν ἢ παύσασθαι παρ' ὑμῶν ἀδίκως κερδαί-
21 νοντες. καὶ μὲν δή, οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν, οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον, καὶ τοὺς ἐμπόρους, ἐφ' οἷς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε καὶ προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες· εἰ δὲ μή, τίν' αὐ-

uncis inclusit Bekkerus, ego prorsus delevi. *Αἰτίαν ἔχειν* non solum de eo dicitur, in quem crimen cum veritate conjicitur, sed etiam de eo, cui, quanquam falso, aliquid crimini vertitur.

18. *μᾶλλον παρὰ τῶν ἀρνουμένων*] Supple *ἢ παρὰ τῶν ὁμολογούντων.*

20. *περὶ τῆς ψυχῆς κινδυνεύειν*] Tanta est auri sacra fames.

21. *οἷς ὑμεῖς χαριεῖσθε καὶ προθυμοτέρους ποιήσετε*] Si in enuntiationibus relativis duae conjunguntur locutiones, quae diversam habent constructionem, nomen, cujus notio ad utrumque verbum pertinet, semel nonnisi ponitur, et plerumque construitur ad primum, interdum tamen etiam ad alterum. Cf. Heindorf ad Plat. Prot. §. 5. Matthiae gr. Gr. §. 428.

τοὺς λόγους, οὗτοι δ' ἐπίτηδες συνωνούμενοι φαίνονται.

ΜΑΡΤΥΣ.

Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευ- 10
σθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε. ἡγοῦμαι δ', ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὑτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους, καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν;

Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οἴομαι αὐτοὺς 11
ἐπὶ μὲν τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον

*οὗτοι δ' ἐπίτηδες συνωνούμενοι φαίνονται*] Num ἐπίτηδες verum esse possit, dubium. Significare oportet hoc anno. Τῆτες autem, quod ab Aristophane plus semel usurpatur, glossographi explicant ἐπ' ἔτος. Scholiastes ad Acharn. v. 15. οἱ Δωριεῖς, addit, διὰ τοῦ δ λέγουσι τῆδες. Unde compositum esse appareret ἐπίτηδες. Reiskius scripsit ἐπὶ τῆτες: in quo tum ipsum vocabulum, tum addita praepositio dubitationem facit. Ἐπίτηδες idem esset quod τητινόν: quod Anecdd. Bekkeri p. 66. explicant ἐπέτειον. Ἀττικώτερον μὲν τὸ τητινὸν εἴρηται, μέντοι καὶ ἐπέτειον. Simplicissimum fuerit quod Bekkerus conjecit: ἐπὶ τῆςδε vel ἔτ' ἐπὶ τῆςδε. Sed mutatio a librariorum parte non probatur.

10. *ἂν ὡς μάλιστα* cet.] Locum quamvis minime difficilem, fuerunt tamen, qui non intelligerent. Sensus est: Si vel maxime de his vera dicant, eos tamen non existimo ita se culpa liberaturos, sed cum his culpam communicaturos: poena enim dignos esse utrosque, et illos, qui certis legibus et notis obsequium non praestiterint, et eos, qui jusserint ea fieri, quae legibus sunt contraria.

11. *ἐλεύσεσθαι*] Pollux L. V. 155. εἶμι, ἥξω, ἀφίξομαι· τὸ δὲ ἐλεύσομαι Ὅμηρος μὲν εἶπεν, οὐδεὶς δὲ τῶν καταλογάδην δοκίμων. Eadem docent alii, grammaticorum optimi; et veram esse observationem docet usus. Aetas Alexandrina et sequiora tempora hoc futurum usurpare coeperunt, ut fere assentiaris Elmsleio, qui ad Eurip. Heracl. v. 210. hunc locum librariorum culpa depravatum esse existimat. Cf. Lobeck ad Phryn. p. 37. s.

www.libtool.com.cn

[illegible] accepisse disertis verbis tradit Diodorus Sic. XV. 46.

Pancleo quidam civem Atheniensem per longum tempus contumeliis affecerat. Atheniensis, opinans Pancleonem, qui in officina fullonia operam navabat, *μέτοικον* esse, querelas deferebat ad Polemarchum, ad quem pertinebant caussae *μετοίκων*. Pancleo exceptione utebatur se esse Plataeensem. Actore interrogante, cujus demi esset, Deceleae se esse inscriptum respondebat. Tum actor rem detulit ad diaetetas tribus Hippothoontidis, cujus demus erat Decelea, et in tonstrinam se conferens prope porticum Hermarum, quam frequentare solebant Deceleenses, interrogat, num quem nossent *δημότην* Pancleona. Negabant illi: sed hujus nominis hominem variis caussis implicitum esse et fuisse apud Polemarchum. Hinc etiam ego eum vocavi ad Polemarchum. Quum iterum exceptione fori uteretur, actor adiit Euthycritum, Plataeensium natu maximum, interrogavitque eum, num quem nosset Hipparmodori filium, Pancleona Plataeensem. Respondit hic se nosse Hipparmodorum, eum vero non habere filium. Idem affirmabant etiam ceteri, qui aderant, Plataeenses; simulque suadebant, ut, si rem accurate vellet cognoscere, postremo mensis die se conferret ad forum casearium, ubi hoc die convenire solerent Plataeenses.

Huc itaque venit stato die. Nemo noverat Pancleonem Plataeensem, sed quidam eorum (Nicomedes) servum sibi esse dicebat hoc nomine fugitivum. Paucis diebus post videbat actor Pancleonem a Nicomede arreptum. Tunc accesserunt quidam Pancleoni familiares, affirmantes fratrem esse, qui eum vindicaturus sit in libertatem. Cujus rei vadimonium quum praestitissent, Nicomedes Pancleona liberum dimisit. Postridie, actor, aderam, inquit, ut cognoscerem, quid rei esset. At nec frater venit nec quisquam alius; sed femina affirmans suum Pancleona esse servum nec se eum Nicomedi concessuram. Quae dum cum Nicomede altercabatur, Pancleo a familiaribus quibusdam abductus est. Hinc patet eum non solum non Plataeensem, sed ne ingenuum quidem esse, quum familiares in discrimen caussae de violentia illata dicendae conjicere maluit, quam coram judicio ab iis, qui se in servitutem egissent, poenam repetere. Quid? quum aliquando testis juratus negaret eum Plataeensem esse, huic quidem testi denuntiabat falsi testimonii actionem, verum eam non est persecutus, sed Thebas aufugit, quod, si Plataeensis esset, nunquam fecisset. Plataeenses enim Thebanos, ut principes auctores et concitatores malorum, quae perpessi fuerant, summo jure et oderant et detestabantur.

---

1 Πολλὰ μὲν λέγειν, ὦ ἄνδρες δικασταί, περὶ τουτουὶ τοῦ πράγματος οὔτ' ἂν δυναίμην, οὔτε μοι δοκεῖ δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τούτῳ Παγκλέωνι, οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖξαι.

2 Ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλ-

www.libtool.com.cn

θὼν ἐπὶ τὸ γναφεῖον, ἐν ᾧ εἰργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου, ὅτι Πλαταιεὺς εἴη, ἠρόμην, ὁπόθεν δημοτεύοιτο, παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι καὶ πρὸς τὴν φυλὴν, ἥστινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο, ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν καὶ πρὸς τοὺς τῇ Ἱπποθοωντί-
3 δι δικάζοντας, ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς, ἵνα οἱ Δεκελεῖς προσφοιτῶσιν, ἠρώτων, οὕς τε ἐξευρίσκοιμι Δεκελέων ἐπυνθανόμην, εἴ τινα γιγνώσκοιεν Δεκελειόθεν δημοτευόμενον Παγκλέωνα. ἐπειδὴ δὲ οὐδεὶς ἔφασκεν γιγνώσκειν αὐτόν, πυθόμενος, ὅτι καὶ ἑτέρας δίκας τὰς μὲν φεύγοι, τὰς δ' ὠφλήκοι παρὰ τῷ πολεμάρχῳ, ἔλαχον καὶ ἐγώ.

2. *ἐλθὼν ἐπὶ τὸ γναφεῖον*] Ἐπὶ h. l. non est quod εἰς. Nam si πρόσκλησιν accuratius consideramus, videmus τὸν προσκαλεσάμενον non domum intrasse (sua enim domus sanctum erat cuique perfugium), sed ad domum stetisse et quem volebat evocasse. Nempe si quis accusare quempiam in animo habebat, adibat ad magistratum, ad quem caussa illa proxime pertinebat, eamque, quae qualisque esset, exponebat. Tum advocatis amicis, qui testium loco essent legitimae citationis (κλητῆρας appellabant), per eos in certum diem reum in jus vocabat. Qui per κλητῆρας alium in jus vocabat, proprie dicebatur προσκαλέσασθαι. Vide Matthiae Misc. Philoll. p. 257. s.

*ὁπόθεν δημοτεύοιτο*] Harpocration s. v. δημοτευόμενος. Δημοτεύεσθαί ἐστι τὸ τοῦδέ τινος δήμου μετέχειν καὶ χρηματίζειν ἀπ' αὐτοῦ. Ὁπόθεν vi derivationis proprie originem spectat; unde, Sed tum apud poetas, tum apud prosae scriptores interdum derivata per θεν habitum in loco significant, et ut πόθεν haud raro significat idem quod ποῦ, sic h. l. ὁπόθεν i. q. ὅπου. Illud autem eo facilius, quoniam multa etiam demorum nomina syllabam θεν assumunt, ut δημότης indicetur. Sic qui ad hanc quaestionem ὁπόθεν δημοτεύοιτο respondet, ait Δεκελειόθεν.

*πρὸς τοὺς τῇ Ἱπποθοωντίδι δικάζοντας*] Intelligit διαιτητὰς τῆς Ἱπποθοωντίδος φυλῆς. Singulae tribus suos habebant diaetetas, si Ulpiano fides ad Demosthenis Mid. p. 542. R. p. 342. Par., τέσσαρας καὶ τετταράκοντα. Non improbabilis tamen Heraldi conjectura, qui τετταράκοντα praeponit et existimat hanc summam fuisse omnium tribuum; tum singularum numerum indicari vocabulis τέσσαρες καθ' ἑκάστην φυλήν, sic, ut Ulpianus scripserit: ἦσαν δὲ τετταράκοντα, τέσσαρες καθ' ἑκάστην φυλήν. Cf. Hudtwalcker de Diaetetis p. 3. ss.

3. *τὸ παρὰ τοὺς Ἑρμᾶς*] Porticus erat τῶν Ἑρμῶν dicta. Harpocration: Ἀπὸ τῆς Ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι· διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ὑπὸ ἀρχόντων ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν.

Πρῶτον μὲν οὖν ὑμῖν Δεκελέων οὓς ἠρόμην μάρτυρας παρέξομαι, ἔπειτα δὲ καὶ τῶν ἄλλων, τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

5 Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον αὐτῷ τὴν δίκην ἔλαχον, ἐπειδὴ δέ μοι αὐτὴν ἀντεγράφατο μὴ εἰσαγώγιμον εἶναι, περὶ πολλοῦ ποιούμενος μηδενὶ δόξαι ὑβρίζειν μᾶλλον βούλεσθαι ἢ δίκην λαβεῖν ὧν ἠδικήθην, πρῶτον μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε Πλαταιέων ἐγίγνωσκον, καὶ μάλιστα ᾤμην εἰδέναι, ἠρόμην, εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου υἱὸν
6 Παγκλέωνα Πλαταιέα· ἔπειτα δέ, ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι, ὅτι τὸν Ἱππαρμόδωρον μὲν γιγνώσκοι, υἱὸν δὲ ἐκείνῳ οὐδένα, οὔτε Παγκλέωνα, οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα, ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν Πλαταιέας ὄντας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέστατα ἂν ἔφασάν με πυθέσθαι, ἐλθόντα εἰς τὸν χλωρὸν τυρὸν τῇ ἔνῃ καὶ νέᾳ. ταύτῃ

4. *καί μοι ἐπίλαβε τὸ ὕδωρ*] Dum testimonia actaque in causis legebantur, aqua dicenti assignata inhibebatur, et haec ipsa formula sollemnis est apud omnes oratores: *καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

5. *ἀντεγράφατο*] *Ἀντιγράφεσθαι* glossographi explicant *ἀντιδικάζεσθαι*, *ἀντικατηγορεῖν*. Is enim dicitur in genere *ἀντιγράφεσθαι*, qui accusationem contraria actione repellit. Nam h. l. actor Pancleona apud Polemarchum ob contumelias accusabat, opinans eum esse *μέτοικον*. Querelae enim de *μετοίκοις* ad Polemarchum deferebantur. Pancleo contra affirmabat, se apud Polemarchum accusari non posse; se enim Plataeensem esse, non *μέτοικον*.

6. *εἰς τὸν χλωρὸν τυρὸν*] Attici loca iisdem nominibus appellare solebant, quibus res significantur, quae in eo loco aut frequentes erant aut vendebantur. Pollux IX. 47. *οἱ Ἀττικοὶ ὠνόμαζον τοὺς τόπους ἐκ τῶν πιπρασκομένων, ὡς εἰ φαῖεν· ἀπῆλθον εἰς τοὔψον καὶ εἰς τὸν οἶνον καὶ εἰς τοὔλαιον καὶ εἰς τὰς χύτρας. καὶ κατὰ τὸν Εὔπολιν· περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα καὶ τὸν λιβανωτὸν καὶ εὐθὺ ἀρωμάτων καὶ περὶ τὰ γέλγη.* Similia X. 19, ubi nostrum addit *καὶ εἰς τὸν χλωρὸν τυρόν*.

*τῇ ἔνῃ καὶ νέᾳ*] *Νουμηνία*, quod nos novilunium, Neumond, appellamus, erat Atheniensibus is dies, quo prima, quamvis perexigua pars crescentis lunae vespere post occasum solis aliquantisper observabatur. Atque ab eo die novum illi mensem numerabant. Nos-

γὰρ τῇ ἡμέρᾳ τοῦ μηνὸς ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς Πλαταιέας. 7 ἐλθὼν οὖν εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα πολίτην σφέτερον. καὶ οἱ μὲν ἄλλοι οὐκ ἔφασαν γιγνώσκειν, εἷς δέ τις εἶπεν, ὅτι τῶν μὲν πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα, δοῦλον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι Παγκλέωνα, τήν τε ἡλικίαν λέγων τὴν τούτου, καὶ τὴν τέχνην, ᾗ οὗτος χρῆται. 8 ταῦτ' οὖν ὡς ἀληθῆ ἐστι, τόν τε Εὐθύκριτον, ὃν πρῶτον ἠρόμην, καὶ τῶν ἄλλων Πλαταιέων ὅσοις προςῆλθον, καὶ τόν, ὅς ἔφη δεσπότης τούτου εἶναι, μάρτυρας παρέξομαι. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

9 Ἡμέραις τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον, ἰδὼν ἀγόμενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους, ὃς ἐμαρτύρησεν αὐτοῦ δεσπότης εἶναι, προςῆλθον, βουλόμενος εἰδέναι, ὁποῖόν τι περὶ αὐτοῦ πραχθήσοιτο. τότε μὲν οὖν ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, εἶπόν τινες τῶν τούτῳ παρόντων, ὅτι εἴη αὐτῷ ἀδελ-

*μηνία* est igitur primus dies mensis cujusque; postremum autem diem mensis appellabant *ἕνην καὶ νέαν*, antiquam et novam, ambiguam inter duos menses, qua ab omni re sacra sive profana, quantum fieri poterat, abstinebant. Exposuit haec Buttmannus in Excursu IV. ad Demosthenis Midian.

7. *πολίτην σφέτερον*] Qui origine esset Plataeensis.

*τὴν τέχνην, ᾗ οὗτος χρῆται*] *Γναφέως* nempe. §. 2. *ἐπὶ τὸ γναφεῖον, ἐν ᾧ εἰργάζετο.*

8. *καὶ τόν, ὅς ἔφη*] Taylor opinatur post *τόν* nomen proprium excidisse *Νικομήδην*. Reiskius autem per locum communem, qui, si generaliter accipiatur, falsissimus est, vulgatam defendit: centies articulum praepositivum *ὁ* pro pronomine *οὗτος* usurpari. Res haec est. Etiam apud scriptores Atticos articulus, qui proxime praecedit relativa *ὅς, ὅσος, οἷος*, vim habet pronominis demonstrativi. Cf. Matthiae gr. Gr. §. 287.

9. *ἀγόμενον*] Verbum proprium, sive absolute positum sive addito *εἰς δουλείαν*, de eo, qui abducitur in servitutem, vindicatur ab eo, qui se dominum ejus esse affirmat, alterumque aufugisse, quem Graeci *δραπέτην* nominant.

*εἶπόν τινες* cet.] Reiskio probabilius est, fratrem qui se professus sit, ipsum haec dixisse; legendum igitur opinatur *εἶπέ τις — — — καὶ ὡς ἐξαιρήσοιτο*: se esse fratrem Pancleonis et se velle ipsum in libertatem asserere. Sic etiam sequentia demum apta judicat: *ἐπὶ τούτοις ἐγγυησάμενοι παρέξειν.* Non existimo tamen a librorum scriptura recedendum esse. *Τινές* sunt homines, qui affirmabant se Pancleonem ejusque rationes

www.libtool.com.cn

φός, ὃς ἐξαιρήσοιτο αὐτὸν εἰς ἐλευθερίαν· ἐπὶ τούτοις ἐγγυησάμενοι παρέξειν, εἰς ἀγορὰν ᾤχοντο ἀπιόντες.
10 τῇ δ' ὑστεραίᾳ τῆς τε ἀντιγράφεως ἕνεκα ταυτησὶ καὶ αὐτῆς τῆς δίκης ἔδοξέ μοι χρῆναι μάρτυρας λαβόντι παραγενέσθαι, ἵν' εἰδείην τόν τ' ἐξαιρησόμενον αὐτόν, καὶ ὅ τι λέγων ἀφαιρήσοιτο. ἐφ' οἷς μὲν οὖν ἐξηγγυήθη, οὔτε ἀδελφὸς οὔτε ἄλλος οὐδεὶς ἦλθε· γυνὴ δέ, φάσκουσα αὐτῆς αὐτὸν εἶναι δοῦλον, ἀμφισβητοῦσα τῷ Νικομήδει, καὶ οὐκ ἔφη ἐάσειν αὐτὸν ἄγειν.
11 ὅσα μὲν οὖν αὐτόθι ἐῤῥήθη, πολὺς ἂν εἴη μοι λόγος διηγεῖσθαι· εἰς τοῦτο δὲ βιαιότητος ἦλθον οἵ τε παρόντες τούτῳ καὶ αὐτὸς οὗτος, ὥστε, ἐθέλοντος μὲν τοῦ Νικομήδους, ἐθελούσης δὲ τῆς γυναικὸς ἀφιέναι, εἴ τις ἢ εἰς ἐλευθερίαν τοῦτον ἄγοι, ἢ φάσκων ἑαυτοῦ δοῦλον εἶναι, τούτων οὐδὲν ποιήσαντες, ἀφελόμενοι ᾤχοντο. ὡς οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις ἐξηγγυήθη, καὶ τότε βίᾳ ᾤχοντο

10. ἀντιγράφεως ἕνεκα] Ἀντιγράφεως est ex C, quod vocabulum num alibi legatur, nescio. Vulgo ἀντιγραφῆς. Si velimus ex analogia discrimen inter verbalia ἀντιγραφή et ἀντίγραψις constituere: ἀντιγραφή est libellus contrariae actionis, ἀντίγραψις autem ipsa actio τοῦ ἀντιγράφεσθαι. De re cf. §. 5.

10. ἐξηγγυήθη] Mirum, quod optimus codex C et h. l. et §. 11. perperam scribit ἐξεγγυήθη. Cf. Lobeck ad Phryn. p. 155.

nosse. Hinc se eum non dissimulabant tuituros. Ergo quum testati essent fratrem illum habere, qui in libertatem eum vindicaturus esset, vadimonium faciebant, quod Nicomedes accepit. Hanc esse sententiam patet ex §. 12. ubi dicitur reus ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις. – Ceterum si Valesius ad Harpocrat. p. 29. ἀφαίρεσις, inquit, competit assertori in libertatem, ἐξαίρεσις vero assertori in servitutem, fallitur. Utrumque, ἀφαιρεῖσθαι et ἐξαιρεῖσθαι, dicitur de eo, qui vindicat in libertatem, et opponitur ei, quod modo habuimus, ἄγειν vel ἄγειν εἰς δουλείαν.

ἐπὶ τούτοις] Haec vera esse affirmantes, Pancleonem habere fratrem, qui eum vindicaturus sit in libertatem.

10. αὐτῆς τῆς δίκης] Quam Nicomedes intendebat Pancleoni, a cujus exitu ipsa partim ἀντίγραψις pendebat.

11. εἴ τις ἢ εἰς ἐλευθερίαν τοῦτον ἄγοι, ἢ φάσκων ἑαυτοῦ δοῦλον εἶναι] Vere, opinor, monet Reiskius neminem unquam dixisse εἰς ἐλευθερίαν ἄγειν, sed omnes εἰς ἐλευθερίαν ἐξαιρεῖσθαι et εἰς δουλείαν ἄγειν. Hinc probabiliter conjicit εἴ τις ἢ εἰς ἐλευθερίαν τοῦτον ἐξαιροῖτο, ἢ εἰς δουλείαν ἄγοι φάσκων cet.

www.libtool.com.cn

ἀφελόμενοι αὐτόν, μάρτυρας παρέξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

12 Ῥᾴδιον τοίνυν εἰδέναι, ὅτι οὐδ' αὐτὸς Παγκλέων νομίζει ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ' οὐδὲ ἐλεύθερον. ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις μᾶλλον ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν ἐξαιρεθεὶς δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτόν, οὐδενὶ χαλεπὸν γνῶναι, ὅτι, εὖ εἰδὼς ἑαυτὸν ὄντα δοῦλον, ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι.

13 Ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι ὑμᾶς ἐκ τούτων σχεδόν τι γινώσκειν· ὅτι δὲ οὐδ' οὗτος, ὃς ἄριστα οἶδε τὰ αὑτοῦ, ἡγήσατο δόξαι ἂν ὑμῖν εἶναι Πλαταιεύς, ἐξ ὧν ἔπραξε ῥᾳδίως μαθήσεσθε. ἐν τῇ ἀντωμοσίᾳ γὰρ τῆς δίκης, ἥν αὐτῷ ἔλαχεν Ἀριστόδικος οὑτοσί, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναί οἱ τὰς δίκας, διεμαρτυρήθη μὴ Πλα-

12. ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις] Ἔνοχόν τινα καταστῆσαι τοῖς βιαίοις est obnoxium aliquem reddere δίκῃ βιαίων. Harpocration s. v. βιαίων: ὄνομα δίκης κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν· καὶ δῆλον, ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων μόνον οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ' ἄλλων. Videmus §. 9. homines Pancleoni familiares vadimonium praestitisse, fratrem esse, qui eum in libertatem vindicaturus sit, et hac conditione Nicomedem Pancleonem liberum dimisisse. Nunc autem quum non praestitum esset quod promiserant, Nicomedi liberum erat τοὺς ἐγγυητὰς βιαίων accusare i. e. eos in judicium vocare, quod βίᾳ ipsi eripuerint quem servum sibi vindicaverit. Ὁ δὲ βιαίων ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον, ὅσον τῷ ἑλόντι, h. e. qui βιαίων convictus erat, restituebat damnum, quod actor passus erat, et tantundem ut multam numerabat aerario.

περὶ τοῦ σώματος] Hoc loco est de libertate.

13. ἀντωμοσία] Ἀντωμοσία proprie dicitur ὅρκος τοῦ διώκοντος καὶ τοῦ φεύγοντος, ἐπειδὴ ἀντώμνυον οἱ διώκοντες καὶ οἱ φεύγοντες, οἱ μὲν ἀληθῆ κατηγορήσειν, οἱ δὲ ἀληθῆ ἀπολογήσασθαι. H. l. autem nonnisi indicatur jusjurandum Pancleonis τοῦ φεύγοντος, quod proprie dicitur διωμοσία.

ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναί οἱ τὰς δίκας] Qui nunc contendit se non posse ut μέτοικον apud Polemarchum in jus vocari, caussam interserens se esse Plataeensem.

διεμαρτυρήθη] Διαμαρτυρία dicebatur, quae fiebat, antequam caussa judicio tradebatur. Acto-

www.libtool.com.cn

14 ταιεὺς εἶναι· ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ' εἴασε καταδικάσασθαι αὐτοῦ τὸν Ἀριστόδικον. ἐπεὶ δὲ ὑπερήμερος ἐγένετο, ἐξέτισε τὴν δίκην, καθότι ἔπειθε. καὶ τούτων, ὡς ἀληθῆ ἐστι, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

15 Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναί αὐτῷ, δεδιὼς τὸν Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει. καίτοι οἶμαι εἰδέναι ὑμᾶς, ὅτι, εἴπερ ἦν Πλαταιεύς, πανταχοῦ μᾶλλον ἢ Θήβησιν εἰκὸς ἦν αὐτὸν μετοικῆσαι. ὡς οὖν ᾤκει [ἐκεῖ] πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

16 Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα, ὦ ἄνδρες δικασταί. ἐὰν γὰρ διαμνημονεύητε, οἶδ' ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.

14. *καταδικάσασθαι αὐτοῦ*] *Αὐτοῦ*, quod Reiskius de suo dederat, confirmavit X. Ceteri *αὐτόν*.

ri nempe licebat producere testes, qui affirmabant litem esse *εἰςαγώγιμον*, judicio esse tradendam, et si reus id negaret, primum contra eos, qui testati erant, caussa disceptabatur. Sin autem actor testem non producebat, reo licebat testem producere, qui testaretur *τὴν δίκην μὴ εἰςαγώγιμον εἶναι*. Jam testis ab Aristodico productus testabatur Pancleonem non esse Plataeensem, et quanquam Pancleo prae se ferret testem se falsi testimonii accusaturum (*ἐπισκηψάμενος τῷ μάρτυρι*), non audebat tamen testem in jus vocare.

14. *ὑπερήμερος*] Is sic dicitur, qui diem certam condictam, qua quid faciendum erat, praeterlabi sineret. *Ἐξέτισε τὴν δίκην καθότι ἔπειθε*, ex arbitrio rem composuit, ut poterat, quod dicitur *ὁμολογεῖν* §. 15.

www.libtool.com.cn

# ΛΥΣΙΟΥ

## ΠΡΟΣ ΤΗΝ ΕΙΣΑΓΓΕΛΙΑΝ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩι ΑΔΥΝΑΤΩι ΑΡΓΥΡΙΟΝ.

---

### PROOEMIUM.

Duce Boeckhio Staatshaush. T. I. p. 260. ss.

Praeclarum erat Athenis institutum, ut pauperiores cives, qui per corporis imbecillitatem et debilitatem victum sibi quaerere non poterant, stipendium aliquod ex aerario acciperent. Antiquo tempore, ut narrat Isocrates Areopagit. c. 38. *οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν ἀναγκαίων, οὐδὲ προσαιτῶν τὴν πόλιν κατῄσχυνε*; post bellum autem Peloponnesiacum multi subsidio indigebant, si corpore minus valebant aut mutili erant. Harpocration s. v. *Ἀδύνατοι· οἱ ἐκτὸς τριῶν μηνῶν* (l. *μνῶν*) *κεκτημένοι τὸ σῶμα πεπηρωμένον. ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς δύο ὀβολοὺς τῆς ἡμέρας ἑκάστης, ἢ ὀβολόν, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ· ὡς δὲ Φιλόχορός φησιν, ἐννέα δραχμὰς κατὰ μῆνα.* Hoc subsidium per psephisma populi assignabatur, *δοκιμασία* autem erat penes senatum quingentorum. Numeratio autem fiebat singulis prytaniis, iisque singulis singulorum erat nova *δοκιμασία*: quam qui negligebat, is amittebat stipendium, usque dum nova instituebatur *δοκιμασία*.

Ex hac oratione patet Lysiae tempore hoc subsidium obolum fuisse; quum autem difficultas vitam per victum tuendi ingravesceret, duo oboli tribuebantur. Post Aristotelem id factum, sed ante Philochorum, celebrem saeculi secundi grammaticum, qui quum de subsidio per singulos menses tributo loquitur, perspicue seriora respicit tempora.

Indicabatur (haec est h. l. in inscriptione *εἰσαγγελία*) aliquis irrepsisse inter *ἀδυνάτους*, qui vere *ἀδύνατος* non esset. Non disertis quidem verbis id videtur affirmatum fuisse, eum plus possidere tribus minis, sed talia afferuntur, quae sycophantiae facile ansam praebebant calumniandi: artem quaestuosam exercere hominem, equos ascendere, et similia. Faceta oratio, isque, qui eam habet, quamvis pauper nec corpore valens, alacri tamen mente apparet esse nec pauper ingenii dotibus: ut Boeckhio (l. l. p. 261. not. 404), *μελέτην* eam, non verum *ἀγῶνα* esse propter locos mire jocosos existimanti, assentiri non possim. Nec urbanitas nec concinnitas deest ipsaque mentis alacritas in homine externis angustiis presso delectat et exhilarat animum. Quare hanc in selectis Lysiae orationibus deesse nolui, quamvis non ea, quam novimus, Lysiae gravitate et brevitate pungat legentium animos.

---

www.libtool.com.cn

1 Οὐ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατηγό-
ρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρό-
τερον γὰρ οὐκ ἔχων πρόφασιν, ἐφ' ἧς τοῦ βίου λό-
γον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι
τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν
δὲ βεβιωκότα μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον
ἄξιον ἢ φθόνου. διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ πα-
ρασκευάσαι τόνδε μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθό-
2 νον. καίτοι ὅστις τούτοις φθονεῖ, οὓς οἱ ἄλλοι ἐλε-
οῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πο-
νηρίας; εἰ μὲν γὰρ ἕνεκα χρημάτων, συκοφαντεῖ· εἰ
δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται. διὰ
γὰρ τὴν πονηρίαν αὐτοῦ οὔτε φίλῳ οὔτε ἐχθρῷ πώπο-
3 τε ἐχρησάμην αὐτῷ. ἤδη τοίνυν, ὦ βουλή, δῆλός
ἐστι φθονῶν, ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ τούτου
βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι δεῖν, ὦ βουλή,
τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτη-
δεύμασιν ἰᾶσθαι καλῶς. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ

1. *Οὐ πολλοῦ δέω χάριν ἔχειν*] Negatio accessit ex C, et sic demum justa in locum sententia illata est: »Parum abest, quin gratiam habeam accusatori.«

1. *ἐμαυτὸν δὲ βεβιωκότα — ἐπαίνου — ἄξιον*] Reiskius mavult *ἀξίως* vel *ἄξια*. Lysias autem videtur imprimis ob additum genitivum *ἐπαίνου* adjectivum posuisse, et *βεβιωκότα* tanquam temporis determinationem considerasse, *ἐν τῷ βίῳ*.

3. *ἤδη τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν*] Reiskius de suo scripsit *ἢ δή* cet., opinans enuntiationem se interrogativam constituisse, quasi *ἤ* sit particula interrogativa, quae est relativa. Scribere volebat *πῇ δή* cet. Sed librorum lectio non est tentanda. *Ἤδη* primum affert momentum, cur actor sit *φθονῶν*.

*τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι καλῶς*] *Ἰᾶσθαι* hoc loco habet significationem passivam: corporis vitia animi virtutibus pulchre sanari. [Non puto. Ad *ἰᾶσθαι* supplendum *τινά* aut *ἕκαστον*, qui accusativus omissus est, quia facile ex contextu suppleri poterat. V. C. F. R.] Reiskius autem *καλῶς* utrinque distinctione addita seclusit, ut sit plenae enuntiationis loco: recte vero sic arbitror: quod vani hominis esset inanis gloriatio. *Καλῶς* autem determinatio est ad verbum *ἰᾶσθαι* fortis et vera.

καὶ τὴν διάνοιαν ἕξω, καὶ τὸν βίον διάξω, τί τούτου διοίσω;

Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω. ὑπὲρ ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων. καὶ τέχνην ἐπίστασθαι τοιαύτην, ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν. καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν, καὶ τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος τυγχάνει [ὢν], πάντας ὑμᾶς οἴομαι γινώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ. ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί, παῖδες δέ μοι οὔπω εἰσίν, οἵ με θεραπεύσουσι. τέχνην δὲ κέκτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω δύναμαι

4 (Περὶ μὲν οὖν) — 5 (σώματος ῥώμης) — 6 (ἐμοὶ γὰρ)

3. καὶ τὸν βίον διάξω] Vulgo καὶ τὸν ἄλλον βίον διάξω; ἄλλον autem auctoritate cod. C. deletum. Ἄλλος de futuro tempore rarum esse monui κατ' Ἀλκιβ. §. 4.

5. οἷος τυγχάνει ὢν] Sic dedit Reiskius de conjectura. Bekkeri etiam codd. habent τυγχάνει; editiones plurimae habent τυγχάνω: quae lectio probabilem reddit Reiskii conjecturam.

εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω] Ἐξ ἴσου, ἐν ἴσῳ cum verbis εἶναι, ἔχειν, καθιστάναι, φαίνεσθαι similibusque pro adjectivo praedicati simpliciter ponuntur. Antiphon περὶ τοῦ Ἡρώδου φόνου. §. 1. ἐβουλόμην μέν, ὦ ἄνδρες, τὴν δύναμιν τοῦ λέγειν καὶ τὴν ἐμπειρίαν τῶν πραγμάτων ἐξ ἴσου μοι καθεστάναι τῇ συμφορᾷ καὶ τοῖς κακοῖς τοῖς γεγενημένοις. Cf. Hemsterhusium ad Lucian. Jud. Voc. c. 2. fin.

4. καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων] Offendere poterat Taylorum in Lysia synonymorum conjunctio. Sed non inanis est. Ipsius enim legis vocabulum ponendum erat, reum non esse ex numero eorum, quos lex per ἀδυνάτους intelligat. Imprimis etiam quod sequitur momentum inter ea censeri potest, quae ostendunt hominem non esse τῶν ἀδυνάτων.

www.libtool.com.cn

1 Οὐ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατηγό-
ρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρό-
τερον γὰρ οὐκ ἔχων πρόφασιν, ἐφ' ἧς τοῦ βίου λό-
γον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι
τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν
δὲ βεβιωκότα μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον
ἄξιον ἢ φθόνου. διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ πα-
ρασκευάσαι τόνδε μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθό-
2 νον. καίτοι ὅστις τούτοις φθονεῖ, οὓς οἱ ἄλλοι ἐλε-
οῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πο-
νηρίας; εἰ μὲν γὰρ ἕνεκα χρημάτων, συκοφαντεῖ· εἰ
δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται. διὰ
γὰρ τὴν πονηρίαν αὐτοῦ οὔτε φίλῳ οὔτε ἐχθρῷ πώπο-
3 τε ἐχρησάμην αὐτῷ. ἤδη τοίνυν, ὦ βουλή, δῆλός
ἐστι φθονῶν, ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ τούτου
βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι δεῖν, ὦ βουλή,
τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτη-
δεύμασιν ἰᾶσθαι καλῶς. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ

1. Οὐ πολλοῦ δέω χάριν ἔχειν] Negatio accessit ex C, et sic demum justa in locum sententia illata est: »Parum abest, quin gratiam habeam accusatori.«

1. ἐμαυτὸν δὲ βεβιωκότα — — ἐπαίνου — ἄξιον] Reiskius mavult ἀξίως vel ἄξια. Lysias autem videtur imprimis ob additum genitivum ἐπαίνου adjectivum posuisse, et βεβιωκότα tanquam temporis determinationem considerasse, ἐν τῷ βίῳ.

3. ἤδη τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν] Reiskius de suo scripsit ἢ δὴ cet., opinans enuntiationem se interrogativam constituisse, quasi ἢ sit particula interrogativa, quae est relativa. Scribere volebat πῇ δὴ cet. Sed librorum lectio non est tentanda. Ἤδη primum affert momentum, cur actor sit φθονῶν.

τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι καλῶς] Ἰᾶσθαι hoc loco habet significationem passivam: corporis vitia animi virtutibus pulchre sanari. [Non puto. Ad ἰᾶσθαι supplendum τινά aut ἕκαστον, qui accusativus omissus est, quia facile ex contextu suppleri poterat. V. C. F. R.] Reiskius autem καλῶς utrinque distinctione addita seclusit, ut sit plenae enuntiationis loco: recte vero sic arbitror: quod vani hominis esset inanis gloriatio. Καλῶς autem determinatio est ad verbum ἰᾶσθαι fortis et vera.

καὶ τὴν διάνοιαν ἕξω, καὶ τὸν βίον διάξω, τί τούτου διοίσω;

Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω. ὑπὲρ ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων· καὶ τέχνην ἐπίστασθαι τοιαύτην, ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν. καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν, καὶ τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος τυγχάνει [ὤν], πάντας ὑμᾶς οἴομαι γινώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ. ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί, παῖδες δέ μοι οὔπω εἰσίν, οἵ με θεραπεύσουσι. τέχνην δὲ κέκτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω δύναμαι

4 5 6

3. *καὶ τὸν βίον διάξω*] Vulgo *καὶ τὸν ἄλλον βίον διάξω; ἄλλον* autem auctoritate cod. C. deletum. *Ἄλλος* de futuro tempore rarum esse monui *κατ' Ἀλκιβ.* §. 4.

5. *οἷος τυγχάνει ὤν*] Sic dedit Reiskius de conjectura. Bekkeri etiam codd. habent *τυγχάνει*; editiones plurimae habent *τυγχάνω*: quae lectio probabilem reddit Reiskii conjecturam.

*εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω*] Ἐξ ἴσου, ἐν ἴσῳ cum verbis εἶναι, ἔχειν, καθιστάναι, φαίνεσθαι similibusque pro adjectivo praedicati simpliciter ponuntur. Antiphon περὶ τοῦ Ἡρώδου φόνου
ἐβουλόμην μέν, ὦ ἄνδρ
δύναμιν τοῦ λέγειν καὶ
πειρίαν τῶν πραγμάτω
μοι καθεστάναι τῇ συ
τοῖς κακοῖς τοῖς γεγεν
Hemsterhusium
Jud. Voc. c. 2. fin.

4. *καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων*] Offendere poterat Taylorum in Lysia synonymorum conjunctio. Sed non inanis est. Ipsius enim legis vocabulum ponendum
reum non esse ex numero
quos lex per *ἀδυνάτους*
at. Imprimis etiam quod
r momentum inter ea cen-
lest, quae ostendunt ho-
a non esse *τῶν ἀδυνάτων*.

www.libtool.com.cn

κτήσασθαι. πρόσοδος δέ μοι οὐκ ἔστιν ἄλλη πλὴν ταύτης, ἧς ἂν ἀφέλησθέ με, κινδυνεύσαιμ' ἂν ὑπὸ τῇ
7 δυσχερεστάτῃ γενέσθαι τύχῃ. μὴ τοίνυν, ἐπειδή γε ἔστιν, ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως·
μηδὲ ἃ νεωτέρῳ καὶ μᾶλλον ἐῤῥωμένῳ ὄντι ἔδοτε, πρεσβύτερον καὶ ἀσθενέστερον γιγνόμενον ἀφέλησθε· μηδὲ πρότερον καὶ περὶ τοὺς οὐδὲν ἔχοντας κακὸν ἐλεημονέστατοι δοκοῦντες εἶναι, νυνὶ διὰ τοῦτον τοὺς καὶ τοῖς ἐχθροῖς ἐλεεινοὺς ὄντας ἀγρίως ἀποδέξησθε· μηδέ με τολμήσαντες ἀδικῆσαι, καὶ τοὺς ἄλλους τοὺς
8 ὁμοίως ἐμοὶ διακειμένους ἀθυμῆσαι ποιήσητε. καὶ γὰρ ἂν ἄτοπον εἴη, ὦ βουλή, εἰ, ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορά, τότε μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο, νῦν δ' ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις ἑπόμενα κακὰ προσγίνεταί μοι, τότε ἀ-
9 φαιρεθείην. δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳ-

8. *τὰ τούτοις ἑπόμενα*] Hoc, quod Reiskius conjecerat pro vulgato *ἐχόμενα*, est in editione Bekkeri sine varietate.

6. *τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω δύναμαι κτήσασθαι*] Videtur intelligere servum, opificem et in domini commodum opificium exercentem: quemadmodum opulenti habebant officinas oppletas servis operariis.

*πλὴν ταύτης, ἧς ἂν ἀφέλησθέ με*] Taylor, melius, inquit, *ἥν*: nec potest negari hanc constructionem scriptoribus Atticis esse usitatissimam, verbum *ἀφαιρεῖσθαι* significatione eripiendi alicui aliquid cum duplice accusativo construentibus. Hic tamen genitivum rei omnes codices tenent mordicus, nec improbabile est quod monuit Koenius ad Gregor. Corinth. p. 95. edit. Schaef. Lysiam vel propter vicinum *ταύτης* secundo casu usum videri, ut quodammodo genitivum per attractionem positum dicere possis. Atque jam hac aetate hic illic genitivus modo personae modo rei se obtrusit, et genitivus quidem rei posteriore aetate frequentior est quam accusativus et invaluit is ex analogia, opinor. Quemadmodum enim scriptores Attici construunt *ἀποστερεῖν τινά τι* et *ἀποστερεῖν τινά τινος*, sic existimo construi coeptum esse *ἀφαιρεῖσθαί τινά τινος*, ut *ἀφαιρεῖσθαί τινά τι*.

8. *νῦν δ' ἐπειδὴ — — προσγίνεται, τότε ἀφαιρεθείην*] *Νῦν* — *τότε* in eadem enuntiatione conjuncta offendebant, et Marklandus suspicatur *τόδε* se, *τὸ ἀργύριον τοῦτο*. Verum *τότε* h. l. non est simpliciter temporis nota, sed significat tam gravi et molesto tempore, *ἐν τοιαύτῃ συμφορᾷ*. Cf. F. A. Wolfium ad Demosthenis Leptin. p. 264. Similiter Latini *δεικτικῶς* tum usurpant [Simili modo *νῦν* et *τό*-

δοις προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον ἢ ἀντιδοῦναι ἅπαξ. εἶτα πῶς οὐ δεινόν ἐστι νῦν μὲν κατηγορεῖν, ὡς διὰ πολλὴν εὐπορίαν ἐξ ἴσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις, εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι τις γενόμενος, τοιοῦτον εἶναι καὶ ἔτι πονηρότερον;

Περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε 10
μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας, οὔτε ὑμᾶς αἰσχυνθείς, οὐ πολὺς ὁ λόγος. ἐγὼ γάρ, ὦ βουλή, πάντας οἶμαι τοὺς ἔχοντάς τι δυστύχημα τοιοῦτο ῥᾳστώνην τινὰ ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος. ὧν εἷς ἐγώ, καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ, ταύτην ἐμαυτῷ ῥᾳστώνην ἐξεῦρον εἰς
τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέ- 11
γιστον, ὦ βουλή, τεκμήριον, ὅτι διὰ τὴν συμφοράν, ἀλλ' οὐ διὰ τὴν ὕβριν (ὡς οὗτός φησιν) ἐπὶ τοὺς ἵππους ἀναβαίνω, ῥᾴδιόν ἐστι μαθεῖν. εἰ γὰρ ἐκεκτή-

9. *εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι τις γενόμενος*] Sic Bekkeri codices, nisi quod X habet *γενόμενον* pro *γενόμενος*. Vulgo *γενομένων*. Reiskius scripsit *εἰ δὲ ὡς ἐγὼ λέγω τύχοι γενόμενον*. Sensus est: si quis ratione rei familiaris talis sit, quales ego modo descripsi.

10. *πάντας οἶμαι τοὺς ἔχοντάς τι δυστύχημα τοιοῦτο ῥᾳστώνην τινὰ ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν*] Sic locus restitutus ex C. Vulgo deerat *οἶμαι* et *ῥᾳστώνην τινά*. *Ζητεῖν καὶ φιλοσοφεῖν*, *σκοπεῖν καὶ φιλοσοφεῖν* interdum apud oratores junguntur: studiosissime indagare. Isocrates Epist. VI. p. 743. Lange. *ζητοῦντες καὶ φιλοσοφοῦντες*. Ep. VII. p. 746. *ζητεῖν καὶ φιλοσοφεῖν*. *Φιλοσοφεῖν* interdum dicitur de multa magnaque opera in meditando praesertim et excogitando posita.

ce in eadem enuntiatione conjuncta invenies in Anthol. Pal. IX. 138. V. C. F. B.]

9. *προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν*] Qui ad munus designatus erat, is, si quem praeteritum esse opulentiorem putabat, poterat, quemcunque vellet, nominare ab eoque petere, ut aut ipse munus reciperet, aut secum facultates permutaret. Haec actio dicebatur *ἀντιδόσεως*. *Προκαλεῖσθαι* est verbum generale de sollemni provocatione ad aliquid praestandum vel ad agendum, qualis componatur, et varia sunt *προκλήσεως* genera, quae exposuit Hudtwalcker de diaetetis inde a p. 41. Hic igitur erat *πρόκλησις εἰς ἀντίδοσιν* coram diaetetis.

10. *ὧν εἷς ἐγώ*] Sc. *τούτων, οἳ φιλοσοφοῦσιν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος*. In eo, quod additur, explicatur, quale levamen ipse sibi comparaverit.

www.libtool.com.cn

μὴν οὐσίαν, ἐπ' ἀστράβης ἂν ὠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵππους ἀνέβαινον· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύναμαι κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπ-
12 ποις ἀναγκάζομαι χρῆσθαι πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν, ὦ βουλή, τοῦτον αὐτόν, εἰ μὲν ἐπ' ἀστράβης ὀχούμενον ἑώρα με, σιωπᾶν (τί γὰρ ἂν καὶ ἔλεγεν;), ὅτι δ' ἐπὶ τοὺς ᾐτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι πείθειν ὑμᾶς, ὡς δυνατὸς εἴην; καὶ ὅτι μὲν δυοῖν βακτηρίαιν χρῶμαι, τῶν ἄλλων μιᾷ χρωμένων, μὴ κατηγορεῖν, ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν· ὅτι δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκμηρίῳ χρῆσθαι πρὸς ὑμᾶς, ὡς εἰμὶ τῶν δυναμένων; οἷς ἐγὼ διὰ
13 τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι. τοσοῦτον δὲ διενήνοχεν ἀναισχυντίᾳ τῶν ἁπάντων ἀνθρώπων, ὥστε ὑμᾶς πειρᾶται πείθειν, τοσούτους ὄντας εἷς ὤν, ὡς οὐκ εἰμὶ τῶν ἀδυνάτων ἐγώ. καίτοι εἰ τοῦτο πείσει τινὰς ὑμῶν, ὦ βουλή, τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων, καὶ ὑμᾶς ἐμοῦ μὲν ἀφελέσθαι τὸν

11. ἐπ' ἀστράβης ἂν ὠχούμην] Ἐπ' ἀστράβης ὀχεῖσθαι significat mula vehi, cui altum sedile impositum est. Quid sit ἀστράβη, erudite exposuit Buttmannus in Excurs. VII. ad Demosthenis Midianam. Quod sequitur τοιοῦτο, per synesin positum est, sive ζεῦγος suppleas sive σκεῦος.

12. ἐπὶ τοὺς ᾐτημένους ἵππους ἀναβαίνω] Equos commodatos ascendo. cf. ὑπὲρ τῶν Ἀριστ. χρ. §. 27. Paupertatis vero vel sordidae avaritiae erat commodatis equis uti. Non enim de equo sermo est, qui certa mercede locabatur, ut fit hodie, sed de eo, qui gratis egenti commodabatur.

τῶν δυναμένων] Οἱ δυνάμενοι interdum sunt opulenti, qui opibus pollent.

οἷς ἐγὼ διὰ τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι] Reiskius demo scripsit ἀμφοτέραις οὐ χρῶμαι, quod ut intelligi posset, egebat interpretatione, quam addit: καίτοι ἐγὼ οὐ διὰ τὴν αὐτὴν αἰτίαν χρῶμαι βακτηρίαις, δι' ἣν οἱ δυνάμενοι καὶ σώματι καὶ χρήμασι μιᾷ μόνον χρῶνται βακτηρίᾳ: quam sententiam nemo unquam tam horrida oratione expressisset. Librorum lectio sic intelligenda, ut nemo non videt: quibus utrisque, et duobus scipionibus et equo commodato, eadem de caussa utor, quia scilicet pedibus non valeo.

13. εἰ τοῦτο πείσει τινὰς ὑμῶν] Si hoc vestrum majori parti persuaserit; hoc enim hic esse oportet τινὰς ὑμῶν.

τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων;] Ex Aristidis tempore nemo Atheniensium sorte exclusus erat, quum crearentur novem archontes, praeter ἀδυνάτους, quod patet ex nostra oratione. A vobis enim pendebit mihi, ut ὑγιαίνοντι, obo-

ἆθλον, ὡς ὑγιαίνοντες, τούτῳ δὲ ψηφίσασθαι πάντας, ὡς ἀναπήρῳ; οὐ γὰρ δήπου τὸν αὐτὸν ὑμεῖς μὲν ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ διδόμενον, οἱ δὲ ὡς ἀδύνατον ὄντα, κληροῦσθαι κωλύσουσιν. ἀλλὰ 14
γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν ἔχετε γνώμην, οὔθ' οὗτος εὖ ποιῶν. ὁ μὲν γὰρ, ὥσπερ ἐπικλήρου τῆς συμφορᾶς οὔσης, ἀμφισβητήσων ἥκει, καὶ πειρᾶται πείθειν ὑμᾶς, ὡς οὐκ εἰμὶ τοιοῦτος, οἷον ὑμεῖς ὁρᾶτε πάντες· ὑμεῖς δὲ (ὃ τῶν εὖ φρονούντων ἔργον ἐστὶ) μᾶλλον πιστεύετε τοῖς ὑμετέροις αὐτῶν ὀφθαλμοῖς ἢ τοῖς τούτου λόγοις.

Λέγει δ' ὡς ὑβριστής εἰμι καὶ βίαιος, καὶ λίαν 15
ἀσελγῶς διακείμενος, ὥσπερεὶ φοβερῶς ὀνομάσαι, μέλ-

---

lum eripere, huic vero eum, ut ἀναπήρῳ, donare, unde, pergit, recte concluderetur me non posse sorte excludi in sortitione archontum, hunc autem a sortitione arceri. Ex nostro autem loco patet omnium archontum sortitione exclusos fuisse ἀναπήρους, quod Etymologicum M. tantum de archonte βασιλεῖ tradit s. v. ἀφελής.

οἱ δὲ] Ii, qui praeerant τῇ δοκιμασίᾳ eorum, qui volebant sortitionis participes esse.

14. οὔθ' οὗτος εὖ ποιῶν] Εὖ ποιῶν est formula, quae lenem habet ironiam, ut ἀγαθῇ τύχῃ interdum. Dicitur eodem modo καλῶς ποιῶν. Cf. D'Orville ad Chariton. p. 296. s. Lips. Non igitur erat, cur Marklandus locum pro corrupto haberet, et scribendum judicaret εὖ φρονῶν.

ὥσπερ ἐπικλήρου τῆς συμφορᾶς οὔσης] Ἐπίκληρος proprie dicebatur filia, ad quam, quum pater decedens filium non relinqueret germanum, tota veniret hereditas. Harum virginum quum saepe sors esset lauta, ἐπίκληρον tropicam accepit significationem: lautum, lucrosum. Sententia igitur est: quasi ex hac calamitate multum lucri capi posset. Possit etiam ἐπίκληρος significare i. q. ἐπίδικος. Pollux. III. 33. ἐπίδικος δὲ ἡ ἐπίκληρος λέγεται, ὑπὲρ ἧς ἀμφισβητοῦσί τινες ἀλλήλοις, ὡς μᾶλλον εἰς αὐτοὺς καθηκούσης: controversa. Ἀμφισβητεῖν autem est proprium eorum, qui de hereditate litigant et plures affirmant jus in eam habere. [Lepida mihi videtur esse allegoria: Ille de συμφορᾷ mecum tanquam de puella ἐπικλήρῳ litigare videtur. F. J.].

15. ὥσπερεὶ φοβερῶς ὀνομάσαι cet.] Locus acerbe ironicus, ab interpretibus non solum non intellectus, sed misere corruptus, a Bekkero ex Mss. restitutus et interpunctione adjutus. Sententia haec est: Cognomina mihi tribuit quasi terribilia auditu, quum vera dicere velit, et quasi non leniter agat, hoc ideo facturus, ne mendacia dicat. Pro φοβερῶς vulgo φοβερόν et ψεύσηται pro ψεύδηται. Vulgo etiam post πρᾶον punctum positum. Ironice dixi haec accipienda esse. Crimina enim, quae in reum, hominem miserum et pauperem,

www.libtool.com.cn

τῶν ἀληθῆ λέγειν, ἀλλ' οὐκ ἂν πάνυ πρᾷον, ὡς μηδὲ ψεύδηται ταῦτα ποιήσων. ἐγὼ δ' ὑμᾶς, ὦ βουλή, σαφῶς οἶμαι δεῖν διαγιγνώσκειν, οἷς τ' ἐγχωρεῖ τῶν
16 ἀνθρώπων ὑβρισταῖς εἶναι, καὶ οἷς οὐ προσήκει. οὐ γὰρ πενομένους καὶ λίαν ἀπόρως διακειμένους ὑβρίζειν εἰκός, ἀλλὰ τοὺς πολλῷ πλείω τῶν ἀναγκαίων κεκτημένους· οὐδὲ τοὺς ἀδυνάτους τοῖς σώμασιν ὄντας, ἀλλὰ τοὺς μάλιστα πιστεύοντας ταῖς αὑτῶν ῥώμαις· οὐδὲ τοὺς ἤδη προβεβηκότας τῇ ἡλικίᾳ, ἀλλὰ τοὺς
17 ἔτι νέους, καὶ νέαις ταῖς διανοίαις χρωμένους. οἱ μὲν γὰρ πλούσιοι τοῖς χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους, οἱ δὲ πένητες ὑπὸ τῆς παρούσης ἀπορίας σωφρονεῖν ἀναγκάζονται· καὶ οἱ μὲν νέοι συγγνώμης ἀξιοῦνται τυγχάνειν παρὰ τῶν πρεσβυτέρων, τοῖς δ' ἑτέ-
18 ροις ἐξαμαρτάνουσιν ὁμοίως ἐπιτιμῶσιν ἀμφότεροι· καὶ τοῖς μὲν ἰσχυροῖς ἐγχωρεῖ, μηδὲν αὐτοῖς πάσχουσιν, οὓς ἂν βουληθῶσιν, ὑβρίζειν, τοῖς δὲ ἀσθενέσιν οὐκ ἔστιν οὔτε ὑβριζομένοις ἀμύνεσθαι τοὺς ὑπάρξαντας, οὔτε ὑβρίζειν βουλομένοις περιγίνεσθαι τῶν ἀδικουμένων. ὥστε μοι δοκεῖ ὁ κατήγορος εἰπεῖν περὶ τῆς ἐμῆς ὕβρεως οὐ σπουδάζων, ἀλλὰ παίζων, οὐδ' ὑμᾶς πεῖσαι βουλόμενος, ὡς εἰμὶ τοιοῦτος, ἀλλ' ἐμὲ κωμῳδεῖν βουλόμενος, ὥσπερ τι καλὸν ποιῶν.
19 Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ πονηροὺς καὶ πολλούς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι, τοῖς δὲ τὰ σφέτερα σώζειν βουλομένοις ἐπιβουλεύουσιν. ὑμεῖς δὲ ἐνθυμήθητε πάντες, ὅτι, ταῦτα λέγων, οὐδὲν ἐμοῦ κατηγορεῖ μᾶλλον ἢ τῶν ἄλλων, ὅσοι τέχνας ἔχουσιν, οὐδὲ τῶν ὡς ἐμὲ εἰσιόντων μᾶλ-

conjiciuntur, talia sunt, ut falsitas et absurditas facile in oculos incurrat.

16. τοὺς ἤδη προβεβηκότας τῇ ἡλικίᾳ] Dativum nominis, quod aetatem indicat, ad verbum προβαίνειν frequentiorem esse quam accusativum, nec accusativum tamen inusitatum, ostendit Piersonus ad Moerin p. 475.

17. τοῖς δ' ἑτέροις] i. e. τοῖς οὐ νέοις, iis, qui sunt aetate provectiores.

18. ὥσπερ τι καλὸν ποιῶν] Marklandus, qui pro ποιῶν mavult εἰπών, tentavit sine causa. Saepe enim loquentes dicuntur bene aut male fecisse in omnibus linguis. Arcte enim dicta et facta cohaerent.

λον ἢ τῶν ὡς τοὺς ἄλλους δημιουργούς. ἕκαστος 20 γὰρ ὑμῶν εἴθισται προσφοιτᾶν, ὁ μὲν πρὸς μυροπωλεῖον, ὁ δὲ πρὸς κουρεῖον, ὁ δὲ πρὸς σκυτοτομεῖον, ὁ δ᾽ ὅποι ἂν τύχῃ, καὶ πλεῖστοι μὲν ὡς τοὺς ἐγγυτάτω τῆς ἀγορᾶς κατεσκευασμένους, ἐλάχιστοι δὲ ὡς τοὺς πλεῖστον ἀπέχοντας αὐτῆς, ὥστ᾽ εἴ τις ὑμῶν πονηρίαν καταγνώσεται τῶν ὡς ἐμὲ εἰσιόντων, δῆλον, ὅτι καὶ τῶν παρὰ τοῖς ἄλλοις διατριβόντων· εἰ δὲ κἀκείνων, ἁπάντων Ἀθηναίων· ἅπαντες γὰρ εἴθισθε προσφοιτᾶν καὶ διατρίβειν ἁμοῦ γέ που.

20. ὁ δὲ πρὸς κουρεῖον] Singularem ὁ obtulit C pro vulgato plurali οἱ. Sic hoc membrum aequale ceteris redditum. Facile autem pluralis a librariis inductus, quoniam novimus vulgus hominum apud Athenienses confluxisse εἰς κουρεῖα.

ὡς τοὺς πλεῖστον ἀπέχοντας αὐτῆς] Editiones antiquae habent ὡς οὐ πλ. ἀπέχ. αὐτ. Reiskius dedit ὡς τοὺς οὐ πλ. cet. Sed aperte voluit nonnisi τοὺς dare pro οὐ, quod confirmavit C. et quod est unice verum. Plebs garrula raro accedit, nisi quo multi confluere solent, ἐν ἀγορᾷ vel ἐγγὺς τῆς ἀγορᾶς. Cf. D'Orville ad Chariton. p. 275. Lips.

ἁμοῦ γέ που] Sic correxit Bekkerus librorum lectionem ἄλλου γέ που. Reiskius jam merito offendebat in vulgata lectione, et quae frequens est ejus suspicio, excidisse aliquid opinabatur et scribendum esse judicabat ἄλλοι ἄλλου γέ που; quae si librorum esset lectio, non rejicienda foret; et quanquam Reiskii conjectura audax dici non possit, lenior tamen est Bekkeri correctio. ΛΛ et Μ sexcenties confusae sunt. Aliud autem est, quod Bekkeri correctioni objici queat: ἁμοῦ γέ που exemplis firmari non possit. Nullum ego quidem novi antiqui scriptoris locum, in quo haec formula legatur. Quam tamen quum certa analogia tueatur, ipsa raritas caussa erat, cur mutaretur. Rem accurate exponamus. Erat adjectivum sive Ionicum sive Doricum, teste Eustathio ad Od. Α. p. 1383. l. 52. Rom., ἁμός, quod significabat idem quod εἷς vel τις. Inde vel casus obliqui vel derivata adverbia usurpabantur vel sola vel conjuncta cum aliis particulis. Apud Homerum Od. Α. 10. habemus ἁμόθεν. Jam ut casus obliqui adverbialiter usurpati exemplum afferam, ἁμῇ γέ πη est Atticum, cui quanquam Moeris et Thomas M. praeferant ἁμῶς γέ πως, quae est ipsa adverbii forma, Ruhnkenius tamen ad Timaeum p. 29. ostendit Atticis utrumque esse usurpatum. Quod si verum est, cur rejiciamus formulam ἁμοῦ γέ που? quae ejusdem modi est. Eam non rejecisse antiquos grammaticos patet ex scholio inedito, quod publici juris fecit Ruhnkenius ad Timaeum in locutione ἁμόθεν γέ ποθεν. Scholion autem hoc est: Ἀμόθεν γέ ποθεν ὁπωσδήποτε, καθ᾽ ὁτιοῦν. λέγεται δὲ καὶ ἀμηγέπη καὶ ἀμωσγέπως καὶ ἀμούγέπου καὶ ἀμοιγέποι καὶ ἀμοσέποι: unde

www.libtool.com.cn

21 Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ λίαν με ἀκριβῶς ἀπο-
λογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνο-
χλεῖν πλείω χρόνον. εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα,
τί δεῖ περὶ τῶν ὁμοίως τούτῳ φαύλων σπουδάζειν;
ἐγὼ δ' ὑμῶν, ὦ βουλή, δέομαι πάντων τὴν αὐτὴν
22 ἔχειν περὶ ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον. μηδ' οὐ
μόνον μεταλαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πα-
τρίδι, τούτου διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ
πάλαι κοινῇ πάντες ἔδοτέ μοι, νῦν οὗτος εἷς ὢν πείσῃ
πάλιν ὑμᾶς ἀφελέσθαι. ἐπειδὴ γάρ, ὦ βουλή, τῶν
μεγίστων ἀρχῶν ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις
ἡμῖν ἐψηφίσατο τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς
εἶναι τὰς τύχας τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν
23 ἀγαθῶν. πῶς οὖν οὐκ ἂν δειλαιότατος εἴην, εἰ τῶν
μὲν καλλίστων καὶ μεγίστων διὰ τὴν συμφορὰν ἀπε-
στερημένος εἴην, ἃ δ' ἡ πόλις ἔδωκε προνοηθεῖσα τῶν
οὕτω διακειμένων, διὰ τὸν κατήγορον ἀφαιρεθείην;
μηδαμῶς, ὦ βουλή, ταύτῃ θέσθε τὴν ψῆφον. διὰ τί

patet grammaticos agnovisse omnes formas, quae v. c. ab *ἄλλος* derivatae a Graecis scriptoribus usurpatae sunt. Optimo igitur jure, ita ut Graecia victoriam tulerit, formulae *ἁμοῦ γέ που* locus suus restitutus est.

21. *λίαν με*] *Με*, quod pro librorum lectione *μέν* Reiskius conjecerat, obtulit X.

22. *οὐ μόνον μεταλαβεῖν*] *Μόνου* est emendatio Marklandi pro librorum lectione *μόνον*. Cf. Excursus XI.

23. *δειλαιότατος*] i. e. *ἀθλιώτατος*. Illud, quod dubitanter Marklandus pro librorum lectione *δικαιότατος* conjecerat, obtulit X.

*μηδαμῶς – θέσθε*] Edidit Bekkerus ex conjectura *θῆσθε* pro librorum lectione *μὴ – θέσθε*. De constructione *μή* prohibitivi cf. Excursus XII. *Τὴν ψῆφον* Taylori est emendatio pro librorum lectione *τῇ ψήφῳ*.

21. *πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνοχλεῖν πλείω χρόνον*] Metathesis est pronominis *ὑμῖν*, quae non offendere debebat Marklandum. Non enim est rarum, ut inter nomen regens et genitivum rectum casus interponatur, qui pendet e verbo, praesertim ex infinitivo. §. 27. *ἐγὼ δὲ τούτων ὑμῖν τυχὼν ἕξω τὴν χάριν*. De metathesi in genere nonnulla cf. *ὑπὲρ τοῦ Ἐρ. φόνου* §. 16. plura Excurs. XIII.

*περὶ τῶν ὁμοίως τούτῳ φαύλων σπουδάζειν*] Momenta, quae non minus sunt levia, hoc ipso homine, tanquam gravia tractare.

www.libtool.com.cn
γὰρ ἂν καὶ τύχοιμι τοιούτων ὑμῶν; πότερον, ὅτι 24
δι' ἐμέ τις εἰς ἀγῶνα πώποτε καταστὰς ἀπώλεσε τὴν
οὐσίαν; ἀλλ' οὐδ' ἂν εἷς ἀποδείξειεν. ἀλλ' ὅτι πολυ-
πράγμων εἰμὶ καὶ θρασὺς καὶ φιλαπεχθήμων; ἀλλ' οὐ
τοιαύταις ἀφορμαῖς τοῦ βίου πρὸς τὰ τοιαῦτα τυγ-
χάνω χρώμενος. ἀλλ' ὅτι λίαν ὑβριστὴς καὶ βίαιος; 25
ἀλλ' οὐδ' ἂν αὐτὸς φήσειεν, εἰ μὴ βούλοιτο καὶ τοῦτο
ψεύδεσθαι τοῖς ἄλλοις ὁμοίως. ἀλλ' ὅτι ἐπὶ τῶν τριά-
κοντα γενόμενος ἐν δυνάμει κακῶς ἐποίησα πολλοὺς
τῶν πολιτῶν; ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθους ἔφυγον
εἰς Χαλκίδα τὴν ἐπ' Εὐρίπῳ, καί, ἐξόν μοι μετ' ἐκεί-
νων ἀδεῶς πολιτεύεσθαι, μεθ' ὑμῶν εἱλόμην κινδυ-
νεύειν ἁπάντων. μὴ τοίνυν, ὦ βουλή, μηδὲν ἡμαρ- 26
τηκὼς ὁμοίως ὑμῶν τύχοιμι τοῖς πολλὰ ἠδικηκόσιν,
ἀλλὰ τὴν αὐτὴν ψῆφον θέσθε περὶ ἐμοῦ ταῖς ἄλλαις
βουλαῖς, ἀναμνησθέντες, ὅτι οὔτε χρήματα διαχειρίσας
τῆς πόλεως δίδωμι λόγον αὐτῶν, οὔτε ἀρχὴν ἄρξας
οὐδεμίαν εὐθύνας ὑπέχω νῦν αὐτῆς, ἀλλὰ περὶ ὀβολοῦ
μόνον ποιοῦμαι τοὺς λόγους. καὶ οὕτως ὑμεῖς μὲν τὰ 27
δίκαια γνώσεσθε πάντες, ἐγὼ δὲ τούτων ὑμῖν τυχὼν
ἕξω τὴν χάριν, οὗτος δὲ τοῦ λοιποῦ μαθήσεται μὴ
τοῖς ἀσθενεστέροις ἐπιβουλεύειν, ἀλλὰ τῶν ὁμοίων
αὑτῷ περιγίνεσθαι.

---

# ΛΥΣΙΟΥ

## ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ.

---

### PROOEMIUM.

**Nicomachus quidam, cujus pater dicitur δημόσιος fuisse (§. 2. ibique annot.), post expulsos, ni fallor, Quadringentos munus receperat leges Solonis colligendi et fortasse in sermonem eo tem-**

25. *ἀλλ' οὐδ' ἂν αὐτὸς φήσειεν*] Ἀλλ' accessit ex C.

pore usitatum transferendi. Cognovimus ex oratione adversus Theomnestum leges Solonis prisco sermone, qui maximam partem obsoleverat, conscriptas fuisse. Hinc facile intelligitur plures decursu temporis earum recognitiones locum habuisse, tum ut vocabula obsoleta permutarentur cum usitatioribus, tum ut pro temporum rerumque vicissitudinibus etiam sententiae ipsae conformarentur. Hac in re sponte sine dubio oratores et caussidici elaborarunt; interdum tamen etiam publice hoc munus mandatum hominibus, qui ad eam rem aptissimi videbantur, et nomen habebant ἀναγραφεῖς τῶν νόμων. Hoc imprimis eo tempore fiebat, quo per internos motus civitas percussa, disciplina publica turbata legumque auctoritas fracta erat. Sic Nicomacho eo, quo dixi, tempore publice munus conscribendarum legum Solonis traditum esse videtur: cui rei tempus quattuor mensium assignatum erat. Rem difficiliorem fuisse quam vulgo opinabantur, nec sufficisse tempus ab initio constitutum, non mirum. Quattuor annos Nicomachum munere functum esse ait orator §. 4. Paragrapho autem secunda legimus eum munus quattuor mensium in sex annos extendisse. Utrumque fortasse convenit veritati pro temporum conditione. Quum complures anni decurrissent, antequam legum promulgatio fieret, tandem quadriennio elapso Nicomachus in senatu ad rationem reddendam adigitur. Interim novae iterum maturescebant res, quae tandem post fatalem pugnam ad Aegos potamos erumpebant et triginta virorum tyrannidem procreabant. Horum dominatu leges obmutescebant; et si quando una aliqua loquebatur, in commodum triginta virorum detorquebatur. Cujus rei crimen in hac oratione Nicomacho tribuitur. Oratio habita est post ejectos triginta viros, et quidem anuuo ad minimum spatio praeterlapso, sed adhuc Ol. XCIV. Accusatur Nicomachus, quod non solum multum temporis terminos ipsi praescriptos excesserit, sed omnem rem ad arbitrium administraverit. Quaestui eum adeo inhiasse, ut utrique litigantium parti leges subministraret tanquam a Solone datas, unde summam confusionem juris oriri necesse erat. Quanquam ab archontibus ad rationem reddendam adigeretur, immo etiam multaretur (§. 3.), dolo tamen semper se subduxit. Nunc etiam (pergit orator), quum non habeat, quo se defendat, culpam amovere studebit eo, quod incuset loquentem, et quidem de re, qua, quanquam falso, sycophantae, quos vexare volebant, inepta ratione accusabant, eum inter Quadringentos fuisse. Tantum vero abfuisse ostendit, ut horum e numero fuerit, ut ne in catalogum quidem ter mille virorum receptus sit, qui, quum res triginta tyrannorum in praeceps rueret, conscripti erant. Demonstrat vero Nicomachum, ut gratificaretur triginta viris, qui quocunque modo Cleophontem de medio tollere cupiebant, legem tanquam Solonis eo die, quo Cleophontem tradi judicio oportebat, subjecisse, penes senatum esse judicium ferre, et ita hunc indicta caussa periisse. Minime igitur, quamvis id simulet, democratiae studiosus fuit.

Atque etiam per leges, quas de rebus sacris instituendis tulit, civitati damnum fecit. Non contentus majorum pietate, qui, sacra parvo cum sumtu, sed pura cum mente celebrantes, civitatem maximam et florentissimam effecerunt, eam in summa pecuniae inopia, quum undique pressa importunis creditorum efflagitationibus satisfacere non posset, coegit magnas impensas facere, et intra

www.libtool.com.cn

biennium duodecim talenta ultra id, quod oportebat, consumere; vanaque est excusatio, si populo non placeant leges in hanc rem latae, abrogari eas posse. Jam enim per eas improbum reipublicae detrimentum illatum est.

Sollicite, pergit, animum advertunt ii, qui publica furari volunt, quae futura sit Nicomachi sors. Quem si non puniveritis, magnam illis licentiam dabitis; sin gravissimis eum poenis affeceritis, eadem ceteros sententia corrigetis. Atque etiam hoc tenete, salubre exemplum fore, si ab homine loquentia pollente poenam sumatis. Nec ulla probabilis caussa est, cur absolvatur. Nec adversus hostem fortem se praestitit, nec sumtus fecit civitati utiles, nec multa tributa pependit, sed ex vestris plurimum surripuit. Propter se ipsum dignus est, qui capite plectatur; propter majores eum venumdari oportet. Nec in posterum meliora potestis ab eo exspectare, qui ne acceptorum quidem beneficiorum memoriam ullam habet. Nec meliores sunt ipso, qui pro eo intercedent: quibus defensio potius rerum a se gestarum suscipienda quam deprecatio in noxiorum salutem. Vos autem hortor, ut imitemini nos accusatores. Nihil enim non tentabant isti, ut nos moverent desistere ab actione. Nos vero eorum precibus morem gerere noluimus; et vos ne ante judicium hominum improbitatem detestemini, sed in ipso judicio eos puniatis, qui legum vestrarum rationes temerant.

---

Ἤδη, ὦ ἄνδρες δικασταί, τινὲς εἰς κρίσιν κατα- 1
στάντες ἀδικεῖν μὲν ἔδοξαν, ἀποφαίνοντες δὲ τὰς τῶν προγόνων ἀρετὰς καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἐπειδὴ τοίνυν καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε, ἐάν τι ἀγαθὸν φαίνωνται τὴν πόλιν πεποιηκότες, ἄξιον καὶ τῶν κατηγόρων ὑμᾶς ἀκροάσασθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πάλαι πονηροὺς ὄντας. ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ Νικομάχου δημόσιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε καὶ ὅσα ἔτη γεγονὼς εἰς τοὺς φράτορας εἰσήχθη, πολὺ

1. ἄξιον] Sic Bekkeri optimus codex pro vulgato ἀξιῶ.

2. ὅσα ἔτη γεγονὼς] Genuini civium filii ipso, quo nati erant, anno ad φράτορας ducebantur, a negligentioribus autem tertio quartove aetatis anno, et si deductio ad φράτορας protrahebatur, facile suspicio oriebatur infantem non legitimo connubio procreatum esse, et, si prorsus omittebatur, infans habebatur νόθος. Ex nostro autem loco patet Nicomachum, quanquam sero, inscriptum esse inter φράτορας, nec ullum intercessisse

www.libtool.com.cn

ἂν ἔργον εἴη λέγειν. ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς οὐκ οἶδεν, ὅσα τὴν πόλιν ἐλυμήνατο; προσταχθὲν γὰρ αὐτῷ τεσσάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σόλωνος, ἀντὶ μὲν Σόλωνος αὑτὸν νομοθέτην κατέστησεν, ἀντὶ δὲ τεττάρων μηνῶν ἑξέτη τὴν ἀρχὴν ἐποιήσατο, καθ' ἑκάστην δὲ ἡμέραν ἀργύριον λαμβάνων τοὺς μὲν ἐνέγραφε, τοὺς δὲ ἐξήλειφεν.
3 εἰς τοῦτο δὲ κατέστημεν, ὥςτε ἐκ τῆς τούτου χειρὸς τεταμιεύμεθα τοὺς νόμους· καὶ οἱ ἀντίδικοι ἐπὶ τοῖς δικαστηρίοις ἐναντίους παρείχοντο, ἀμφότεροι παρὰ Νικομάχου φάσκοντες εἰληφέναι. ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς καὶ εἰςαγόντων εἰς τὸ δικα-

2. τοὺς νόμους τοὺς Σόλωνος] Sic Reiskius pro librorum lectione τ. ν. τοῦ Σόλωνος. Etiam ego retinui, quod usus probat, quoniam nulla fere est mutatio. Cf. quae dixi ad Aeschinem in Tim. c. 63.

ἑξέτη] Libri habent ἓξ ἔτη. Utrumque vocabulum conjunxit Marklandus. Cf. Lobeck ad Phrynichum p. 406. ss. accurate disputantem de vocabulis cum ἔτος compositis.

impedimentum. Hinc si §. 6. ei objicitur αὐτὸν δημόσιον εἶναι, id non presse accipiendum. Qui enim inter φράτορας admissus erat, ei civitas indicta caussa negari non poterat. Neque nostro loco vocabulum δημόσιος, de patre adhibitum, est premendum. Saepe enim eos, qui auctoritate aliqua in republica florebant, comici et oratores barbaros aut ex barbaris servisve natos calumniabantur. Cf. Meier de bonis damn. p. 62.

ἀρχὴν]. Notandum hoc legum conscribendarum munus h. l. ἀρχήν appellari, quum alias γραμματέως opera ὑπηρεσία (cf. Wolf. ad Leptin. p. 384) appelletur. Vocabulum autem ἀρχή de officiis cujuscunque generis alicui mandatis usurpatur. Vide Hudtwalcker die Diaeteten p. 32.

3. τεταμιεύμεθα] Ταμίας erat dispensator, qui ex penu singulis familiae membris quae opus erant distribuebat. Hinc ταμίου haud leves erant in familia partes, multumque ex eo pendebat mitior aut severior familiae conditio. Ταμιεύεσθαι significatione passiva dicuntur famuli, qui ratam partem a dispensatore accipiunt. H. l. tropice dicitur de scriba, qui, quum legum conscriptio ei mandata esset, vel parca et sordida vel liberali et improba manu pro arbitrio leges legumque momenta iis, qui petebant, dispensabat, donabat vel vendebat.

παρείχοντο] Coraës ad Isocratem T. II. p. 200. conjicit παρέχονται: opinor, ut sit praesens conditionis durantis, quemadmodum τεταμιεύμεθα est praesens conditionis praeteritae. Sed non video, cur imperfectum mutandum sit. Respicit enim orator ad id, quod jam plus semel factum fuit.

ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς] Bekkeri Anecdd. p. 254. ἐπιβολὴ καὶ ἐπιβάλ-

στήριον, οὐκ ἠθέλησε παραδοῦναι τοὺς νόμους· ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμφορὰς κατέστη, πρὶν τοῦτον ἀπαλλαγῆναι τῆς ἀρχῆς καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. καὶ γάρτοι, ὦ ἄνδρες 4
δικασταί, ἐπειδὴ ἐκείνων δίκην οὐ δέδωκεν, ὁποίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο; ὅςτις πρῶτον μὲν τέτταρα ἔτη ἀνέγραψεν, ἐξὸν αὐτῷ τριάκοντα ἡμερῶν ἀπαλλαγῆναι· ἔπειτα διωρισμένον, ἐξ ὧν ἔδει ἀναγράφειν, αὑτὸν ἁπάντων κύριον ἐποίησεν, καὶ τοσαῦτα διαχειρίσας μόνος οὗτος τῶν ἀρξάντων εὐθύνας οὐκ ἔδωκεν. Ἀλλ' οἱ μὲν ἄλλοι τῆς αὑτῶν ἀρχῆς κατὰ 5
πρυτανείαν λόγον ἀναφέρουσι, σὺ δέ, ὦ Νικόμαχε,

4. *αὑτὸν ἁπάντων κύριον ἐποίησεν*] Sic ex optimo codice dedit Bekkerus pro vulgato *ἐποιήσατο*.

*καὶ τοσαῦτα διαχειρίσας*] *Τοσαῦτα* obtulit optimus codex pro vulgato *ὅσα*. Verbum compositum est ex emendatione Marklandi pro librorum lectione *χειρίσας*. Sententiam, quae nunc partim ex libris restituta est, conjectura assecutus erat Jacobsius in Add. Ann. in Athen. p. 27. scribens *καὶ τόσα διαχειρίσας*.

λ ε ι ν: *ζημίας ὄνομα, τὸ τὸν ἄρχοντα ἢ τὴν βουλὴν χρήματα ὁρίζειν τινὶ δοκοῦντι ἀδικεῖν τὰ δημόσια ἢ ὀρφανούς, ἢ κατέχειν τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς ἄγειν. τὸ δὲ ἐπιβάλλειν ἐπὶ τοῦ ζημιοῦσθαι τέτακται.* Ἐπιβολή est compendiaria actio forensis, quum pro auctoritate magistratus noxio poena imponitur.

4. *ὁποίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο;*] Recte Reiskius signum interrogandi vel potius exclamandi posuit. Indignantis enim est haec interrogatio, qualem tandem etiamnum sibi auctoritatem et potentiam constituerit. Si recta velis enuntiare, dicendum est: i n g e n t e m s i b i - - c o n s t i t u i t. Taylor conjecit *ἐπειδὴ δίκην οὐ δέδωκεν, ὁποίαν ἔδει, καινὴν ἀρχὴν κατεστήσατο*, Marklandus *καινήν τινα ἀρχὴν κατ.* Utrumque languidum, si comparetur cum vulgata.

*διωρισμένον*] Taylor scribendum censebat *διωρισμένων*. unde patet, quam manca et incerta tunc temporis fuerit rerum grammaticarum cognitio. Marklandus quidem annotat: »*διωρισμένον* absolute pro *διωρισμένου*, quo nihil usitatius.« Taylor tamen, qui hic errabat, meliora tradit in I n d. A t t. voc. A c c u s a t i v u s: nisi quod haec participia verborum impersonalium non accusativo, sed nominativo accipienda esse monuerunt subtilissimi grammaticorum quum antiquorum, tum recentiorum. Cf. H e r m a n n u m ad Vig. p. 769. Et haec quidem jam decantantur in scholis.

5. *κατὰ πρυτανείαν*] P o l l u x L. VIII. 87. tradit *τ ῶ ν ἀ ρ χ ό ν τ ω ν* officium fuisse, *καθ' ἑκάστην πρυτανείαν ἐπερωτᾶν, εἰ δοκεῖ καλῶς ἄρχειν ἕκαστος, τὸν δ' ἀποχειροτονηθέντα κρίνουσι.* De prytaniis accurate disputavit S c h o e m a n n de Com. L. I. c. 2. p. 38. ss.

www.libtool.com.cn

οὐδὲ τεττάρων ἐτῶν ἠξίωσας ἐγγράψαι, ἀλλὰ μόνῳ σοὶ τῶν πολιτῶν ἐξεῖναι νομίζεις ἄρχειν πολὺν χρόνον, καὶ μήτε εὐθύνας διδόναι, μήτε τοῖς ψηφίσμασι πείθεσθαι, μήτε τῶν νόμων φροντίζειν· ἀλλὰ τὰ μὲν ἐγγράφεις, τὰ δὲ ἐξαλείφεις· καὶ εἰς τοῦτο ὕβρεως ἥκεις, ὥστε σαυτοῦ νομίζεις εἶναι τὰ τῆς πόλεως, αὐτὸς δημόσιος
6 ὤν. ὑμᾶς τοίνυν χρή, ὦ ἄνδρες δικασταί, ἀναμνησθέντας καὶ τῶν προγόνων τῶν Νικομάχου, οἵτινες ἦσαν, καὶ οὗτος ὡς ἀχαρίστως ὑμῖν προσενήνεκται παρανομήσας, κολάσαι αὐτόν, καὶ ἐπειδὴ ἑνὸς ἑκάστου δίκην οὐκ εἰλήφατε, νῦν ὑπὲρ ἁπάντων τὴν τιμωρίαν ποιήσασθε.

7 Ἴσως δέ, ὦ ἄνδρες δικασταί, ἐπειδὰν περὶ αὐτοῦ μηδὲν δύνηται ἀπολογεῖσθαι, ἐμὲ διαβάλλειν πειράσεται. ἐγὼ δὲ περὶ τῶν ἐμῶν τούτῳ τότε ἀξιῶ πιστεύειν ὑμᾶς, ὁπόταν, ἀπολογίας ἐμοὶ δοθείσης, μὴ δύνωμαι ψευδόμενον αὐτὸν ἐξελέγξαι. ἐὰν δ᾽ ἄρα ἐπιχειρῇ

6. νῦν ὑπὲρ ἁπάντων τὴν τιμωρίαν ποιήσασθε] Sic Bekkeri codex optimus. Vulgo ἁπάντων γ* ωων τὴν cet. Alter Bekkeri codex habet ἁπάντων γ additis post γ aliquot litteris, quae legi non possunt. Marklandus inde conjecerat ἁπάντων ἀθρόων: quae coacervatio synonymorum non est ex Lysiae more. Pro ποιήσασθε Bekkerus item ex conjectura Marklandi ποιήσασθαι, ut hoc membrum accurate respondeat antecedenti atque etiam hic infinitivus pendeat ex χρή: quam nimiam ἀκρίβειαν contra libros Lysiae equidem obtrudere nolui. Similia jam aliis locis notavimus, petique possunt nonnulla ex Excursu IV. de anacoluthis.

7. ἐγὼ δὲ περὶ τῶν ἐμῶν τούτῳ τότε] Accessit pronomen τούτῳ ex cod. Vind. (cujus variantes lectiones minus accurate enotatas habebat Reiskius, totum vero typis expressit F. C. Alterus Viennae. 1785.). Idem codex τότε bis scriptum habet, et ab initio enuntiationis pro ἐγὼ δέ, et post τούτῳ; posterius Reiskius delevit. Bekkerus recte, opinor, pronomine addito, ceteros codices secutus est. Diplasiasmus enim, quem in se non amat Lysias, hic etiam a scriptore hujus figurae amante vix usurpetur.

ἐγγράψαι] Marklandus jubet ἀναγράψαι, quod passim legatur in hac oratione. Id verum quidem; sed ἀναγράφειν est verbum proprium de collectione legum; ἐγγράφειν autem est nomen generis de inscriptione in tabulis publicis, et hic quidem λόγον ἐγγράφειν est nomen suum inscribere in tabulis eorum, qui rationem reddiderint, omnino rationem reddere.

7. ἀπολογίας ἐμοὶ δοθείσης] Hic est terminus proprius de eo, cui ἡγεμὼν δικαστηρίου facultatem dat se contra accusationem defendendi. Generis locutio est λόγον διδόναι.

www.libtool.com.cn

λέγειν ἅπερ ἐν τῇ βουλῇ, ὡς ἐγὼ τῶν τετρακοσίων
ἐγενόμην, ἐνθυμεῖσθε, ὅτι ἐκ τῶν τοιαῦτα λεγόντων
πλεῖον ἢ χίλιοι τῶν τετρακοσίων γενήσονται. καὶ γὰρ
τοὺς ἔτι παῖδας ὄντας ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ τοὺς
ἀποδημοῦντας οἱ διαβάλλειν βουλόμενοι ταῦτα λοιδο-
ροῦσιν· ἐγὼ δὲ οὕτω πολλοῦ ἐδέησα τῶν τετρακοσίων 8
γενέσθαι, ὥστε οὐδὲ τῶν τρισχιλίων κατελέγην. δεινὸν
δέ μοι δοκεῖ εἶναι, ὅτι, εἰ μὲν περὶ ἰδίων συμβολαίων
ἀγωνιζόμενος οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα,
οὐδ' ἂν αὐτὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος ἀπο-
φεύγειν· νυνὶ δὲ περὶ τῶν τῆς πόλεως κρινόμενος,
οἰήσεται χρῆναι ἐμοῦ κατηγορῶν ὑμῖν μὴ δοῦναι
δίκην.

ἐνθυμεῖσθε, ὅτι ἐκ τῶν τοιαῦτα λεγόντων πλεῖον ἢ χίλιοι τῶν τετρακοσίων γενήσονται] Sic Bekkerus ex optimo codice. Vulgo legebatur ἐνθυμεῖσθε τῶν τοιαῦτα λεγόντων ἐκ τῶν τριακοσίων πλεῖον ἢ χίλ. γεν. Offendebantur viri docti primum omissione conjunctionis ὅτι et absolute adjuncto verbo γενήσονται, quod non erat Lysiacae simplicitatis, tum genitivo τῶν τοιαῦτα λεγόντων, qui unde pendeat non habet. Simplicissimam medelam obtulit optimus codex. Praepositio ἐκ significat, quae caussa sit ingentis numeri. Cf. Matthiae gr. Gr. p. 839. Τῶν τετρακοσίων autem est genitivus partitivus.

λέγειν ἅπερ ἐν τῇ βουλῇ] Reiskius mavult λέγειν ἐν ὑμῖν, ἅπερ καὶ ἐν τῇ βουλῇ. Quae copia, quum locus pariter sit clarus, omissis quae Reiskius addere volebat, non est ex Lysiae more. Difficultas, si qua est, haeret in re. Quaeri enim potest, qua occasione Nicomachus haec de loquente dixerit in senatu. Num provocatus, ut rationem redderet? Id ex regula non fiebat in senatu, sed, opinor, apud praesidem ejus collegii, cujus erat εὐθύνας instituere, εὐθυνῶν sive λογιστῶν. Quum tamen collectio legum extra ordinem a senatu mandata esset, facile querelae poterant deferri ad senatum, quum nimia mora esset; et fieri potuit, ut occasione tali Nicomachus hac criminatione suam culpam repellere et querenti silentium imponere vellet.

τῶν τετρακοσίων] Haec est Taylori emendatio pro lectione librorum τῶν τριακοσίων. Quadringentorum dominatus, qui exponitur a Thucydide L. VIII, praecedebat triginta virorum tyrannidem, ejusque aliquoties mentio in superioribus facta est.

8. ὥστε οὐδὲ τῶν τρισχιλίων κατελέγην] Quum Quadringentis de dominatu cedendum erat, rerum administrationem quinque millibus civium tradere Athenienses decreverunt, ut cognoscimus ex Thucydidis L. VIII. 97. atque etiam ex oratoribus. Hinc pro τρισχιλίων Taylor πεντακισχιλίων restituendum censet, aliique sunt assensi. Neque du-

www.libtool.com.cn

9 Ἔτι δέ, οἶμαι, θαυμαστὸν νομίζω Νικόμαχον ἑτέροις ἀδικοῦσι μνησικακεῖν ἀξιοῦν, ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ πλήθει ἀποδείξω. καί μου ἀκούσατε· δίκαιον γάρ, ὦ ἄνδρες δικασταί, περὶ τῶν τοιούτων ἀνθρώπων τὰς τοιαύτας κατηγορίας ἀποδέχεσθαι, οἵτινες τότε συγκαταλύσαντες τὸν δῆμον νυνὶ δημοτικοί φασιν
10 εἶναι. ἐπειδὴ γὰρ ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεοφῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι καὶ οὐ τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δὲ Κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν
11 δήσαντας αὐτὸν παραδοῦναι δικαστηρίῳ. οἱ δὲ βουλόμενοι αὐτὸν ἀπολέσαι, δεδιότες μὴ οὐκ ἀποκτείνωσιν

9. *ἀδικοῦσι*] **Receptum hoc ex Reiskii emendatione. Libri scripti habent vel** *ἀδίκως* **vel** *ἀδίκους*. *Ἀδικοῦντες* **hic verum, oppositumque est** *τὸν ἐπιβουλεύσαντα τῷ πλήθει*, **quod grave crimen indicat contra democratiam.**

10. *καὶ οὐ τὰ βέλτιστα*] **Negatio accessit ex emendatione Reiskii. Marklandus proposuit** *καὶ μὴ τὰ βέλτ.* **Praetuli** *οὐ*, **quoniam cum participio** *φάσκων* **junctum significat negans.**

*Κηφισιεὺς*] **Sic appellabatur** *δημότης* **ex demo** *Κηφισίᾳ* *τῆς φυλῆς Ἐρεχθηΐδος*. **Hoc loco libri scripti habent perperam vel** *Κηφισσεὺς* **vel** *Κηφισεύς*. **Meursius in libro de populis Atticis scribit perperam** *Κηφησιεύς*, **in antepenultima** *η*. **Lapides offerunt** *ει*.

**bium est, quin sic scripserit orator, si illud temporis momentum spectat, quod proxime subsecutum est Quadringentorum dominatum. Sed per** *τρισχιλίους* **ii, opinor, sunt intelligendi, quos triginta viri, metuentes, ne cives Therameni se adjungerent, elegerunt** *τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων*. **Xenophon Hell. II. 3, 18. Complectitur igitur totum illud tyrannidis tempus a dominatu Quadringentorum ad id momentum usque, quo spes erat fore, ut triginta virorum tyrannis collabefacta mox corrueret, et affirmat tantum abfuisse, ut hominum ambitiosorum et arrogantium consortio se adjunxerit, ut ne partem quidem inter postremos habuerit, qui allecti sint, ut ruinam corporis ruentis remorarentur.**

9. *ἔτι δέ, οἶμαι, θαυμαστὸν νομίζω*] **Insulsam viri docti appellantes tautologiam** *οἶμαι* **et** *νομίζω* **affirmant vel alterutrum delendum, vel** *οἶμαι* **in** *εἶναι* **mutandum esse. Reiskius scripsit:** *ἔστι δέ, οἶμαι, θαυμαστὸν νομίζειν* **cet. Equidem in vulgata lectione acquiesco.** *Οἶμαι* **enim, deposita propria notione, formulae cum ironia affirmativae significationem sumsit et valet** *ἴσως*, *δήπου*.

*δίκαιον γάρ*] **Timebat nempe, ne judices inique ferrent accusationem, ut** *συκοφαντίαν*. **Multi enim contra legem restituta pace latam** *τοῦ μὴ μνησικακεῖν*, **privato odio ducti, homines, qui metu impediti triginta virorum violentiae non restiterant, tanquam socios tyrannidis calumniabantur et actionibus vexabant.**

www.libtool.com.cn

ἐν τῷ δικαστηρίῳ, πείθουσι Νικομαχίδην νόμον ἀποδεῖξαι, ὡς χρὴ καὶ τὴν βουλὴν συνδικάζειν. καὶ ὁ πάντων οὗτος πονηρότατος οὕτω φανερῶς συνεστασίασεν, ὥςτε τῇ ἡμέρᾳ, ᾗ ἡ κρίσις ἐγένετο, ἀποδεῖξαι τὸν νόμον. Κλεοφῶντος τοίνυν, ὦ ἄνδρες δικασταί, 12
ἕτερα μὲν ἂν τις ἔχοι κατηγορῆσαι· τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες τὸν δῆμον ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκποδὼν γενέσθαι, καὶ ὅτι Σάτυρος καὶ [Κλεοφῶν] οἱ τῶν τριάκοντα γενόμενοι οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι Κλεοφῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες

12. [*Κλεοφῶν*]] Hoc nomen jam in editione Wecheliana atque etiam a Bekkero ut per negligentiam a librariis repetitum uncis inclusum est: recte. Palmerius nescio quid de duobus Cleophontibus somniabat, populari altero, altero de numero triginta virorum. De homine hujus nominis, qui fuerit triginta virorum, nullum usquam vestigium. Atque etiam si vel triginta virorum fuisset, ad conjuncta nomina *Σάτυρος καὶ Κλεοφῶν* non aptum esset epitheton *οἱ τῶν τριάκοντα γενόμενοι*. *Σάτυρος* enim, ut testatur Xenophon Hellen. II. 3, 14. erat *θρασύτατος τῶν ἕνδεκα καὶ ἀναιδέστατος*.

11. *πείθουσι Νικομαχίδην νόμον ἀποδεῖξαι*] Marklandus mavult *πείθουσι Νικόμαχον ἴδιον νόμον ἀποδ.*, quoniam in hac oratione nomen hominis ubique sit *Νικόμαχος*. Sed recte monuit Hemsterhusius ad Luciani Tim. §. 44. n. 31. non insolens esse, ut primitivum et patronymicum nomen in eadem persona obtineant; eamque orationem, quam Harpocratio laudat s. v. *ἐπιβολή*. *ὡς καὶ παρὰ Λυσίᾳ κατὰ Νικομαχίδου*, hanc ipsam esse *κατὰ Νικομάχου*; retractans adeo sententiam, quam pronuntiaverat ad Polluc. VIII. 23., et concedens hoc uno loco Lysiam nominare hominem *Νικομαχίδην*, quem alibi semper *Νικόμαχον* nominet. Vide quos laudat A. Matthiae gr. Gr. ed. secund. p. 215. not. u. Legem quam flagitabant, non quidem veram legem Solonis fuisse facile intelligitur, ex parte tamen vera esse poterat. Nam haud incredibile jam Solonis tempore certis in caussis senatui assignatam fuisse juris dictionem, v. c. in caussis majestatis. cf. Platner der Process. T. I. p. 62. ss.

*συνεστασίασεν*] Hoc verbum ipsum est conspiravit, adjuvit partes eorum, qui legibus contraria, violenta machinabantur, non quod vim transitivam habens suasit Marklandus *συνέστησε*, confundens id cum praeterito *συνεστάναι*, quod intransitivam vim habet.

*τῇ ἡμέρᾳ, ᾗ ἡ κρίσις ἐγένετο*] Subito igitur et repente eo ipso die, quo Cleophontis caussa judicanda erat, hanc legem producebat, ut non posset examinari, utrum vera lex esset Solonis, an subdita.

αὐτοὶ ὑμᾶς κακῶς ποιῶσι. καὶ ταῦτα διεπράξαντο
13 διὰ τὸν νόμον, ὃν Νικόμαχος ἀπέδειξεν. εἰκὸς τοίνυν,
ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν
ἐνόμιζον Κλεοφῶντα κακὸν πολίτην εἶναι, ὅτι καὶ τῶν
ἐν τῇ ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρός,
ἀλλ' ὅμως καὶ διὰ τοὺς τοιούτους ὠργίζεσθε τοῖς
τριάκοντα, ὅτι οὐ τῶν ἀδικημάτων ἕνεκα, ἀλλὰ κατὰ
14 στάσιν αὐτοὺς ἀπέκτειναν. ἐὰν οὖν πρὸς ταῦτα ἀπο-
λογῆται, τοσοῦτον μέμνησθε, ὅτι ἐν τοιούτῳ καιρῷ
τὸν νόμον ἀπέδειξεν, ἐν ᾧ ἡ πολιτεία μεθίστατο, καὶ
τούτοις χαριζόμενος, οἳ τὸν δῆμον κατέλυσαν, καὶ
ταύτην τὴν βουλὴν συνδικάζειν ἐποίησεν, ἐν ᾗ Σάτυρος
μὲν καὶ Χρέμων μέγιστον ἐδύναντο, Στρομβιχίδης δὲ

13. ὠργίζεσθε] Hoc, quod Stephanus in margine annotavit, praebuerunt Bekkeri codices. Vulgo ὀργίζεσθε.

Στρομβιχίδης] Variant plerumque Mss., ubi hoc nomen legitur. Στρομβιχίδης forma est nomen patronymicum; nomen, unde derivatur, est Στρόμβιχος et primitivum est Στρόμβος. Jam Στρόμβος non solum nomen proprium, sed etiam appellativum, a στρέφω derivatum: quod quum etiam στρόβος dicatur, non mirandum derivata nomina etiam sine μ aliquando in codicibus scripta esse. Ex litteris μβ saepe etiam μμ ortum est, non μ, de qua corruptela Bastius loquitur ep. crit. p. 57. et de confusione litterarum μ et β in Dissert. palaeogr. p. 708. Optimi tamen codices plerumque eam, quam dedimus, scripturam exhibent, quanquam hic optimus Bekkeri codex habet Στρομαιχίδης, de qua confusione litterarum β et α exponit idem ibid. p. 707.

13. ὅτι καὶ τῶν -- ἀποθανόντων -- πονηρός, ἀλλ' ὅμως -- ὠργίζεσθε] Reiskius de suo scripsit ὅτι εἰ καὶ cet. quod, si codd. addicerent, facile praeferrem. Contra codices tamen nullâ opus mutatione. Etiamsi enim εἰ conditionale non adsit, primum membrum concedit Cleophontem aliumve, qui per triginta viros occubuerit, cives fortasse malos fuisse; in altero autem opposito membro affirmatur Athenienses patriae amantes tamen etiam ob hos triginta viris indignatos esse, quoniam intellexissent eos hos non ob crimina ab ipsis commissa, sed ut crudelitati suae satisfacerent, necavisse.

13. Στρομβιχίδης] Duos diversos Strombichidas statuit Valesius ad Harpocrat. p. 175., unum Diotimi filium ναύαρχον Ἀθηναίων, alterum in hoc Lysiae loco, qui periit per triginta viros. Num Strombichides ναύαρχος, cujus Thucydides meminit L. VIII. saepius, v. c. 15. 62. 63. cet., diversus sit ab eo, de quo h. l. sermo sit, non affirmem. Tempora certe concedunt unum eundemque fuisse. Thucydides eum filium Diotimi ait fuisse. Diotimus autem pater is videtur esse, cujus meminit Thucydides I. 45, quem filium nominat Στρομβίχου. Hinc facile patet eum filium nomine patrony-

καὶ Καλλιάδης καὶ ἕτεροι πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τῶν πολιτῶν ἀπώλλυντο.

www.libtool.com.cn

Καὶ περὶ τούτων οὐδένα ἂν ἐποιησάμην λόγον, 15
εἰ μὴ ᾐσθανόμην αὐτὸν ὡς δημοτικὸν ὄντα πειράσεσθαι παρὰ τὸ δίκαιον σώζεσθαι, καὶ τῆς εὐνοίας τῆς εἰς τὸ πλῆθος τεκμηρίῳ χρησόμενον, ὅτι ἔφυγεν. ἐγὼ δὲ καὶ ἑτέρους ἂν ἔχοιμι ἐπιδεῖξαι τῶν συγκαταλυσάντων τὸν δῆμον τοὺς μὲν ἀποθανόντας, τοὺς δὲ φυγόντας τε καὶ οὐ μετασχόντας τῆς πολιτείας.' ὥστε 16
οὐδὲν εἰκὸς αὐτῷ τοῦτο ὑπόλογον γενέσθαι. τοῦ μὲν γὰρ ὑμᾶς φυγεῖν μέρος τι καὶ οὗτος συνεβάλετο· τοῦ δὲ τοῦτον κατελθεῖν τὸ πλῆθος τὸ ὑμέτερον αἴτιον ἐγένετο. ἔτι δὲ καὶ δεινόν, εἰ ὧν μὲν ἄκων ἔπαθε χάριν αὐτῷ εἴσεσθε· ὧν δ' ἑκὼν ἐξήμαρτε μηδεμίαν τιμωρίαν ποιήσεσθε.

Πυνθάνομαι δὲ αὐτὸν λέγειν, ὡς ἀσεβῶ καταλύων 17
τὰς θυσίας. ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς, ἡγούμην ἂν ἐξεῖναι Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ ἐμοῦ· νῦν δὲ τοῖς κοινοῖς καὶ κειμένοις ἀξιῶ τοῦτον πείθεσθαι. θαυμάζω δέ, εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φάσκῃ ἀσεβεῖν λέγοντα, ὡς χρὴ θύειν τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ

mico Strombichidem appellasse. Num tamen idem fuerit, dubitationem movet, quod apud Xenophont. orator *Αὐτοκλῆς Στρομβιχίδου* memoratur Hellen. VI. 3, 2., quem Strombichidem eundem fuisse cum eo, qui per triginta viros perierit, recte statuere videntur viri docti. Si autem is *Στρομβιχίδης* filius fuisset Diotimi, verisimile est eum filium appellaturum fuisse avi nomine Diotimum. Res est parvi momenti.

*πολλοὶ καὶ καλοὶ κἀγαθοὶ*] Idiotismus linguae Graecae, quod copula interponatur vocabulo *πολύς* et adjectivo ei adjuncto. Cf. Matth. gr. Gr. §. 444. 4. p. 619.

15. *τοὺς μὲν ἀποθανόντας, τοὺς δὲ φυγόντας*] Vel morte vel exsilio damnatos ab iis ipsis, quos in dissolvenda reipublicae forma adjuverant, similiter ei sententiae, quam pronuntiavit Philippus ille Macedo: *τοὺς μὲν μέλλοντας προδιδόναι μάλιστα φιλῶ, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ.*

17. *ἐκ τῶν κύρβεων*] Harpocration s. v. *κύρβεις*: *κύρβεις*, inquit, *φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν ἔχειν ἐγγεγραμμένους τοὺς νόμους. εἶναι δ' αὐτοὺς λίθους ὀρθοὺς ἑστῶτας ὡς ἀπὸ μὲν τῆς στάσεως στήλας, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀναστάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις ἐκά-*

τὰς συγγραφάς, ὅτι καὶ τῆς πόλεως κατηγορεῖ. ταῦτα
www.libtool.com.cn
γὰρ ὑμεῖς ἐψηφίσασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινά,
ἦπου σφόδρα ἐκείνους ἡγῇ ἀδικεῖν, οἳ τὰ ἐκ τῶν κύρ-
18 βεων μόνον ἔθυον. καίτοι, ὦ ἄνδρες δικασταί, περὶ
εὐσεβείας οὐ παρὰ Νικομάχου δεῖ μανθάνειν, ἀλλ᾽ ἐκ
τῶν γεγενημένων σκοπεῖν. οἱ τοίνυν πρόγονοι τὰ ἐκ
τῶν κύρβεων θύοντες μεγίστην καὶ εὐδαιμονεστάτην τῶν
Ἑλληνίδων τὴν πόλιν παρέδοσαν, ὥστε ἄξιον ἡμῖν τὰς
αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι καὶ εἰ μηδὲν δι᾽ ἄλλο,
τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης.
19 πῶς δ᾽ ἂν τις εὐσεβέστερος γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ,
πρῶτον μὲν κατὰ τὰ πάτρια θύειν, ἔπειτα ἃ μᾶλλον
συμφέρει τῇ πόλει, ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο, καὶ
δυνησόμεθα δαπανᾶν ἐκ τῶν προσιόντων χρημάτων; σὺ
δέ, ὦ Νικόμαχε, τούτων τἀναντία πεποίηκας· ἀνα-
γράψας γὰρ πλείω τῶν προσταχθέντων, αἴτιος γεγένη-
σαι τὰ προσιόντα χρήματα εἰς ταῦτα μὲν ἀναλίσκεσθαι,
20 ἐν δὲ ταῖς πατρίοις θυσίαις ἐπιλείπειν. αὐτίκα πέρυ-
σιν ἱερὰ ἄθυτα τριῶν ταλάντων γεγένηται τῶν ἐν ταῖς
κύρβεσι γεγραμμένων. καὶ οὐχ οἷόν τε εἰπεῖν, ὡς οὐχ
ἱκανὰ ἦν, ἃ προσῆλθε τῇ πόλει. εἰ γὰρ οὗτος μὴ
πλείω ἀνέγραψεν ἓξ ταλάντοις, εἴς γε τὰς θυσίας τὰς

λουν – –. ἔστησαν δὲ τὰς κύρβεις ἐν τῇ στοᾷ τῇ βασιλείᾳ. Sunt igitur κύρβεις columnae, in quibus antiquissimae Solonis leges res sacras spectantes inscriptae erant. Θυσίαι ἐκ τῶν κύρβεων κατ᾽ ἐξοχὴν dicebantur πάτριοι et formula erat κατὰ τὰ πάτρια θύειν. His adduntur θυσίαι ἐκ στηλῶν κατὰ τὰς συγγραφάς: quas haud scio an eae sint, quae appellantur ab Isocrate Areop. c. 11. ἐπίθετοι ἑορταί: quas explicat Harpocration s. v. τὰς μὴ πατρίους, ἄλλως δὲ ἐπιψηφισθείσας. Illae erant piae magis quam sumtuosae; hae autem magnos sumtus habebant et in gratiam populi ἑστιάσεις, θεωρικὰ cet. instituta erant.

19. ἐκ τῶν προσιόντων χρημάτων] Ex reditibus in hunc usum destinatis: ἐκ τῶν τεμενικῶν προσόδων. ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς ἀπένεμον, ἐξ ὧν μισθουμένων αἱ εἰς τὰς θυσίας ἐγίνοντο δαπάναι. Erant igitur ἱερὰ κτήματα, ἐξ ὧν αἱ θυσίαι τοῖς θεοῖς ἐγίνοντο.

20. ἱερὰ ἄθυτα – γεγένηται] Ἱερὰ ἄθυτα sunt opposita ἱεροῖς τεθυμένοις, sacrificia non acta, intermissa. Cognoscimus igitur ex hoc loco sumtus ad sacrificia ex antiquis Solonis legibus fuisse trium talentorum.

εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ἓξ ταλάντοις] Si sumtus in sacrificia ex nova collectione legum agenda impendendi non sex talentis superassent sumtus in

www.libtool.com.cn

πατρίους ἂν ἐξήρκεσε, καὶ τρία τάλαντα ἂν περιεγίγνετο τῇ πόλει. περὶ δὲ τῶν εἰρημένων καὶ μάρτυρας ὑμῖν παρέξομαι.

## ΜΑΡΤΥΡΕΣ.

Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες δικασταί, ὅτι, 21
ὅταν μὲν κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται, ἐπειδὰν δὲ κατὰ τὰς στήλας, ἃς οὗτος ἀνέγραφε, πολλὰ τῶν ἱερῶν καταλύεται. καὶ τούτοις ὁ ἱερόσυλος περιτρέχει, λέγων, ὡς εὐσέβειαν, ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραφε· εἰ δὲ μὴ ταῦτα ὑμῖν ἀρέσκει, ἐξαλείφειν κελεύει, καὶ ἐκ τούτων οἴεται πείθειν, ὡς οὐδὲν ἀδικεῖ, ὃς ἐν δυοῖν μὲν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀνάλωσε, παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις τὴν πόλιν ζημιῶσαι·
καὶ ταῦτα ὁρῶν αὐτὴν ἀποροῦσαν χρημάτων καὶ Λακε- 22
δαιμονίους μὲν ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν

§. 21. *εἰ δὲ μὴ ταῦτα ὑμῖν ἀρέσκει*] *Εἰ δέ* Bekkerus ex optimo codice pro vulgato *καὶ εἰ.*

sacrificia ex legibus Solonis agenda (qui erant trium talentorum). Nicomachus igitur novem talenta conscripsit esse impendenda. Quod si leges antiquas retinuisset, non tria solum talenta adfuissent ad sacra *ἐκ τῶν κύρβεων* agenda, sed altera tria gravissimo reipublicae tempore, quum non sufficeret publicis necessitatibus, tulisset aerarium.

21. *καὶ τούτοις ὁ ἱερόσυλος περιτρέχει*] Marklandus legendum esse opinatur *καὶ ἐπὶ τούτοις π.*, nec improbarunt posteriores, et sane haec loquendi ratio facilior: nisi forte absolutum *τούτοις* quasi dativus sit instrumenti, id indicans, quod incitaverit hominem ad discurrendum. Cf. Hermannum ad Vigerum p. 882.

*λέγων, ὡς εὐσέβειαν, ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε*] Se in sacris describendis id spectasse, quod pios homines deceat, non quod parcorum sit, ipsos in deos sordidorum.

*εἰ δὲ μὴ ταῦτα ὑμῖν ἀρέσκει*] Marklando sententia displicet. Opinatur enim, si Nicomachus ipse concesserit delenda, si quae descripserit Atheniensibus non placeant, optimum hoc futurum fuisse innocentiae argumentum. — Sed orator hoc minime sufficere affirmat. Qui enim aliquid instituerit, unde graves et inanes sumtus patriam oppresserint, hunc culpa non liberari, dicentem in posterum caveri posse hos sumtus, sed hoc saltem ab eo postulandum esse, ut restituat, quod ejus instituto in patriae detrimentum sit profusum. *Ἀδίκημα* autem Nicomachi erat *ἐν δυοῖν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀναλωκέναι*, idque est eo gravius delictum, quod civitas hoc temporis lapsu summa eaque pestifera penuria pressa erat.

www.libtool.com.cn

αὐτοῖς τὰ χρήματα, Βοιωτοὺς δὲ σῦλα ποιουμένους,
ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀποδοῦναι, τοὺς δὲ
νεωςοίκους καὶ τὰ τείχη περικαταῤῥέοντα, εἰδὼς δὲ, ὅτι
ἡ βουλὴ ἡ βουλεύουσα, ὅταν μὲν ἔχῃ ἱκανὰ χρήματα εἰς
διοίκησιν, οὐδὲν ἐξαμαρτάνει, ὅταν δὲ εἰς ἀπορίαν κα-
ταστῇ, ἀναγκάζεται εἰςαγγελίας δέχεσθαι, καὶ δη-
μεύειν τὰ τῶν πολιτῶν, καὶ τῶν ῥητόρων τοῖς πονη-
23 ρότατα λέγουσι πείθεσθαι. χρὴ τοίνυν, ὦ ἄνδρες δι-
κασταί, μὴ τοῖς βουλεύουσιν ἑκάστοτε ὀργίζεσθαι, ἀλ-
λὰ τοῖς εἰς τοιαύτας ἀπορίας καθιστᾶσι τὴν πόλιν.
προςέχουσι τὸν νοῦν οἱ βουλόμενοι τὰ κοινὰ κλέπτειν,
ὅπως Νικόμαχος ἀγωνιεῖται· οἷς ὑμεῖς, ἐὰν μὴ τοῦ-
τον τιμωρήσησθε, πολλὴν ἄδειαν ποιήσετε· ἐὰν δὲ κα-
ταψηφισάμενοι τῶν ἐσχάτων αὐτῷ τιμήσητε, τῇ αὐτῇ
ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε καὶ παρὰ τού-
24 του δίκην εἰληφότες ἔσεσθε. ἐπίστασθε δέ, ὦ ἄνδρες
δικασταί, ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται μὴ τολμᾶν
εἰς ὑμᾶς ἐξαμαρτάνειν, οὐχ ὅταν τοὺς ἀδυνάτους εἰπεῖν
κολάζητε, ἀλλ' ὅταν παρὰ τῶν δυναμένων λέγειν δίκην

23. καθιστᾶσι] Sic Reiskius emendavit librorum lectionem καθιστῶσι. Sed participium ἱστῶν non est scriptorum Atticorum.

22. τὰ χρήματα] Intelligit centum talenta, quae triginta viri a Lacedaemoniis mutuo sumserant (Xenophon Hell. II. 4, 28.), quae restituta pace civitas se numeraturam receperat.

περικαταῤῥέοντα] Ῥεῖν cum compositis varias habet tropicas significationes. H. l. dicitur de rebus, quae sensim dissolvuntur, labant et tandem concidunt.

ἀναγκάζεται εἰςαγγελίας δέχεσθαι] Non dubitabant demagogi disertis verbis aliquando profiteri, esse homines divites jam hac sola de caussa damnandos eorumque bona publicanda, ut sit unde populo μισθοφορὰ peti possit. Cf. Boeckh Staatsh. I. p. 234.

23. προςέχουσι τὸν νοῦν] Asyndeton notabile, quod clementem hic expertum est Reiskium, durum Marklandum, qui scribit προςέχουσι γάρ. Nos quidem, quanquam Lysias asyndetis non admodum delectatur, in eo hic agnoscimus vim orationis.

ἐὰν δὲ — τῶν ἐσχάτων αὐτῷ τιμήσητε] Τιμᾶν est judicis poenam reo ponentis. Apud oratores non memini id alia ratione construi, ac cum dativo personae ac genitivo poenae. Hinc probo Reiskium, qui dativum αὐτῷ scripsit pro vulgato αὐτόν. Propius a veritate aberat cod. Vind., qui habet αὐτῶν. Notum est autem per librarios saepe ι subscriptum transiisse in ν. Accusativus fortasse invasit propter lectionem, quae est in codd. quibusdam, τιμωρήσητε.

www.libtool.com.cn

λαμβάνητε. τίς οὖν τῶν ἐν τῇ πόλει ἐπιτηδειότερος Νι-
κομάχου δοῦναι δίκην; τίς ἐλάττω τὴν πόλιν ἀγαθὰ πε-
ποίηκεν, ἢ πλείω ἠδίκηκεν; ὃς καὶ τῶν ὁσίων καὶ τῶν 25
ἱερῶν ἀναγραφεὺς γενόμενος εἰς ἀμφότερα ταῦτα ἡμάρ-
τηκεν; ἀναμνήσθητε δὲ, ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν
ἐπὶ κλοπῇ χρημάτων ἀπεκτείνατε. καίτοι ἐκεῖνοι μὲν
τοσοῦτον μόνον ὑμᾶς ἔβλαψαν, ὅσον ἐν τῷ παρόντι,
οὗτοι δ' ἐπὶ τῇ τῶν νόμων ἀναγραφῇ καὶ τῶν ἱερῶν
δῶρα λαμβάνοντες, εἰς ἅπαντα τὸν χρόνον τὴν πόλιν
ζημιοῦσι.

Διὰ τί δ' ἂν τις ἀποψηφίσαιτο τούτου; πότερον 26
ὡς ἀνδρὸς ἀγαθοῦ πρὸς τοὺς πολεμίους καὶ πολλαῖς
μάχαις καὶ ναυμαχίαις παραγεγενημένου; ἀλλὰ ὅτε ὑ-
μεῖς ἐκινδυνεύετε ἐκπλέοντες, οὗτος αὐτοῦ μένων τοὺς
Σόλωνος νόμους ἐλυμαίνετο. ἀλλ' ὅτι χρήματα δε-
δαπάνηκε, καὶ πολλὰς εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ
ὅπως ὑμῖν τῶν αὑτοῦ τι ἐπέδωκεν, ἀλλὰ καὶ τῶν ὑ-
μετέρων πολλὰ ὑφῄρηται. ἀλλὰ διὰ τοὺς προγόνους; 27
ἤδη γάρ τινες καὶ διὰ τοῦτο συγγνώμης ἔτυχον παρ' ὑ-
μῶν. ἀλλὰ τούτῳ γε προσήκει διὰ μὲν αὐτὸν τεθνά-

§. 26. ἀλλ' ὅτι χρήματα δεδαπάνηκε] Hanc Marklandi emendationem, χρήματα scribentis pro χρήμασι, confirmavit optimus Bekkeri codex. Hoc loco dativus est soloecismus, quoniam is additus verbo δαπανᾶν significat rem, in quam χρήματα impenduntur. Χρήματα autem, quae impenduntur, nonnisi in accusativo, ut objectum δαπανώμενον, poni possunt.

24. ἐπιτηδειότερος] Cf. ad Aeschinem κατὰ Κτησ. §. 230. Interdum de eo, qui dignus est, qui poenam accipiat malive quid patiatur.

25. τῶν ὁσίων καὶ τῶν ἱερῶν] Marklandus, qui in se conjunctionem horum vocabulorum nec ignorat nec damnat, hic tamen minus recte ea juncta esse opinatur et scribendum censet τῶν δημοσίων καὶ τῶν ἱερῶν. Nil mutandum. Τὰ ὅσια eadem sunt, quae Marklandus per δημόσια intelligit, eaque religiosius notantur. Τὰ ἱερά sunt quae pertinent ad deos; τὰ ὅσια vero sunt gravissimae rerum humanarum, proximae τοῖς ἱεροῖς, parentes, liberi, patria et quae ad eos pertinent. Hodie in his vera docent etiam Lexica.

26. ἀλλ' οὐχ ὅπως – – ἐπέδωκεν, ἀλλὰ – ὑφῄρηται] Libri quidam grammatici docent οὐχ ὅπως esse non solum non, v. c. Viger. de idiot. p. 432. Mihi formulam ellipticam recte videtur explicavisse Schaeferus ad Bosii Ell. p. 775., nec, opinor, aliud hodie traditur in scholis.

www.libtool.com.cn

ναι, διὰ δὲ τοὺς προγόνους πεπρᾶσθαι. ἀλλ' ὡς,
ἐὰν νῦν αὐτοῦ φείσησθε, αὖθις ἀποδώσει τὰς χάρι-
τας; ὃς οὐδ' ὧν πρότερον μετέλαβε παρ' ὑμῶν ἀγα-
θῶν μέμνηται. καίτοι ἀντὶ μὲν δούλου πολίτης γε-
γένηται, ἀντὶ δὲ πτωχοῦ πλούσιος, ἀντὶ δὲ ὑπογραμ-
28 ματέως νομοθέτης. ἃ καὶ ὑμῶν ἔχοι ἄν τις κατηγο-
ρῆσαι, ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ᾑροῦντο Σόλω-
να καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἡγούμενοι τοιού-
τους ἔσεσθαι τοὺς νόμους, οἷοίπερ ἂν ὦσιν οἱ τιθέν-
τες· ὑμεῖς δὲ Τισαμενὸν τὸν Μηχανίωνος καὶ Νικό-
μαχον καὶ ἑτέρους, ἀνθρώπους ὑπογραμματέας· καὶ
τὰς μὲν ἀρχὰς ὑπὸ τῶν τοιούτων ἡγεῖσθε διαφθείρε-
29 σθαι, αὐτοὺς δὲ τούτοις πιστεύετε. ὃ δὲ πάντων
δεινότατον, ὅτι ὑπογραμματεῦσαι μὲν οὐκ ἔξεστι δὶς
τὸν αὐτὸν τῇ ἀρχῇ τῇ αὐτῇ, περὶ δὲ τῶν μεγίστων

§. 28. αὐτοὺς] Hoc a Marklando restitutum pro librorum lectione αὐτοῖς positum est pro ὑμᾶς αὐτούς. Pronominis reflexivi usum apud Atticos scriptores explicavi ad Aeschinem in Tim. c. 34.

29. ὃ δὲ πάντων δεινότατον, ὅτι cet.] Conjunctionem addidit Bekkerus ex optimo codice: in cujus codicis gratiam eam retinui; sed non deest suspicio eam a grammatico additam esse, qui asyndeton post formulam ὃ δὲ δεινότατον non tolerabat. Plerumque enim eam vel particula γὰρ vel conjunctio ὅτι sequitur; quam interdum omitti notat Fr. A. Wolfius ad Leptin. p. 225.

27. διὰ δὲ τοὺς προγόνους πεπρᾶσθαι] Nempe si quis convictus erat, quod natus patre non Atheniensi civitatem tamen Atticam usurpaverit, totus erat in civitatis potestate τοῖς χρήμασι καὶ τῷ σώματι, et vendi poterat ὡς ἀνδράποδον. Hoc igitur spectat ad id, quod §. 2. dixit, τὸν πατέρα Νικομάχου δημόσιον εἶναι.

28. ἀνθρώπους ὑπογραμματέας] Marklandus, qui ἄνθρωπος ὑπογραμματεύς ut notam formulam pleonasticam cum ἄνθρωπος βασιλεύς Matth. XXII, 2. comparat, reprehenditur a Valckenario in annott. critt. in loc. N. T. p. 336., qui nusquam in profano Graeco scriptore legi affirmat de rege ἄνθρωπος βασιλεύς, et monet in nostro Lysiae loco opposite ad Solonem, Periclem memoratos Tisamenum quemdam et Nicomachum per contemtum ab oratore dici ἀνθρώπους ὑπογραμματέας; alibi eum etiam vocabulum ἄνθρωπος in talibus adhibuisse, sed semper in contemtu de ancillis, meretricibus atque hujus generis mulierculis. Tisameni, cujus patrem Mechanionem ex hoc loco cognoscimus nomine, ψήφισμα, de nomothetis extra ordinem creandis restituta pace latum, exstat apud Andocid. de myster. p. 39. s. R.

29. δὶς] Boeckhius recte videtur interpretari duos continuos annos Staatsh. T. I. p. 203.

www.libtool.com.cn

τοὺς αὐτοὺς ἐᾶτε πολὺν χρόνον κυρίους εἶναι. καὶ τὸ τελευταῖον, Νικόμαχον εἵλεσθε ἀναγράφειν τὰ πάτρια, ᾧ κατὰ πατέρα τῆς πόλεως οὐ προςήκει· καὶ 30
ὃν ἔδει ὑπὲρ τοῦ δήμου κρίνεσθαι, οὗτος τὸν δῆμον συγκαταλύσας φαίνεται. νῦν τοίνυν ὑμῖν μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ ὑπὸ τῶν ἀεὶ κακῶς πάσχοντες ἀνέχεσθε, μηδὲ ἰδίᾳ μὲν ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐπειδὰν δ' ἐξῇ δίκην παρ' αὐτῶν λαμβάνειν, ἀποψηφίζεσθε.

Καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα· 31
περὶ δὲ τῶν ἐξαιτησομένων βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι. παρεσκευασμένοι τινές εἰσι καὶ τῶν φίλων καὶ τῶν τὰ τῆς πόλεως πραττόντων δεῖσθαι ὑπὲρ αὐτοῦ· ὧν ἐγὼ ἡγοῦμαι ἐνίοις προςήκειν ὑπὲρ τῶν ἑαυτοῖς πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλλον ἢ τοὺς ἀδικοῦντας σώζειν προαιρεῖσθαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, ὦ ἄν- 32
δρες δικασταί, εἰ τούτου μὲν ἑνὸς ὄντος καὶ οὐδὲν ὑπὸ τῆς πόλεως ἠδικημένου οὐκ ἐπεχείρησαν δεῖσθαι, ὡς χρὴ παύσασθαι εἰς ὑμᾶς ἐξαμαρτάνοντα· ὑμᾶς δὲ τοσούτους ὄντας καὶ ἠδικημένους ὑπὸ τούτου ζητοῦσιν, ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ λαμβάνειν. χρὴ τοίνυν, 33
ὥςπερ ἂν τούτους ὁρᾶτε προθύμως σώζοντας τοὺς φίλους, οὕτω καὶ ὑμᾶς τοὺς ἐχθροὺς τιμωρεῖσθαι, εὖ

§. 32. ζητοῦσιν] Hoc obtulit optimus Bekkeri codex pro vulgato ζητήσουσιν.

30. ὃν ἔδει ὑπὲρ τοῦ δήμου κρίνεσθαι] Viri docti pro ὑπέρ legi volunt ὑπό, quia a populo laesae majestatis caussa sit judicandus; atque etiam Platnerus in libro der Process. p. 376. locum ita intelligit et commendat ὑπό. Augerus autem praepositionem ὑπέρ significare opinatur nomine populi, tanquam reum laesae majestatis erga populum. Fortasse per ὑπὲρ τοῦ δήμου κρίνεσθαι significatur γραφὴ ξενίας, caussa capitalis de civitate. Δῆμος autem h. l. ob oppositionem cum sequenti τὸν δῆμον συγκαταλύσας, et hoc ὑπὲρ τοῦ δήμου κρίνεσθαι simile est ad sensum ei, quod dicebatur §. 27. προςήκει τούτῳ διὰ τοὺς προγόνους πεπρᾶσθαι.

32. ὑμᾶς δὲ ζητοῦσιν] Stephanus scribendum conjicit πεῖσαι ζητήσουσιν. Contra libros πεῖσαι addere nolim, quanquam aptum esset simplicitati Lysiacae. Sed oratoris animo inhaerebat adhuc infinitivus ex antecedente membro.

www.libtool.com.cn

εἰδότας, ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι, ἐὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε. ἐνθυμεῖσθε δὲ, ὅτι οὔτε Νικόμαχος, οὔτε τῶν αἰτησομένων οὐδεὶς τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν. ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τι-
34 μωρεῖσθαι ἢ τούτοις βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι πολλὰ δεηθέντες τῶν κατηγόρων ἡμᾶς μὲν οὐδαμῶς ἔπεισαν, τὴν δὲ ὑμετέραν ψῆφον καταπειράσοντες εἰσεληλύθασιν εἰς τὸ δικαστήριον, καὶ ἐλπίζουσιν, ὑμᾶς ἐξαπατήσαντες, ἄδειαν εἰς τὸν λοιπὸν
35 χρόνον λήψεσθαι τοῦ ποιεῖν ὅ τι ἂν βούλωνται. ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων ἀξιούμενοι πεισθῆναι· τὸ δὲ αὐτὸ τοῦτο παρακαλοῦμεν, μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν ὑμετέραν νομοθεσίαν ἀφανίζοντας· οὕτω γὰρ ἐννόμως διοικηθήσεται τὰ κατὰ τὴν πολιτείαν ἅπαντα.

35. *νομοθεσίαν*] Hoc, quod Marklandus conjecerat pro eo vocabulo, quod omnes libros occupaverat, *νουθεσίαν*, confirmavit optimus Bekkeri codex. Vide Lobeck ad Phryn. p. 512.

34. *πολλὰ δεηθέντες τῶν κατηγόρων*] Nicomachus enim amicique nec nummis nec precibus parcebant, ut persuaderent accusatori ejusque subscriptoribus, ut desisterent ab actione.

35. *ὑπὸ τούτων ἀξιούμενοι*] Marklandum scribi jubentem ὑπὸ τούτων αἰτουμένων in viam reduxit Koenius ad Gregor. de dial. p. 157. ed. Schaef. Bekkeri Anecdd. p. 80. ἀξιούμενος· παρακαλούμενος, καὶ ἀξίωμα ἀντὶ τοῦ παράκλησις.

www.libtool.com.cn

# AESCHINIS

## ORATIO ADVERSUS CTESIPHONTEM.

www.libtool.com.cn

www.libtool.com.cn

# ΑΙΣΧΙΝΟΥ
## Ο ΚΑΤΑ
# ΚΤΗΣΙΦΩΝΤΟΣ
## ΛΟΓΟΣ.

### ΥΠΟΘΕΣΙΣ.

Κτησιφῶν ἔγραψε ψήφισμα στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν, ὅτι διατελεῖ τὰ ἄριστα καὶ λέγων καὶ πράττων τῷ δήμῳ τῶν Ἀθηναίων. τοῦτο τὸ ψήφισμα ἐγράψατο Αἰσχίνης παρανόμων, καὶ εἰςάγει κεφάλαια γενικὰ τρία, ἓν μέν, ὅτι ὑπεύθυνον ὄντα τὸν Δημοσθένην ἐστεφάνωσε τοῦ νόμου κελεύοντος μὴ ἐξεῖναι ὑπεύθυνον ἄρχοντα στεφανοῦν, περὶ οὐσίας, δεύτερον δέ, ὅτι ἐν τῷ θεάτρῳ ἀνεκήρυξε τὸν στέφανον ἀπαγορεύοντος τοῦ νόμου μηδένα στεφανοῦν ἐν τῷ θεάτρῳ, περὶ ποιότητος, τρίτον καὶ τελευταῖον, ὅτι καὶ τὰ ψευδῆ ἔγραψεν ἐν τῷ ψηφίσματι· οὐκ εἶναι γὰρ καλὸν καὶ ἀγαθὸν τὸν Δημοσθένην, οὐδὲ ἄξιον τοῦ στεφάνου. καὶ τοῦτο εἰς τὸ παράνομον ἀνακτέον, ἐπειδὴ καὶ νόμος ἐστὶν ὁ κωλύων τὰ ψευδῆ γράφειν ἐν τοῖς ψηφίσμασιν· ἔστι δὲ περὶ ποιότητος. ὑποφορὰς δὲ λαμβάνει τρεῖς, πρὸς μὲν τὸ πρῶτον διττῶς ἐρρυέντος Δημοσθένους, ὅτι οὐκ ἦν ἄρχων, οὐδὲ ἔστιν ἀρχὴ ἡ τῶν τειχῶν οἰκοδομή, ἀλλὰ διακονία τις καὶ ἐπιμέλεια· εἰ δὲ καὶ ἀρχή, τῷ γε ἐπιδεδωκέναι ἐκ τῶν ἰδίων καὶ μηδὲν εἰληφέναι ἐκ τῆς πόλεως οὐκ ἦν ὑπεύθυνος· περὶ ποιότητος ἀμφότερα. πρὸς δὲ τοῦτο Αἰσχίνης εἰςάγει στοχαστικὸν κεφάλαιον, οὐ μέντοι κατασκευάζει· εἰ δὲ μὴ παρ' ἑαυτοῦ ἐπέδωκεν, ἀλλ' εἶχε παρὰ τῆς βουλῆς εἰς τοῦτο δέκα τάλαντα, περὶ οὐσίας. πρὸς δὲ τὸ δεύτερον κεφάλαιον παρεχομένου Δημοσθένους νόμον ἕτερον, κελεύοντα ἀνακηρύττειν ἐν τῷ θεάτρῳ, ἂν ψηφίσηται ὁ δῆμος, Αἰσχίνης οὐ περὶ τῶν πολιτικῶν αὐτὸν εἶναί φησιν, ἀλλὰ περὶ τῶν ξενικῶν στεφάνων, περὶ οὐσίας. πρὸς δὲ τὸ τρίτον πολλὰ κατὰ μέρος. οἴεται δὲ τὸν Δημοσθένην εἰς τέσσαρας καιροὺς διῃρηκέναι τὴν ἀπολογίαν, τὰ πράγματα καθ' ἕκαστα εἰς τούτους μερίσαντα. πρῶτον μὲν οὖν φησιν εἶναι καιρὸν τοῦ πολέμου τοῦ πρώτου τοῦ πρὸς Φίλιππον περὶ Ἀμφιπόλεως γενομένου, δεύτερον δὲ τὸν τῆς εἰρήνης, τρίτον δὲ τὸν τοῦ πολέμου τοῦ δευτέρου καὶ τῆς περὶ Χαιρώνειαν ἥττης, τέταρτον δὲ τὸν παρόντα

www.libtool.com.cn

καιρὸν τὸν περὶ τῶν πρὸς Ἀλέξανδρον πολιτευμάτων. ἐν μὲν οὖν τῷ πρώτῳ αἴτιον αὐτόν φησι γεγονέναι τῆς εἰρήνης, αἰσχρᾶς οὔσης καὶ ἀδόξου, καὶ τοῦ μὴ μετὰ κοινοῦ τῶν Ἑλλήνων συνεδρίου τὴν πόλιν αὐτὴν πεποιῆσθαι· ἐν δὲ τῷ δευτέρῳ, ὅτι τὸν πόλεμον τὸν πρὸς Φίλιππον αὐτὸς παρεσκεύασεν· ἐν δὲ τῷ τρίτῳ, ὅτι τοῦ ἱεροῦ πολέμου καὶ τῶν περὶ Φωκέας συμβάντων αἴτιος ἐγένετο, καὶ τῆς ἥττης τῆς ἐν Χαιρωνείᾳ, πείσας μετὰ Θηβαίων ἀραμένους τὸν πόλεμον τὸν πρὸς Φίλιππον παρατάξασθαι· ἐν δὲ τῷ τελευταίῳ, ὅτι τὰ κατὰ τὸν Ἀλέξανδρον οὐκ ἐπολιτεύσατο. μετὰ ταῦτα καὶ τοῦ βίου παντὸς τοῦ Δημοσθένους κατηγορεῖ, καὶ δὴ καὶ Κτησιφῶντος ἐν ὀλίγοις, ἐν οἷς ἀξιοῖ αὐτὸν ὑπὲρ ἑαυτοῦ τὸν Κτησιφῶντα ἀπολογεῖσθαι. τὰ μὲν οὖν κεφάλαια ταῦτ' ἐστιν. ἐνίκα δὲ τὸν ἀγῶνα Δημοσθένης.

Μέμφονται μέντοι τινὲς τὸν Αἰσχίνην, ὅτι οὐκ ἐνδιέτριψεν ἐν τῷ παρανόμῳ, ἀλλὰ καὶ τῆς πολιτείας κατηγορεῖ τοῦ Δημοσθένους, καλῶς πεπολιτευμένου τοῦ ἀνδρός. αὐτὸς δὲ τοὐναντίον τούτῳ μάλιστα ἰσχυρίζεται, λέγων οὕτως „ἔστι δ' ὑπόλοιπον μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δ' ἐστὶν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι." μήποτε δὲ ἄριστα τοῦτο ἔπραξεν· ἐπειδὴ γὰρ εἶχε δόξαν μεγάλην παρὰ πᾶσι καὶ ὑπόληψιν ὁ Δημοσθένης ὡς λαμπρότατα πεπολιτευμένος, εἰκότως ᾠήθη ψυχροὺς καὶ οὐδενὸς ἀξίους φανήσεσθαι τοὺς περὶ τῶν παρανόμων λόγους, εἰ μὴ δόξαν αὐτοῖς ἐμποιήσει τὴν ἐναντίαν, ὡς ἄρα ὁ Δημοσθένης κακόνους ἐστὶ τῷ δήμῳ καὶ αἰσχρῶς καὶ ἐπιμέμπτως πεπολίτευται. διὰ τοῦτο ἐσπούδασε περὶ τοῦτο μάλιστα, καὶ ἐν τούτῳ τῷ μέρει τῆς κατηγορίας τὸ πλεῖστον ἐνδιέτριψε. μέμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.

Ἡ στάσις τοῦ λόγου ἐστὶ πραγματικὴ ἔγγραφος, ὥσπερ καὶ ἡ τοῦ ὑπὲρ τοῦ στεφάνου. τὰ δὲ κεφάλαια δηλονότι τῆς πραγματικῆς περιέχει ἅπερ καὶ ἐκεῖ, οἷον τὸ νόμιμον τεμνόμενον εἰς τρεῖς νόμους, τὸ δὲ δίκαιον εἰς τέσσαρας καιρούς. ὅρα δὲ, πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκβολῆς, ὥσπερ καὶ Δημοσθένης.

Τινὲς εἶπον, ὅτι οὐκ ἔχει κατασκευὴν τὸ προοίμιον· οὐκοῦν οὐδὲ συμπέρασμα δεῖ ζητεῖν. ἀλλ' οὐκ ἔστιν ἀκατάσκευον· ἔστι γὰρ αὐτοῦ κατασκευὴ „ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίνεσθαι ἐν τῇ πόλει." εἰ γὰρ ἡ αἰτία τῆς προτάσεώς ἐστιν ἡ κατασκευή, διὰ δὲ τὸ τὰ μέτρια μὴ γίνεσθαι ἐν τῇ πόλει αἱ δεήσεις, κατασκευὴ ἂν εἴη. ἔχει δὲ καὶ συμπέρασμα, „ἐγὼ δὲ πεπιστευκὼς ἥκω" ἕως τοῦ „μεῖζον τῶν νόμων καὶ τῶν δικαίων."

www.libtool.com.cn

Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω πρῶτον μὲν τοῖς θεοῖς, δεύτερον δὲ τοῖς 1

1. παρασκευὴν – καὶ – παράταξιν] Vocabula desumta ex re militari. Παρασκευή enim dicitur de apparatu bellico; παράταξις de acie. Vituperarunt technicorum nonnulli hoc prooemium, statuentes tropos parum recte in prooemiis adhiberi. Non tamen primus Aeschines in prooemio hoc tropo usus est. Andocides περὶ τῶν μυστ. p. 1. τὴν μὲν παρασκευὴν καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν, τῶν ἐμῶν – – σχεδόν τι πάντες ἐπίστασθε. Lysias πρὸς Σίμ. §. 2. ὁρῶν, ὅτι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίγνονται.

τὰς κατὰ τὴν ἀγορὰν δεήσεις] Quomodo haec intelligenda sint, apparet ex narratione Livii v. c. L. III. 14. benigne salutare, alloqui plebis homines, domum invitare, adesse in foro – permulcendo tractandoque mansuefacere plebem.

τὰ μέτρια καὶ τὰ συνήθη] Alterum τὰ tres codices, sed, ut ejusdem familiae, plerumque pro uno censendi, omittunt; quod non probandum. Nam, omisso articulo, συνήθη tanquam explicativum additum foret antecedenti μέτρια. Sed τὰ συνήθη diversae significationis epitheton est. Τὰ μέτρια ipsam rei naturam spectat, et quasi terminus technicus est. Thucyd. II. 35. Pericles χαλεπὸν γάρ, inquit, τὸ μετρίως εἰπεῖν et uberius exponit qua re; τὰ συνήθη id, quod ἔθος sit civitatis, quid sit in usu: τὸ ἐξ ἴσου ἀκροᾶσθαι καὶ μηδὲν παρὰ τὸ δίκαιόν τινι χαρίζεσθαι.

δεύτερον δὲ] Iidem codices ἔπειτα δεύτερον. Utrumque Aeschini usitatum. Retinui igitur, quod plurimis codicibus nititur. κατὰ Τιμ. §. 170. p. 110. meae ed. πρῶτον μὲν τῶν ὅρκων ἕνεκεν, οὓς ὠμόσατε, δεύτερον δὲ ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ ἀνθρώπου τεχνίτου λόγων. περὶ παραπ. §. 26. p. 151. meae ed. §. 180. p. 254. meae ed. Infra §. 64. s. 91. 169. Ceterum in libera republica interdum leges et cives tanquam conjuncti et una res spectantur; nulla enim salus civibus sine legibus, unaque et vera libertas in legum custodia.

νόμοις καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν μεῖ-
2 ζον ἰσχύειν παρ' ὑμῖν τῶν νόμων καὶ τῶν δικαίων. ἐβουλόμην μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν βουλήν, τοὺς πεντακοσίους, καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας, ἰσχύειν, ἵνα ἐξῇ πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι κελεύουσι, σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι ἄνευ θορύβου καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν, δεύτερον δ' ἤδη καὶ
1 τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν χωρὶς καὶ ἐν μέρει περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι· οὕτω γὰρ ἂν μοι δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι αἵ τε
3 κρίσεις ἐλάχισται γίγνεσθαι. ἐπειδὴ δὲ πάντα τὰ πρότε-

3. ἐλάχισται γίγνεσθαι] Sic Bekkerus sine varietate pro vulgato ἐλάχιστα: quod adverbium locum habere non videtur. Adverbium enim cum verbo γίνεσθαι junctum nonnisi modum indicat, quo quid fiat; contra si γίνεσθαι sit enuntiationis copula, praedicatum per adjectivum est exprimendum. Sensus est: ex quo oratores novi, adolescentuli, populum in vana et injusta abripiunt, multitudo litium erumpit; quae non erumperet, si sobrii et prudentes homines rempublicam gubernarent. Bekkerus: »Fortasse legendum τάχιστα.« Nondum persuadere mihi possum, adverbium adjectivi instar adjungi posse verbo εἶναι similibusque. Equidem in vulgata

2. τὴν βουλήν, τοὺς πεντακοσίους] Interdum appositio determinativa, praesertim numeralis, eodem casu nomini apponitur, quum plerumque genitivo jungatur. Iterum §. 20. πάλιν τὴν βουλήν, τοὺς πεντακοσίους, ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης. §. 4. ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πόλεως. Lysias κατὰ Ἀγορ. §. 35. ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. Lenior est ea verborum collocatio, quam habemus apud Andoc. περὶ τῆς ἑαυτοῦ καθ. p. 84. τὰ δὲ μέλλοντά τε καὶ ἤδη πραττόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν ἀποῤῥήτῳ ἴσασιν, ἡ βουλή. Cf. Matthiae Gr. Gr. §. 483, 4.

ἵνα ἐξῇ] Bekkerus »aptius fortasse ἐξῆν« quod a Mss. oblatum recepissem. Nam cum imperfecto indicativi ἵνα construitur, quum, quem quis propositum habebat finem, non assecutus est. Cf. Rost. Gr. Gr. §. 122. 12. Hic tamen post ἐβουλόμην — ἰσχύειν conjunctivus, finem in universum indicans, non ineptus.

τὸν βουλόμενον] Scaliger conjicit τῷ βουλομένῳ, constructione antecedenti accommodata. Sed constructionis est variatio. Ut enim ἔξεστι cum dativo, sequente infinitivo, construi potest, sic accusativus potest infinitivo adjungi. Ejusmodi autem variationes frequentes. Cf. Duker. ad Thucyd. II. 36. et Elmsley ad Eurip. Heracl. 7.

ρεῖ τὰ ὡμολογημένα καλῶς ἔχειν καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, ἐὰν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πο- 3
λιτείαν οὐκέτι κοινήν, ἀλλ' ἰδίαν αὐτῶν ἡγούμενοι εἶναι ἀπειλοῦσιν εἰσαγγέλλειν, καταδουλούμενοι τοὺς ἰδιώτας καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες, καὶ τὰς κρίσεις 4
τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι, τὰς δ' ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσιν, σεσίγηται μὲν τὸ κάλ-

[illegible] οἶστε acquiesco, quanquam non damnanda conjecturae sententia. [illegible] ipso ἐλάχισται non solum paucitatis, sed etiam brevitatis notio inesse potest.

3. ἀλλ' ἰδίαν] Quattuor codices ἀλλ' ἤδη ἰδίαν: quod non spernendum videtur. Sic enim oppositio fortior cum antecedente οὐκέτι. Frequens haec est apud Aeschinem. κατὰ Τιμ. §. 18. p. 20. meae ed. οὐκέτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ: περὶ παραπρ. §. 72. p. 175. meae ed. οὐκέτι ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο, ἀλλ' ἤδη περὶ Λήμνου. Infra §. 132.

κρίνουσιν, σεσίγηται] Sic Bekkerus sine varietate pro vulgata κρίνουσι· σεσ. Videntur prosaici scriptores accuratiores ante majorem interpunctionem, vel si aliquo modo vocabulum a sequentibus separare vellent, ν paragogicum addidisse; et Coraes, qui in Iso- [illegible]

3. ταῦτα] Marklandus conjicit τοιαῦτα. Sed ταῦτα acerbius respicit hoc ipsum, quod tulerat psephisma Ctesiphon, de quo nunc agitur.

χειροτονίας — ἀναγορεύῃ] Hoc epistatae erat, qui, quum porrectae manus, quantum fieri poterat, dinumeratae essent a praecone, pronuntiabat ut ratum, quod plures jusserant. Cf. Schoemann. de Com. p. 124. s.

εἰσαγγέλλειν] Reiskius ex solo Bern., qui correctricem manum expertus est, dedit εἰσαγγελεῖν. Bekkerus ex uno tantum codice memorat εἰσαγγέλειν, quod idem est cum εἰσαγγέλλειν. Solent enim librarii pro duplice λλ saepissime simplex scribere. Praesens et aoristus apud optimos scriptores saepe ponuntur post verba, quae notionem rei futurae involvunt. De hac re accuratissime egit Lobeckius in Parergis ad Phryn. p. 745. ss. cf. infra §. 165.

4. καὶ τὰς κρίσεις] Κρίσις hic est modus ac ratio, qua causa in foro agitatur, ab initio usque ad sententiae pronuntiationem: der Gang des Processes. καί autem est adeo: liberis enim judiciis in rebus publicis cavetur, ne violentia et importunitas ingruat.

μετ' ὀργῆς] Ὀργή non iram solum denotat, sed omnes animi affectus complectitur: ad libitum.

λιστον καὶ σωφρονέστατον κήρυγμα τὸ ἐν τῇ πόλει »τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων καὶ πάλιν ἐν μέρει τῶν ἄλλων Ἀθηναίων,« τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ᾽ οἱ νόμοι οὔθ᾽ οἱ πρυτάνεις οὔθ᾽ οἱ πρόεδροι οὔθ᾽ ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πό-
5 λεως. τούτων δ᾽ ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων, ὁποίους τινὰς αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γιγνώσκων, αἱ τῶν παρανόμων γραφαί. εἰ δὲ καὶ ταύτας καταλύσετε, ἢ τοῖς καταλύουσιν ἐπι-

erate hanc literam semper exterminatam volebat, non tamen, quamvis diligens, constare sibi potuit. Eadem fere dicenda de οὕτω et οὕτως. Equidem opinor codices Mss. esse sequendos, si οὕτως ante consonam offerant, quando significat hoc modo, sic; οὕτω vero ante consonam scribendum esse, si gradum denotans cum adjectivo vel adverbio, in quo ipsa qualitatis notio inest, in unam quasi notionem confluat.

5. ὁποίους τινὰς] Τινάς addidit Bekkerus ex plurimis codicibus. Pronomen indefinitum relativis additum significat tandem et saepe, ut hic, vim auget: quum civitatis discrimen sit tantum, quantumcunque tandem animo concipitis. Haec quidem est hominum consuetudo, ut suam quisque aetatem aut corruptissimam aut ingenio et virtute praestantissimam judicet.

οὔθ᾽ οἱ πρόεδροι] Desunt haec in Mead. Et fortasse quis haec opinetur melius omitti ob sequentia. Sed πρόεδροι non sunt confundendi cum προεδρεύουσα φυλή. Πρόεδροι sunt deni e Prytanibus ad septenos dies sorte creati, per id tempus totius senatus principes ac praesides, unde etiam nomen traxerunt. Diversa ab his est ἡ προεδρεύουσα φυλή, delecta ex tribubus μὴ πρυτανευούσαις, quae in gradibus suggestus, qui pro subselliis erant, praesideret, bonamque rerum omnium disciplinam tueretur.

ἓν — μέρος τῆς πολιτείας] Μέρος, ut Latinorum pars, idem fere est, quod vulgo dicitur genus, forma; ἡ πολιτεία civilis ratio, qua quis reipublicae perniciem avertere, et quantum fieri possit, ejus salutem stabilire queat.

αἱ τῶν παρανόμων γραφαί] »Si quis in psephismate ad populum lato videbatur aliquid animadvertisse, quod veteribus legibus contrarium, aut a bono publico alienum esset, aut alio nomine juste reprehendi posset, ei, si psephismatis auctorem mendaciorum et fraudium convincere se posse arbitrabatur, licebat assurgere, et male rogatae legis postulaturum se esse latorem coram populo profiteri et jure jurando interposito affirmare.« Uberius haec exposuit F. A. Wolfius in Prolegg. ad Lept. p. CXXXVII. sqq. Schoemann de com. L. II. c. 2.

www.libtool.com.cn

τρέφετε, προλέγω ὑμῖν, ὅτι λήσετε κατὰ μικρὸν τῆς
πολιτείας τισὶ παραχωρήσαντες. εὖ γὰρ ἴστε, ὦ ἄνδρες 6
Ἀθηναῖοι, ὅτι τρεῖς εἰσι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία, διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι, ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παῤῥησίας. διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ, »ψηφιοῦμαι κατὰ τοὺς νόμους,« ἐκεῖνό γε εὖ εἰδώς, ὅτι, ὅταν διατηρηθῶσιν οἱ
νόμοι τῇ πόλει, σώζεται καὶ ἡ δημοκρατία. ἃ χρὴ δια- 7
μνημονεύοντας ὑμᾶς μισεῖν τοὺς τὰ παράνομα γράφοντας, καὶ μηδὲν ἡγεῖσθαι μικρὸν εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι, μήτε τὰς τῶν

*τισὶ*] Non erat, cur Taylor mallet *τουτοισί*. Pronomen enim indefinitum saepe per contemtum de adversariis ponitur, quos tanquam improbissimos et reipublicae perniciosissimos notare volunt. Malignitas quaedam in pronomine inest.

6. *εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων*] *Εἰσιέναι* hic dicitur de judicibus, ut *εἰσελθεῖν*. Usurpatur alibi etiam de reis; quin etiam *γραφή* dicitur *εἰσιέναι*, quod annoto propter lectionem, hoc quidem loco aperte corruptam, ed. Ald. quae habet *γραφή* pro *γραφήν*.

*παῤῥησίας*] *Παῤῥησία* sensu civili interdum dicitur libertas in populi concione verba faciendi. κατὰ *Τιμάρχ.* §. 14. p. 24. meae ed. *σκέψασθε δὲ, ὡς καλῶς, ὦ Ἀθηναῖοι, (ὁ νομοθέτης) ζῶντος μὲν αὐτοῦ (πατρὸς ἐκμισθώσαντος τὸν παῖδα ἑταιρεῖν) ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιΐας, ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παῤῥησίαν.* Demosthenes κατὰ *Νεαίρ.* p. 1353. l. 27. *καίτοι πῶς οὐκ οἴεσθε δεινὸν εἶναι, εἰ τοὺς μὲν φύσει πολίτας – ἀπεστέρηκε τῆς παῤῥησίας Στέφανος.* κατὰ *Μειδ.* p. 58. §. 26. Buttm. respiciens ad *ἄτιμον*: *ἕστηκε νῦν σιωπῇ, οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι καὶ ὀδύρασθαι*: quae est ejusdem notionis periphrasis.

7. *μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι*] Reiske ex cod. Askew. scripsit *μηδένα ἐᾶν ἀνθρώπων ἐξαιρεῖσθαι*. Facile quidem *ἐᾶν* excidere potuisse inter ea, quae antecedunt et sequuntur, nemo negabit. Hujus tamen notionis expressa significatio nobis magis quam veteribus videtur esse necessaria. Concedendi enim et prohibendi notionem antiqui supprimunt, quum ea se ex contextu sponte animo offerat. Quid no-

στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων, παράνομον πολιτείαν πολιτευόμενοι· ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ἣν τέταχθε ὑπὸ τῶν νόμων, φύλακες τῆς δημοκρατίας τήνδε τὴν ἡμέραν.
8 κἀκεῖνο δὲ χρὴ διαμνημονεύειν, ὅτι νυνὶ ἅπαντες οἱ πολῖται, παρακαταθέμενοι τὴν πόλιν ὑμῖν καὶ τὴν πολιτείαν διαπιστεύσαντες, οἱ μὲν πάρεισι καὶ ἐπακροῶνται τῆσδε τῆς κρίσεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε, μεμνημένοι καὶ τῶν νόμων, ἐὰν ἐξελέγξωμεν Κτησιφῶντα καὶ παράνομα γράψαντα καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει,

7. *τήνδε τὴν ἡμέραν*] Reiskius dederat ex Helmst. εἰς τήνδε τὴν ἡμέραν, praepositioque adest etiam in quinque Bekkeri codicibus. Praefero tamen accusativum sine praepositione, jungendum cum vocabulis τὴν τάξιν, ἣν τέταχθε: quod est multo significantius, quam si praepositio terminum significat, ad quem. Hoc die, non usque ad hunc diem.

tius ellipsi, quam dicunt, verbi σκοπεῖν et φυλάττεσθαι ante ὅπως et ὅπως μή? Praesertim id fit, quum in ipsa enuntiatione vocabulum sit, quod ejusmodi notionem jam involvat, ut hoc loco μηδένα.

*τὰς τῶν στρατηγῶν συνηγορίας*] Saepe accusant oratores τοὺς στρατηγούς, quod tantum abeit, ut reipublicae hostes foris devincant, ut, otiosi domi manentes, seditiosorum consilia adjuvent otiumque et libertatem reipublicae perturbent.

*τῶν ξένων*] Intelligit potentes et divites ex aliis civitatibus, quos producebant rei, ut testes essent, quam bene de se suisque civitatibus atque etiam in commodum Atheniensium meruerint ii, qui accusabantur. Novimus ex Cornelii Nepotis Timotheo IV. 3, Jasonem tyrannum, qui in patria sine satellitibus se tutum arbitratus non sit, Athenas sine ullo praesidio venisse, ut ne deesset Timotheo de fama dimicanti.

*τὴν τάξιν λιπεῖν*] Perstringit Demosthenem, cui crimen λειποταξίου jam περὶ παραπρ. § 148. p. 226. meae ed. objecit.

*φύλακες*] Munus quasi indicatur, quod ipsis sit demandatum, ὥστ' εἶναι φύλακας.

8. *παρακαταθέμενοι τὴν πόλιν ὑμῖν*] Quod sequitur, est explicativum τὴν πολιτείαν διαπιστεύσαντες. Librariorum nonnulli, offensi verbo composito raro, dederunt simplex πιστεύσαντες.

*οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων*] Hi magis etiam confidunt judicum probitate et fide.

www.libtool.com.cn

λύετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς παρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς ὑπεναντίως τοῖς νόμοις καὶ τῇ πόλει καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους. κἂν ταύτην ἔχοντες τὴν διάνοιαν ἀκούσητε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' ὅτι δίκαια καὶ εὔορκα καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε καὶ πάσῃ τῇ πόλει.

Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω προειρῆσθαι· περὶ δὲ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τοῦτο τυγχάνει γεγραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰς μεγίστας ἀρχὰς καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωροδοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας καὶ τοὺς ἐκ τοῦ 9

8. *τοῖς νόμοις*] Sic habent Ask, Helmst. et quattuor Bekkeri codd. Usitatissimus est oratoribus pluralis *οἱ νόμοι* vel de universa legislatione vel de singulis legibus. Taylor infra §. 21. pro *τῶν νόμων* reponi voluit *τοῦ νόμου*: quo minime opus. Nam ad §. 41. verba *προειπὼν ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν* annotat Scholiastes: *πάλιν πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ*. Quid? quod orator in universum adhortatur judices, ut periculum avertant, quod immineat civitati et legibus.

*ἀκούσητε*] Sic Bekkerus e quattuor codicibus pro vulgato *ἀκούοιτε*. Septem aoristum habent *ἀκούσητε*: qui nec ipse damnandus, significationem habens futuri exacti, cui respondet in apodosi futurum actionis durantis, hic *εὖ οἶδ' ὅτι ψηφιεῖσθε*. Praesens tamen peraptum, tum propter participium *ἔχοντες τὴν διάνοιαν*, tum ut mite monitum continuam adhibendam esse attentionem.

*ὑμῖν αὐτοῖς – καὶ πάσῃ τῇ πόλει*] Bekkerus scripserat in editione Halensi *ὑμῖν τ' αὐτοῖς*: parum recte. Nam *ὑμῖν αὐτοῖς* et *πάσῃ τῇ πόλει* non sunt res diversae, quibus idem tribuatur praedicatum; sed *πάσῃ τῇ πόλει* nonnisi amplificat notionem *τοῦ ὑμῖν αὐτοῖς*. Saepe quidem legitur *τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν*, ut apud Demosth. *περὶ στεφ.* p. 225. qua formula et tota civitas et singuli cives respiciuntur.

9. *προσλαμβάνοντες*] Hoc vocabulum Reiskius ut spurium uncis inclusit: perperam. Ex hoc enim pendet qui sequitur accusativus *τοὺς ῥήτορας*: in auxilium vocantes oratores. Num de industria *προσλαμβάνοντες* et *προκατελάμβανον* in eadem enuntiatione conjunxerit, non decernam. – Duplex genus *ῥητόρων* hic memoratur, *οἱ ἐκ τοῦ βουλευτηρίου* et *οἱ ἐκ τοῦ δήμου*. Illi videntur esse, qui ipsi senatores, quum res a senatu deliberatas proponerent, loquebantur; hi, qui surgerent pro ordine ex populo.

www.libtool.com.cn

δήμου πόῤῥωθεν προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις καὶ κηρύγμασιν, ὥστ' ἐν ταῖς εὐθύναις τῶν ἀρχῶν εἰς τὴν μεγίστην μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλλον τοὺς δικαστάς. πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων, ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι, διεφύγγανον ἐκ τῶν δικαστηρίων· εἰκότως· ᾐσχύνοντο γάρ, οἶμαι, οἱ δικασταί, εἰ φανήσεται ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρώην μέν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ,

9. *τῶν ἀρχῶν*] Sic tres codices pro vulgato *τῶν ἀρχόντων*. Quum vocabulo *εὐθύνη* genitivus muneris, cujus ratio redditur, non hominis, qui munus gesserat, addi soleat, *ἀρχῶν* erat praeferendum. §. 11. fin. *ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρχῆς δῷ.* Demosthenes *περὶ στεφ.* p. 308. *στρατηγίας ἐμὲ εὐθύνας ἀπαιτεῖς. περὶ παραπρ.* p. 367. *τοῦτο γάρ εἰσι πρεσβείας εὐθῦναι.*

10. *κλέπται – ὄντες ἐξελεγχόμενοι*] *Ὄντες* valet re vera. *Κλέπται ὄντες* est, quod nos dicimus als wirkliche Diebe. Haec frequens est hujus participii significatio, nec erat a viris doctis in dubium vocanda. *Ἐλέγχεται κλέπτης* Graecis non idem est et *ἐλέγχεται κλέπτης ὤν*. Sic etiam aliorum verborum, quae participium loco infinitivi junctum sibi habent, participium cum participio jungitur. Demosthenes *κατὰ Τιμοκρ.* p. 735. *καὶ τῷ πλήθει τῷ ὑμετέρῳ – – τῷ ἀπειρηκότι τὰ ἑαυτοῦ χρήματα εἰςφέροντι*, ubi Lambinus de veritate lectionis dubitabat. Sed quum *ἀπείρηκα* cum participio construatur, *ἀπείρηκα εἰςφέρων*, etiam cum participio *ἀπειρηκώς* alterum participium jungi potest. – Ab hoc longe diversa est participii *ὤν* cum alio participio conjunctio, ubi *ὤν* copulae vim habet, et alterum participium adjectivi vel substantivi vicem gerit. Porsonus ad Euripidis Hecubam v. 562. »rarissima, inquit, participii substantivi cum alio participio conjunctio.« Nec vero tam rara est, quam opinatus esse videtur vir doctissimus, sed haud raro a viris doctis addubitata. Xenoph. Sympos. VIII. 2. *Κριτόβουλός γε μήν, καὶ ἐρώμενος ὤν, ἤδη ἄλλων ἐπιθυμεῖ:* ubi Schneiderus, imprimis mihi, inquit, *ὤν* post *ἐρώμενος* displicet. Sine caussa. *Ἐρώμενος*, substantivi loco positum, habitum indicat, nec unam solam conditionem spectat. Hellen. I. 2, 2. *ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντές τινες τοῖς Πυγελεῦσι, διεσπαρμένους ὄντας τῶν Ἀθηναίων τοὺς ψιλοὺς ἐδίωκον.* II. 1, 28. *διεσκεδασμένων δὲ τῶν ἀνθρώπων ὄντων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι*, ubi *ὄντων* delendum censuerunt Stephanus et Leonclavius. Infra §. 162. *ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος.* ubi varia tentarunt viri docti.

ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν ἐξῄεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου.
κατιδὼν δέ τις ταῦτα νομοθέτης τίθησι νόμον καὶ μάλα 11
καλῶς ἔχοντα, τὸν διαῤῥήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν. καὶ ταῦτα οὕτως εὖ προκατειληφότος τοῦ νομοθέτου, εὕρηνται λόγοι κρείττονες τῶν νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες. τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους οἱ μὲν φύσει μέτριοί εἰσιν, εἰ δή τίς ἐστι μέτριος τῶν τὰ παράνομα γραφόντων· ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ τῆς αἰσχύνης. προσεγγράφουσι γὰρ πρὸς τὰ ψηφίσματα στεφανοῦν τὸν ὑπεύθυνον,
ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρχῆς δῷ. καὶ ἡ μὲν 12
πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται· προκαταλαμβάνονται γὰρ ἐπαίνοις καὶ στεφάνοις αἱ εὐθῦναι· ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν, ὅτι γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε. Κτησιφῶν δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπερπηδήσας τὸν νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον, καὶ τὴν πρό-

11. λόγοι κρείττονες] Hanc verborum collocationem recepi ex tribus codicibus. Vulgo κρείττονες λόγοι. Sed oppositio fit fortior substantivo praeposito, et perversa agendi ratio acerbius notatur. Bekkerus ex uno codice scripsit κρείττους. Equidem in his terminationibus a Mss. standum esse arbitror.

οἱ μὲν φύσει μέτριοί εἰσιν] Fortasse scribendum οἳ μὲν [illegible] ut sit determinatio ad τινές: quidam, qui quidem natura sunt aequiores; verbum, ad quod referendum est τινές, est προβάλλονται, cui ἀλλ' οὖν praeponitur, sequente γε ut limitante: aliquid saltem mitigandi caussa adjiciunt. cf. infra §. 86. Si tamen, quod praeferendum videtur, οἱ μέν oppositum intelligas vocabulis Κτησιφῶν δέ, id minime mutandum.

μέτριος τῶν] Vulgo μέτριος ἐπὶ τῶν. Praepositio jam a Wolfio deleta abest etiam ab Helmst. et tribus Bekkeri. Reiskius opinabatur in praepositione latere ἐπικουρῶν τινι: quod deesse facile patimur. Non enim de eo sermo est, qui ἐπικουρεῖ τινι τῶν τὰ παράνομα γραφόντων, sed qui ipse τὰ παράνομα γράφει. Corruptio videtur inde nata, quod ἐστί vel ante μέτριος vel post in codicibus scriptum erat. Plane deest in e.

12. γέγραφε] Sic Bern. Helmst. et tres Bekkeri codices, idque aptum est sequenti αἰσχύνεται et γέγραφε. Vulgo ἐγγράφει.

φασιν ἣν ἐγὼ ἀρτίως προεῖπον ὑμῖν, ἀνελών, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα στεφανοῦν.

www.libtool.com.cn

13 Λέξουσι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἕτερόν τινα λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ, ὡς ἄρα, ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχή, ἀλλ' ἐπιμέλειά τις καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι, ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ

12. *μεταξὺ*] hic adverbialiter ponitur. Hesychius explicat *μεταξύ*· *ἐξαίφνης, μετ' ὀλίγον, ἀνὰ μέσον*. Docemur quidem a grammaticis *μεταξύ* jungi participio, quod resolvendum sit per interea dum cum verbo finito. Nec nos negamus ita hoc fieri posse. Sed opinor suo ubique participium regimine pendere et *μεταξύ* adverbium esse, quod plerumque tempus durans notionis participii contineat.

13. *ἀρχή, ἀλλ' ἐπιμέλειά τις καὶ διακονία*] Discrimen horum vocabulorum in rebus Atheniensium publicis difficile est constituere. Schoemannus quidem subtiliter et accurate in libro de Comitt. L. II. c. XI. egit de magistratibus, curationibus et ministeriis; sed fateor me non perspexisse distinctam et verborum et rerum notionem. Verba ipsa videamus. Est regressio a majore ad minus. *Ἀρχαί* magistratus ii potissimum censendi sunt, quibus tributum est, ut de rebus quibusdam consulant, judicent et imperent: *τὸ γὰρ ἐπιτάττειν ἀρχικώτερόν ἐστιν*. – *Ἐπιμέλεια* pro notione vocabuli est munus, quod curam et diligentiam postulat, minus cum imperio conjunctum. Quanquam vero *ἀρχὴ* sine cura et diligentia bene administrari non possit, honoratur tamen imperio; *ἐπιμέλεια* autem quamquam nec ipsa omnino imperio careat, id tamen non ultra consilium rem bene curandi et administrandi extendendum. Euphemisticam quoque significationem hoc vocabulum accepit, quum, quod in socios imperium exercebant Athenienses, honesto nomine *ἐπιμέλειαν* nuncuparent. *Διακονία*, quae eadem *ὑπηρεσία* dicitur, laborem habet et molestiam, ministerium, cui non habetur honos: quod, qui *ἀρχὴν* sectatur, refugit, et qui *διακονίαν* suscipit, non sine molestia recipit. Hanc equidem vocabulorum primariam et relativam significationem esse existimo. Quod si eorum usum in caussa nostra consideremus, Demosthenes negabat se *ὑπεύθυνον* esse, quippe qui non *ἀρχήν*, sed *ἐπιμέλειαν* vel potius *διακονίαν* habuerit. Nempe erat ex tribu Pandionide in ejus ipsius rem *τειχοποιὸς* electus. Hoc igitur munus privatum non imperium publicum esse affirmabat Demosthenes. Idem fere discrimen obtinere apud Latinos observat Casp. noster Orellius inter honorem, (*ἀρχήν*) munus (*ἐπιμέλειαν*) et curam (*διακονίαν*).

*οἱ θεσμοθέται*] Sic vocabantur sex Archontes exceptis tribus primis, Eponymo, Rege, Polemarcho. *Ἀποκληροῦν* proprie significat sortiendo a reliquis discernere. Hic tamen non positum est de sortitione secunda, qua ii, quibus pro tempore judicandum esset, e sex millium numero eximebantur: de qua poni affirmat Aug. Matthiae Miscell. Philoll. p. 254.

Θησείῳ, κἀκείνας, ἃς ὁ δῆμος εἴωθε χειροτονεῖν ἐν ἀρ-
χαιρεσίαις, στρατηγοὺς καὶ ἱππάρχους καὶ τὰς μετὰ τού-
των ἀρχάς, τὰ δ' ἄλλα πάντα πραγματείας προστεταγμέ-
νας κατὰ ψήφισμα. ἐγὼ δὲ πρὸς τοὺς λόγους τούς 14
τούτων νόμον ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετή-
σατε λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ
διαῤῥήδην γέγραπται, »τὰς χειροτονητάς« φησιν »ἀρ-
χὰς« ἁπάσας ἑνὶ περιλαβὼν ὀνόματι ὁ νομοθέτης, καὶ
προσειπὼν ἀρχὰς ἁπάσας εἶναι ἃς ὁ δῆμος χειροτονεῖ,
»καὶ τοὺς ἐπιστάτας« φησὶ »τῶν δημοσίων ἔργων« 
ἔστι δὲ ὁ Δημοσθένης τειχοποιός, ἐπιστάτης τοῦ μεγί-
στου τῶν ἔργων »καὶ πάντας, ὅσοι διαχειρίζουσί τι
τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμ-
βάνουσιν ἡγεμονίας δικαστηρίων« οἱ δὲ τῶν ἔργων 15

Nam *δικασταὶ ὑπεύθυνοι* non erant. Vide Hudtwalcker von den Diaeteten p. 32. Sed de muneribus, quale *λογιστῶν*, *εὐθύνων*, *σιτοφυλάκων*, aliisque sermo erit, quorum sortitio penes Thesmothetas pro singulorum ratione ex certis ordinibus erat in *Θησείῳ*, quod erat fanum Theseo sacratum.

*ἀρχαιρεσίαις*] Sic appellabantur comitia, quae habebantur magistratuum a populo creandorum caussa. Haec in Pnyce habita esse testatur Pollux VIII. 134. etiam tum temporis, ut videtur, quum de reliquis rebus omnibus populus in Bacchi theatro congregabatur. Moeris p. 10: *ἀρχαιρεσίαι θηλυκῶς Ἀττικῶς· ἀρχαιρέσια οὐδετέρως Ἑλληνικῶς.*

*καὶ τὰς μετὰ τούτων ἀρχάς*] Magistratus, qui in eundem veniunt censum. Non erat cur vel Marklandus *μετὰ ταῦτα*, vel Tayler *κατὰ ταῦτα* conjiceret.

*πραγματείας*] Ratione *ἀρχῶν* videtur significare opera molesta, quae non legibus, sed peculiaribus decretis mandantur.

*τειχοποιός*] Hoc *ψήφισμα* de muris reficiendis videtur vel exeunte anno primo Ol. CX. vel initio secundi latum esse, quum bellum a Philippo immineret. Anno autem secundo, quum omnes reipublicae pecuniae ad bellum jam non dubium requiri viderentur, verisimile est hoc quoque murorum reficiendorum opus dilatum esse, et, qui ejus curatores creati erant, dilato et imperfecto opere neque abierunt munere neque rationes reddiderunt, ut Demosthenes eo tempore, quo latum est Ctesiphontis psephisma de eo coronando, *τειχοποιὸς* esset.

*ὅσοι διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας*] Haec definitio diu post Solonis tempora in legem illata est, quum democratia seriorum temporum praetexens periculum administrationis diutius durantis cuncta nimium dissecaret. Vide der Attische Process. p. 39. ss.

*ἡγεμονίας δικαστηρίων*] Moderamen judiciorum. Caussae plurimae ad unum de magistratibus ante omnia deferendae erant, qui eas examina-

www.libtool.com.cn

ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου· τί τούτους κελεύει ποιεῖν; οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι, ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι, καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λογιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς, κελεύει. ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους ὑμῖν αὐτοὺς ἀναγνώσεται.

## ΝΟΜΟΙ.

16 Ὅταν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἃς ὁ νομοθέτης ἀρχὰς ὀνομάζει, οὗτοι προσαγορεύωσι πραγματείας καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν, καὶ ὑποβάλλειν αὐτοῖς, ὅτι οὐ προσδέχεσθε κακοῦργον σοφιστὴν οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἄν τις ἄμεινον λέγῃ παράνομα γεγραφώς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται. χρὴ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

ret, interrogandis de criminis, argumentorum, testium ratione ac natura litigantibus, et judicium constitueret ipseque ei praeesset. Quanquam vero non Archontibus solis hoc jus competeret (vide Matthiae Misc. Phill. p. 242.), τειχοποιῷ tamen nonnisi ea ratione ἡγεμονία δικαστηρίου tribui potest, quatenus erat praeses collegii, quod p r o b a r e t opera ex pacto redemta. Non erat ita ipse in sua re judex, sed praeses judicii artis peritorum.

15. *οὐ διακονεῖν, ἀλλ' ἄρχειν*] Urget Aeschines vocabulum legis, quae non de munere *τειχοποιοῦ*, sed de *ἀρχαῖς* proprio nomine sic dictis lata erat. Hinc addidit, quod ipsum *ἄρχειν* spectat, *δοκιμασθέντας ἐν δικαστηρίῳ*. Senatores primum in senatu, tum coram judicio *ἐδοκιμάζοντο*. Num eadem fuerit ratio omnium *ἀρχῶν*, non liquet. In plerisque oratorum locis nonnisi *δικαστηρίου* mentio fit. Cf. der Attische Process p. 206. n. 87.

*καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν*] Reiskius offendit in *ἐγγράφειν*, quod *λόγος* quidem *ἐνεγράφετο*, *εὐθύνη* vero *ἐδίδοτο*. Verum antiqui, brevitatis amantes, per zeugma saepe duo nomina, quorum unumquodque verbum suum flagitabat, uni verbo junxerunt. Quod est potissimum, *λόγος καὶ εὐθύνη* erat ejus, qui *ἀρχὴν* gesserat, officium *πρὸς τὸν γραμματέα*, opinor *βουλῆς* seu *δήμου*.

16. *τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον*] In f a v o-

17 Πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὅν φησι Δημοσθένης, βραχέα βούλομαι προειπεῖν. λέξει γὰρ οὗτος »τειχοποιός εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατὸν καὶ τὸ ἔργον μεῖζον ἐξείργασμαι. τίνος οὖν εἰμι ὑπεύθυνος, εἰ μή τίς ἐστιν εὐνοίας εὐθύνη;« πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια καὶ ὑμῖν συμφέροντα. ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ καὶ τηλικαύτῃ τὸ μέγεθος οὐδείς ἐστιν ἀνυπεύθυνος τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων.
18 διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα μόνον

17. *ἐξείργασμαι*] Sic primus dedit Reiske ex Reg. I. quocum faciunt tres Bekkeri. Ceteri habent *ἐξείργασται*, quod videtur librariis deberi, potius quam alterum. Attici enim, quanquam non omnino refugiunt praeteritum passivum verbi *ἐργάζεσθαι* et compositorum significatione passiva adhibere, tamen multo saepius id significatione activa usurpant, eaque significatio in varietate lectionis videtur praeferenda.

rem legis suffragium ferre. Dativus additus locutioni *ψῆφον διδόναι*, quando significat suffragium ferre, eum designat, cujus in favorem fertur. Vide Buttmann. in ind. orationis Demosth. in Mid. s. v. *ψῆφος*.

17. *φησὶ*] Praesens me non offendit, etsi futurum sequatur: *λέξει γὰρ οὗτος*. Ibi enim verba ipsa recitat, quibus Demosthenem in oratione usurum esse opinatur. Nostro autem loco ea respiciuntur, quae hoc ipso tempore Demosthenes in circulis privatis jactaverit.

*μνᾶς ἑκατὸν*] Error hic videtur inesse, num consulto commissus, an furtim subrepens, non decernam. Veritas est in ipso psephismate, quod tulit Ctesiphon et quod servavit Demosthenes *περὶ στεφ.*, ubi p. 266. haec legimus: *Δημοσθένης — — ἐπιμελητὴς τῶν τειχῶν ἐπισκευῆς, καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα, ἐπέδωκε ταῦτα τῷ δήμῳ καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωρικοῖς ἑκατὸν μνᾶς εἰς θυσίας.* Errorem notavit etiam Boeckh. Staatsh. I. p. 219. Sed hoc est oratorum Atticorum flagitium, ut adversarii quae fecerunt laudabilia consulto deminuant et corrumpant.

18. *τοὺς ἱερεῖς*] Atticistae negant scriptores Atticos accusativum pluralem nominum in *εύς* contraxisse, nisi praecesserit vocalis, et tum in *ᾶς*. Cf. A. Matthiae Gr. Gr. §. 83. n. 6. ed. 2. Sed plures apud praestantissimos Atticos loci omnium Mss. auctoritate defenduntur contra hoc praeceptum, quam quos omnes cantus criticus mutare ausit.

*γέρα*] Scholiastes ad Thuc. I. 25. *γέρα* explicat *τιμὰς καὶ προεδρίας*. »Cives debuerunt victimas et alias res, fortasse pecuniam quoque, erogare in templa,

λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους, καὶ οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ τὰ γένη, Εὐμολπίδας καὶ Κήρυκας καὶ τοὺς ἄλλους
www.libtool.com.cn
19 ἅπαντας. πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, οὐ τὰ κοινὰ διαχειρίσαντας, οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους, βραχέα δὲ κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα, ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστη-
20 ρίων ἔρχεται ψῆφον. πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον καὶ εὐθύνας διδόναι, καὶ τῶν ἐκεῖ σκυθρωπῶν καὶ τῶν μεγίστων κύριον ἄγειν ὑπὸ τὴν ὑμετέ-

**20.** *καὶ τῶν ἐκεῖ σκυθρωπῶν – κύριον ἄγειν*] Hanc quamvis corruptam codicum, in quibus haec verba leguntur, omnium lectionem revocavi, quum in Bekkeri editione ex Wolfii et Reiskii conjectura

sacrificia et alia ejusdem generis, ac de his ipsis acceperim *τὰ γέρα* Aeschini memorata in loco insigni orationis in Ctesiphontem.« F. A. Wolfius Prolegg. in Leptin. p. LXXI.

*Εὐμολπίδας καὶ Κήρυκας*] Familiae duae sacerdotum in sacris Eleusiniis, quarum illa ab Eumolpo, haec a Ceryce genus duxit. Eumolpi nomen modo tributum compluribus, modo complurium hominum res et facta cumulata in unum. In primis nomen illud illustravit institutio mysteriorum Eleusiniorum: sed ad quem inter plures Eumolpos illa referenda esset, ambigebatur. cf. Heyne ad Apollodor. III. 15, 4. Mortuo Eumolpo *Κῆρυξ* supererat frater, ut dicitur, natu minor, quem tamen ipsius progenies *Κηρύκων* filium dicit Aglauri et Mercurii. Hunc tradunt primum Musicam ab Apolline didicisse. Pausanias L. I. 38.

**19.** *τοὺς τριηράρχους*] *Τριήραρχος* antiquiorem esse formam quam *Τριηράρχης*, quam in editione Halensi ubivis restituerat Bekkerus, veremonuit Boeckh. Staatshaush. II. p. 133. Cf. etiam Ern. Fr. Poppo Prol. ad Thucyd. c. 18. p. 220. s. In oratoribus certe ubique priorem formam praebent Mss. vel omnes vel optimi.

*ἐπιδιδόναι*] Verbum proprium de iis, qui plus minusve suorum bonorum in reipublicae commodum ultro impendunt, quum viri patriae amantes publicis angustiis sponte succurrunt. Substantivum hinc derivatum *ἐπίδοσις* de una imprimis parte dicitur, quum tempore belli cives voluntariis collationibus, pro suis quisque facultatibus, reipublicae subveniunt. Vide Schoemann de Com. p. 292. Ceterum *ἐπιδιδόναι* et *ἀποδιδόντας* consulto videntur ob paronomasiam opposita.

**20.** *σκυθρωπῶν*] *Σκυθρωπός* plerumque in vitio ponitur et ne-

ϱαν ψῆφον. οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου; οὐδὲ γὰρ πάτριόν ἐστιν αὐτοῖς. οὐκ ἄρα φιλοτιμοῦνται; πάνυ γε, ἀλλ' οὐκ ἀγαπῶσιν, ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ, ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι. πάλιν τὴν βουλήν, τοὺς πεντακοσίους, ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης. καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ τοῖς ὑπευθύνοις, 21
ὥστ' εὐθέως ἀρχόμενος τῶν νόμων λέγει »ἀρχὴν ὑπεύθυνόν« φησι »μὴ ἀποδημεῖν.« ὦ Ἡράκλεις, ὑπολάβοι ἄν τις, ὅτι ἦρξα, μὴ ἀποδημήσω; ἵνα γε μὴ

legatur καὶ τὴν ἐκεῖ σκυθρωπὸν - - κυρίαν ἄγει. Casp. enim Orellius vere, opinor, monet leniore mutatione locum ita videri refingendum: καὶ τὸν ἐκεῖ σκυθρωπὸν - κύριον ἄγει, i. e. unumquemque Areopagitarum, qui ibi (ἐν Ἀρείῳ πάγῳ) tam tristes sunt et severi iidemque maximarum rerum arbitri, nihilominus lex vestris sententiis subjicit. Quod si dubites, num singulos rationem reddere oporteat, potes de toto collegio intelligere.

tat hominem non solum tristem et tetricum vultum habentem, sed fingentem vel augentem. Hic autem gravitatem nonnisi et severitatem indicat. Quod Ruhnken. ad Terent. Andr. V. 11, 16. monuit, »Saepe graves et severi tristes dicuntur, quoniam a jocis et hilaritate alieni sunt.« id ad Graecum σκυθρωπός transferendum.

οὐδὲ γὰρ πάτριόν ἐστιν αὐτοῖς] His verbis Marklandus et Reiskius negationem praeponere volunt, ut respondeatur ad antecedentem interrogationem: quo non opus. Γάρ enim caussam continet omissae responsionis, de qua supplenda nemo potest esse dubius. Vide Bosii Ell., p. 809. ed. Schaef. Similem locum habuimus in Lysia κατ' Ἐρατοσθ. §. 34. ubi Reiskius similia tentabat.

οὐκ ἀγαπῶσιν] Non sufficit ipsorum dignitati, si quis nil committit, si culpa vacat; sed eorum muneris est, eum, quicunque deliquerit, punire. Tantum abest, ut, quicunque nihil deliquerit, laudent atque honoribus extollant, ut eum puniant, qui inter ipsos officio suo defuerit.

οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι] Τρυφᾶν proprie dicuntur, qui deliciis et luxui indulgent. Quum vero ejusmodi homines facile in petulantiam et protervitatem incidant, sensu praegnante significat petulantem et protervum esse, modum civilem excedere: quae significatio hoc loco obtinet. Jam Fischer. ad Plat. Euthyph. c. 13 monuit τρυφᾶν complecti omnia illa vitia, quae insunt in hominibus luxuriae deditis.

21. ἀρχήν] Male hic reddi magistratum opinatur Taylor, sed adverbialiter significare omnino. Quae quidem frequens est apud Atticos significatio (vide Hermann ad Viger. p. 723); sed an haec significatio in legis formula locum habeat, dubito; et simplicius hic et infra §. 31. ἀρχὴν ὑπεύθυνον jungas, magistratum rationi reddendae obnoxium, ni-

## ΔΙΑΛΟΓΙΣΜΟΣ ΤΩΝ ΗΜΕΡΩΝ.

Οὐκοῦν εἰ μηδὲν ἔτι περαιτέρω τούτου δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν· αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμή, ἀλλὰ τὰ δημόσια γράμματα.

25 Πρότερον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντιγραφεὺς ἦν χειροτονητὸς τῇ πόλει, ὃς καθ' ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον γενομένην πίστιν ὑμῖν οἱ ἐπὶ τὸ θεωρικὸν κεχειροτονημένοι ἦρχον μέν, πρὶν ἢ τὸν Ἡγήμονος νόμον γενέσθαι, τὴν τοῦ ἀντιγραφέως ἀρχήν, ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν καὶ νεωρίων ἀρχήν, καὶ σκευο-

25. ἀντιγραφεὺς] Harpocration: ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι ταῦτα. Hic ἀντιγραφεὺς tabulas conficiebat quavis prytania, in quibus inerant rationes redituum, quos acceperant quaestores, ut appareret, an ratio a quaestoribus reddita justa esset. Is erat, quem nos Gegenschreiber vocamus. Pollux VIII, 98. scribit primum eum suffragiis electum, postea sorte ductum esse.

Εὔβουλον] Hic maxima valebat apud populum gratia imprimis ob administrationem pecuniarum publicarum et quod eas liberaliter cum populo communicaret, utpote qui imprimis favebat θεωρικῶν distributioni. Demagogi jam tum publicorum redituum curam diligenter assectabantur, ut magna esset ipsorum auctoritas. Cf. Boeckh Staatsh. I. p. 161.

Ἡγήμονος] Hegemon orator fuit ex illorum numero, qui nullis litteris eruditi ad eloquentiam exercendam accesserunt. Philippi muneribus corruptus Macedonum partibus favisse dicitur. Eum legem de cura pecuniae theatralis ἀντιγραφεῖ reddenda tulisse cognovimus ex nostro loco. Periit una cum Phocione. Cf. Ruhnkenius Histor. Crit. Orat. Gr. p. 76.

ἀποδεκτῶν] Harpocrat.: Ἀποδέκται ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν, ὡς δέκα τε εἴησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. Cf. Boeckh Staatsh. I. p. 171. s.

νεωρίων] Stephanus in Thes. L. G. T. II. p. 1006. s. v. νεωρέω monet, antecedens ἀποδεκτῶν suadere scribendum νεωρῶν: νεωρὸν enim, interprete Hesychio, esse νεωριοφύλακα: itaque scripsit Bekkerus in editione Halensi. Quanquam autem Stephani conjectura et antecedente vocabulo et emendationis facilitate commendetur, observandum tamen Aeschinem amare abstracta ponere pro concretis; etiamsi vero parum conveniat concreta et abstracta conjungere, simile tamen exemplum, quanquam item a viris doctis mutatum, in Tim. §. 5. τῶν τυράννων καὶ τῶν ὀλιγαρχιῶν. Bekkerus recepit Taylori conjecturam ὀλιγαρχικῶν. Similiter Isocrates opponit abstractum concreto Areop. 27.

θήκην ᾠκοδόμουν, ἦσαν δὲ καὶ ὁδοποιοὶ καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως. καὶ οὐ κατηγορῶν 26 αὐτῶν οὐδ' ἐπιτιμῶν λέγω, ἀλλ' ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ, πρὶν ἂν λόγους καὶ εὐθύνας δῷ, στεφανοῦν· ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς ἄρχοντα οὐκ ὤκνησε γράψαι στεφανῶσαι.

Ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν, 27 ὅθ' οὗτος τὸ ψήφισμα ἔγραφε, καὶ τὰ δημόσια χρήματα διεχείριζε καὶ ἐπιβολὰς ἐπέβαλλε, καθάπερ καὶ οἱ ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, τούτων ὑμῖν αὐτὸν Δημοσθένην καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι. ἐπὶ γὰρ Χαιρώνδου ἄρχοντος Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἐκκλησίας οὔσης

Ἀλλὰ μὴν οὐδὲ τὴν πρᾳότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων (τῶν ὀλιγαρχικῶν), ἢ τὴν τῆς δημοκρατίας.

σκευοθήκην] Repositorium πολεμικῶν σκευῶν. Pollux. X. 10. τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου ψυχαγωγοῖς·

καὶ σκευοθηκῶν ναυτικῶν
τ' ἐρειπίων,

καὶ παρ' Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος σκευοθήκην ᾠκοδόμουν. Θουκυδίδης δὲ ἀποθήκην αὐτὴν καλεῖ, φήσας τοῖς τε χρήμασι καὶ τοῖς σκεύεσιν ἀποθήκην. Respicit locum Thucydidis VII. 97., ubi consulendi interpretes.

ὁδοποιοί] Magistratus significatur, cui cura mandata est viarum publicarum et militarium aperiendarum et muniendarum.

καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως] Hyperbole rhetorica, ut appareat Demosthenem rationi reddendae tanti tamque multiplicis muneris obnoxium neque, antequam rationem reddidisset, coronandum esse. Magistratuum conjunctio in se repugnat liberae rerum publicarum rationi; et si quando locum habet, quod accidere poterat post cladem Chaeronensem, id urgenti temporis necessitati tribuendum. Cf. Weiske de Hyperbole P. II. p. 22.

27. ἐπιβολὰς ἐπέβαλλε] Cf. ad Lys. κατὰ Νικομ. §. 3. Id facere Demosthenes nonnisi auctoritate ἀρχῆς poterat.

καθάπερ καὶ οἱ ἄλλοι ἄρχοντες] Καί Bekkerus cum aliquot codd. omisit. Mihi videntur librarii post καθάπερ omisisse potius καί quam addidisse. Assentior enim Heindorfio ad Platonis Phaedon. §. 23., constantem propo Graecorum usum post relativa particulam addidisse.

Χαιρώνδου] Chaerondas aut alius intelligendus ac qui Ol. CX, 3. Archon fuit, aut is anno 2. Ol. CX. Pseudeponymus esse debuit. Certe quod hic narratur, non potest accidisse Ol. CX, 3.

Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος] Atheniensis mensis plenus, triginta dies continens,

ἔγραψε ψήφισμα Δημοσθένης ἀγορὰν ποιῆσαι τῶν φυλῶν Σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστης τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν' ἡ πόλις ἔχῃ ὑπεύθυνα σώματα, παρ' ὧν ἔμελλε τῶν ἀνηλωμένων λόγον ἀπολήψεσθαι. καί μοι λέγε τὰ ψηφίσματα.

ΨΗΦΙΣΜΑΤΑ.

28 Ναί, ἀλλ' ἀντιδιαπλέκει πρὸς τοῦτο εὐθύς, ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου· καὶ περὶ τούτου Δημοσθένης μὲν καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δέ γε νόμος βραχὺς καὶ σαφὴς καὶ

27. Σκιροφοριῶνος] Sic decem Bekkeri codices pro vulgato Σκιῤῥοφοριῶνος. Harpocration: σκίρα, τά, ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. Celebrabatur hoc festum Scirophorionis die XII in honorem Minervae vel, ut alii volunt, Cereris et Proserpinae. Vide Scholiasten Aristoph. ad Eccles. 18. Scirophorion succedit Thargelioni.

ἵν' — ἔχῃ] Bekkerus ex uno codice (k) dedit ἔχοι. Mihi quidem conjunctivus, qui rem ponit durantem, ex Aeschinis ore aptior videtur. Optativus finem, quem habuerit Demosthenes, indicaret: quod per se quidem non damnandum; sed unius codicis, qui saepe correctricem, ni fallor, manum expertus est, auctoritate non injiciendum. Cf. in Lysiam Excurs. I.

in tres decadas dividebatur. Prima decas appellabatur μηνὸς ἱσταμένου, ἀρχομένου μηνός, secunda μεσοῦντος, tertia φθίνοντος, λήγοντος. Secundae dies sic notabantur, ut v. c. undecimus mensis dies non solum πρώτη μεσοῦντος, sed etiam πρώτη ἐπὶ δέκα nominaretur et sic porro δευτέρα, τρίτη ἐπὶ δέκα. Tertiae autem decadis dies a remotissimo appellabantur, ita ut ἐνάτη φθίνοντος sit mensis dies vicesimus primus, ὀγδόη φθίνοντος vicesimus secundus et sic porro, ita ut δευτέρα φθίνοντος sit mensis dies octavus et vicesimus. Θαργηλιών autem noster Majus est.

ἀγορὰν ποιῆσαι τῶν φυλῶν] Ἀγορά interdum dicitur de conventu tribuum et demorum, publicorum quidem negotiorum caussa, sed quae partium magis erant quam totius civitatis. Cf. Schoemann de Comm. p. 27.

ἑκάστης τῶν φυλῶν] Wolfius de suo addiderat ἐξ, Reiskius scripsit ex conjectura ἑκάστη. Ἑκάστης, quae est omnium scriptorum lectio, est genitivus partitivus, qui saepe jungitur locutionibus, quae electionem indicant. Libanius ὑπόθ. orationis Dem. περὶ στεφ. p. 221. ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς.

ἐπὶ τὰ τείχη] Reiskius hoc, ut scholion, uncis inclusit; non video, quare. Jungenda haec videntur cum ἑλέσθαι.

28. ἀντιδιαπλέκει] Διαπλέκειν τέχνας, δόλους significatione mala artificiose ali-

ταχὺ λύων τὰς τούτων τέχνας. μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐ-
www.libtool.com.cn
τῶν πρῶτον προειπεῖν βούλομαι. ἔστι γάρ, ὦ Ἀθη- 29
ναῖοι, τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία, ὧν ἓν μὲν καὶ πᾶσι φανερώτατον οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ ἄρχοντες, δεύτερον δὲ ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται· τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, καὶ εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμ-
βάνουσι, καὶ τούτους ἄρχειν δοκιμασθέντας. ἐπειδὰν 30
δ' ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπεται, οὓς αἱ φυλαὶ καὶ αἱ τριττύες καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι. τοῦτο δὲ γίγνεται, ὅταν, ὥσπερ νῦν, ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι, ἢ τριήρεις ναυπηγεῖσθαι. ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε.

## ΝΟΜΟΙ.

Ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι 31
ὁ μὲν νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς διοικήσεως εἰς ταῦτα ἔχει μικροῦ δεῖν δέκα τάλαντα,

quid struere, quod damno sit. Hic ἀντιδιαπλέκειν eadem significatione absolute legitur, quum orator jam in mente habeat objectum, quod statim ponit cum alio verbo junctum, καὶ ταχὺ λύων τὰς τέχνας. Nec tamen caute Aeschines hoc verbum delegit. Est enim, quasi dicat suam ipsius orationem διαπλοκήν, contra quam adversarius ἀντιδιαπλέκει.

30. αἱ τριττύες] Harpocration: Τριττύς ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττὺν καὶ ἔθνη καὶ φατρίας, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Τριττύς tertia pars tribus fuisse videtur ratione δημοσίων χρημάτων et eorum, quae praestanda erant nummis, ut ex nostro loco patet et ex Demosthene περὶ συμμοριῶν p. 184.

αἱρετοὺς] Αἱρέσει, liberae electioni, opposita erat sortitio, κλήρωσις, in quam pronus erat populus Atheniensis, imprimis ne optimates in electione subsidiorum varietate potentiores evaderent. In partium igitur negotiis nonnisi ex nostro etiam loco, αἵρεσις usurpabatur. Ab αἱρέσει differt χειροτονία, quae fit in concione manuum porrectione inter eos, qui per archontes propositi sunt. Cf. Pollux VIII. 87.

ἔπειτα δ᾽ ἀπαγορεύει νόμος ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν, ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν, οὐ προσθεὶς »ἐπειδὰν δῷ λόγον καὶ εὐθύνας,« ἐγὼ δὲ ἐξελέγχω τὸ παράνομον μάρτυρας ἅμα τοὺς νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεχόμενος. πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παρανομώτατα γεγραφότα;

32 Ὡς τοίνυν καὶ τὴν ἀνάῤῥησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίγνεσθαι, καὶ τοῦθ᾽ ὑμᾶς διδάξω. ὁ γὰρ νόμος διαῤῥήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ μηδαμοῦ. καί μοι λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

33 Οὗτος ὁ νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. οὐ γάρ, οἶμαι, ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ᾽ ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. ὁ μὲν οὖν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; ἀναγίγνωσκε τὸ ψήφισμα.

31. παρανομώτατα γεγραφότα] Reiskius ex Mead. dedit παράνομα, idque in quattuor, sed ejusdem familiae codd., qui ubique conspirant, inventum recepit Bekkerus. Sed superlativus plurimorum et optimorum codicum auctoritate nitens videtur oratoris consilio convenientissimus, et majorem vim habet.

32. ἀνάῤῥησιν τοῦ στεφάνου]. Ἀνειπεῖν, ἀνακηρύττειν, ἀναγορεύειν propria sunt verba de praecone, qui publice promulgabat alicui ob virtutem coronam esse tributam. Cf. Hemsterhus. ad Luciani Tim. 51. T. I. p. 166.

33. καὶ μὴ ἐργολαβεῖν] Bekker. Anecdd. p. 259. ἐργολάβος: ὁ φλαύροις πράγμασι χρώμενος παρὰ τοῖς ῥήτορσι, καὶ οὐχ ὁ ὑπὲρ τινων ἔργων μισθὸν λαμβάνων καὶ ἔχων τοὺς συνεργαζομένους, ὡς ἡ συνήθεια. Hoc loco dicitur de ambitiosis demagogis, qui honoribus ipsis, quibus afficiuntur, ad augendam ambitionem abutuntur, dum jactant hos ipsos honores, eosque per pompam quasi in triumpho ducunt. Frequens est etiam per contemtum de sophistis et philosophis, opus faciendum mercede suscipere. Cf. Wyttenbach. ad Plutarchi Mor. T. I. p. 532. Oxon.

## ΨΗΦΙΣΜΑ

www.libtool.com.cn

'Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ ἀνακηρύττειν τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ μηδαμοῦ, Κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ, οὐ τοὺς νόμους μόνον ὑπερβάς, ἀλλὰ καὶ τὸν τόπον μετενεγκών, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν, οὐδ' ἐναντίον τοῦ δήμου, ἀλλ' ἐναντίον τῶν Ἑλλήνων, ἵν' ἡμῖν συνειδῶσιν οἷον ἄνδρα τιμῶμεν. 34

οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφώς, παραταχθεὶς μετὰ Δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις, ἃς ἐγὼ δηλώσω καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. οὗτοι γάρ, ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν, οἴσουσι δὲ εἰς τὴν ἀπολογίαν τὸν Διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, 35

34. *ἐν Πυκνί*] Sic habent optimi libri. Bekkeri Anecdd. p. 299. Πνύξ: ἔστιν ἡ γενικὴ πυκός, διὰ δὲ τὴν εὐφωνίαν πυκνός. Brunckius quidem ad Aristoph. Thesmoph. v. 568. »suavis est, inquit, ad hunc locum Kusterus, qui librariorum errores, ubique corrigendos, in exemplum trahit, ut probet e recto Πνύξ declinari casus obliquos πυκνός, πυκνί, πύκνα, quod absurdum est.« – Non tam absurdum erit ei, qui fidem Mss. reveretur, nec plane contemnit grammaticorum testimonia.

34. *ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ*] Eadem notio, quoniam primaria est, pluribus formulis enuntiatur. *Ἐν τῷ δήμῳ*, opinor, significat coram populo Atheniensi, non coram peregrinis, ut cupiebant ii, qui *ἐν θεάτρῳ* promulgari volebant. *Πυκνί* est locus, ubi promulgationem locum habere oportebat. Cf. Schoemann. de com. p. 54. *Ἐν τῇ ἐκκλησίᾳ* est quasi determinatio antecedentis *ἐν Πυκνί*, ut scilicet promulgatio fiat in concione populi.

*τραγῳδῶν ἀγωνιζομένων καινῶν*] Per *καινοὺς τραγῳδοὺς* significatur temporis conditio. Nam tempore *τῶν Διονυσίων ἐν ἄστει* mense Martio poetae novas tragoedias in honorem festi conscriptas judicum a populo constitutorum judicio subjiciebant, a quibus, quae optima videbatur, coronabatur.

35. *Διονυσιακὸν νόμον*] Legem, quae statuit, quid festis Dionysiacis agendum sit, et quid agere liceat, quid non. Laudat haec Demosthenes *περὶ στεφ.* p. 267. *ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτους δ' ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύεσθαι.*

www.libtool.com.cn

36 καὶ παρέξονται νόμον οὐδὲν προςήκοντα τῇ γραφῇ τῇδε, καὶ λέξουσιν, ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μὲν, ὃν νῦν ἐγὼ παρέχομαι, διαῤῥήδην ἀπαγορεύων τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ, τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάῤῥησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα. ἐγὼ δὲ πρὸς
37 τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. εἰ γάρ τοῦτό ἐστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς τὴν πολιτείαν, ὥςτ' ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις, τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ προςτάττουσιν οἱ νόμοι ποιεῖν καὶ μὴ ποιεῖν; ἀλλ' οὐκ ἔχει ταῦθ' οὕτως·

36. *τῇ γραφῇ τῇδε*] Hanc verborum collocationem recepi ex Helmst. et Bekkeri quattuor bonis. Graeci pronomen ὅδε cum vi postposuerunt substantivo. Nam in enuntiationis fine gravior est sonus quam in media enuntiatione.

*ἀπαγορεύων*] Sic dedi ex Helmst. et octo Bekkeri codd. pro vulgato *ἀπαγορεύοντα*, quod in se non damno. Nam interdum participia construuntur in enuntiationem interjectam. Sed plurimis optimisque Mss. obtemperandum erat.

36. *οὐδὲν προςήκοντα*] *Προςήκειν τινί* vel *πρός τι*, pertinere ad aliquid, haud alienum esse ab aliqua re, illustravit Astius ad Plat. Legg. III. 15. p. 190.

37. *παραδέδυκεν*] Mead. habet *παρειςδέδυκεν*, quod Marklandus conjecerat. *Παρειςδύνειν* multo significantius est quam *παραδύνειν*. *Εἰςδύνειν* est introire, intrare; *παρειςδύνειν* contra jus fasque intrare, irrepere, callide se insinuare. Vocabulum apud recentiores imprimis scriptores usurpatur, nec tamen quicquam est, quod optima aetate illud indignum reddat, quum praeterea certum sit Aeschinem decomposita adamasse. Nostri *παρειςδύνειν* exempla vide apud J. J. Wettstenium ad epistolam Judae. v. 4. *Ὑμῶν εἰς τὴν πολιτείαν* lenis est metathesis pro *εἰς τὴν πολιτείαν ὑμῶν*. Haud raro genitivus rectus praeponitur substantivo regenti. περὶ παραπρ. §. 177. p. 253 meae ed. *εἰς τοὺς ἐσχάτους ἡμῶν κινδύνους τὴν πόλιν καθιστᾶσι*, ubi Bekkerus ex uno codice dedit *εἰς τοὺς ἐσχάτους κινδύνους τὴν πόλιν ἡμῶν καθ.*

μήθ' ὑμεῖς ποτε εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προ- 38
βαίητε, οὔτε ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαῤῥήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους, εἴ τις ἀναγέγραπται νόμος ἐναντίος ἑτέρῳ νόμῳ ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ πού εἰσι νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως.
κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν σανίσιν 39
ἐκτιθέναι κελεύει πρόσθεν τῶν ἐπωνύμων, τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας νομοθέτας, τὸν

38. μήθ' ὑμεῖς — — προβαίητε] Helmst. et septem Bekkeri codd. μή habent pro μήθ'. Sic haec enuntiatio per parenthesin posita esset, quasi monitum optantis. Sed μήθ' et οὔτε sibi respondent, prius cum optativo positum, vim optandi habens, ne quid fiat, alterum cum indicativo, vim affirmandi habens aliquid non esse. Sensus hic est: ut vehementer optandum, ne vos unquam ad tantam legum confusionem prolabamini; sic haec a legislatore neglecta non sunt. Hanc membrorum oppositionem per has particulas oratoribus non inusitatas esse docui in Demosthen. p. 94. s.

38. προστέτακται τοῖς θεσμοθέταις] Jam anni initio legum censura a Thesmothetis instituebatur. Hic tamen videtur alia ab Aeschine commemorari. Nempe videtur sub anni finem, quum vel ipso judiciorum usu accuratam magis cognitionem sibi comparassent, censura et emendandarum ratio instituta fuisse. Cf. Schoemann de Com. p. 260.

διορθοῦν ἐν τῷ δήμῳ] Videtur Thesmothetarum officium fuisse, ut rationem quandam legum emendandarum populo proponerent et utrae utris praeferendae essent, eum docerent. Haud dubie tamen aliis quoque civibus idem licuit, ut de his rebus consilia populo darent.

ἀναγέγραπται] i. e. κεῖται, ἔστιν: verbum proprium de legislatione.

39. ἐν σανίσιν] Σανίδες inter alia dicebantur tabulae, in quibus leges publice inscribebantur, antequam a populo disceptarentur. Ἐκτιθέναι verbum proprium in hac re.

πρόσθεν τῶν ἐπωνύμων] Ἐπώνυμοι hic sunt οἱ τῶν φυλῶν ἐπώνυμοι ἥρωες, οἳ ἦσαν δέκα, a quibus Clisthenes decem a se constitutis tribubus nomen dederat. Eos exponit Pausanias in Attica c. 5. Eorum statuae prope curiam erant collocatae, haeque statuae hic intelliguntur.

ἐπιγράψαντας νομοθέτας] Nullo sensu H. Wolfius vertit inscriptis legum latoribus. Per νομοθέτας autem F. A. Wolfius Prolegg. in Leptin. p. CL. not. intelligit judices a populo constitutos, qui jus dixerant in Heliaea; ἐπιγράφειν vero ait esse attribuere, designare, constituere, quod proprie fuit populi, non prytanum. Schoemann autem de Com. p. 259. opinatur νομοθέτας ἐπιγράφειν breviter dictum significare: ecclesiam de

www.libtool.com.cn

δ' ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ, καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων, τοὺς δὲ καταλείπειν, ὅπως ἂν εἷς ᾖ νόμος καὶ μὴ πλείους περὶ ἑκάστης πράξεως. καί μοι λέγε τοὺς νόμους.

NOMOI.

40 Εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀληθὴς ἦν ὁ παρὰ τούτων λόγος καὶ ἦσαν δύο κείμενοι νόμοι περὶ τῶν κηρυγμάτων, ἐξ ἀνάγκης, οἶμαι, τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδόντων τοῖς νομοθέταις, ἀνῄρητ' ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν, ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γεγένηται, φανερῶς δή που ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες, ἀλλὰ καὶ παντελῶς ἀδύνατα
41 γενέσθαι. ὅθεν δὲ δὴ τὸ ψεῦδος τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς προειπών, ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. γινομένων γὰρ

nomothetis habendam esse in programmate proscribere: quod nescio an etiam Victorius intellexerit, qui in margine ed. Ven. ad ἐπιγράψαντας adscripsit σιονεὶ ὑποβαλόντας.

διαχειροτονίαν διδόναι τῷ δήμῳ] Διαχειροτονία proprie locum habebat, quum diversae rogationes populo proponebantur, ut dijudicaretur, quaenam praeferenda esset, et sic differt ab ἐπιχειροτονία, quae simpliciter est suffragatio manuum erectione. Si res non brachylogice narratur, intelligendum est populum in suffragia mittere, quinam creentur nomothetae. Fortasse tamen brachylogice dictum est, quemadmodum tota omnino res significatur tantum, ita ut ἐπιγράψαντας νομοθέτας omne munus nomothetarum complectatur et διαχειροτονία spectet suffragium de abolendis aut mutandis legibus.

40. ὁ παρὰ τούτων λόγος] Παρά cum genitivo saepe brachylogice usurpatur originem indicans, unde aliquid proficiscitur, sive dictum sive factum. κατὰ Τιμ. §. 116. p. 85. meae ed. ἱκανῶς ὑμᾶς ὑπομιμνήσκει ὁ παρ' ἐμοῦ λόγος. Sic saepe. Non audiendus igitur Helmst., qui pro παρά dat περί. Sic etiam Latini usurpant praepos. a. Litterae ab aliquo.

ἤτοι — ἤ] Hoc ordine semper leguntur hae particulae, non vice versa ἤ — ἤτοι. Prius membrum est vel admirantis vel mirantis; interdum tota disjunctio admirantis. [Vid. Lobeck ad Soph. Aj. p. 245 et 443, coll. Schaefero ad Apoll. Rh. T. II. p. 621.]

41. γινομένων — τραγῳδῶν] Reiskius hunc phrasin inter soloecismos Aeschinis refert, quum etiam infra §. 154. legatur μελλόντων — — τῶν τραγῳδῶν γίνεσθαι. Eo autem loco Taylor, qui hic non offenderat, monet a γίνεσθαι non longe abesse ἀγωνίζεσθαι: quam veram lectionem esse arbitratur. Et quidem supra §. 64., ubi legitur τραγῳδῶν ἀγωνιζομένων καινῶν, est

www.libtool.com.cn

τῶν ἐν ἄστει τραγῳδῶν, ἀνεκήρυττόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δ' ὑπὸ τῶν δημοτῶν· ἄλλοι δέ τινες ὑποκηρυξάμενοι τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους, μάρτυρας τῆς ἀπελευθερίας τοὺς Ἕλληνας ποιούμενοι.
ὃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν 42
ταῖς ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι, ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων, ἢ Χίων, ἢ καὶ ἄλλης τινὸς πόλεως ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας. καὶ ταῦτ' ἔπραττον οὐχ ὥςπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι, ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγματος
ὑμετέρου. ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν 43
θεατὰς καὶ τοὺς χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμαῖς τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων· τοῖς μὲν γὰρ ἀποδέδεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρῆν

42. ὃ δ' ἦν ἐπιφθονώτατον] Victorius margini Ven. adscripsit ἐπίμεμπτον et puncta posuit supra τατον. Λείπει τὸ προςθήσω.

43. μείζοσι τιμαῖς] τιμαῖς accessit ex tribus Bekkeri codd. ut jam in Stephani editione legitur. Vulgo deest τιμαῖς. Reiskius de suo dedit μειζόνως. In Helmst. est μείζονος τιμῆς, quod contendere potest cum μείζοσι τιμαῖς, quodque merito prae vulgata probavit Wunderlichius, qui Bekkeri copias nondum norat.

in tribus Bekkeri codicibus γιγνομένων. Hemsterhusius ad Lucian. Tim. 51. rariorem hanc formam esse monet, nec ipse recusat, quo minus pro γιγνομένων scribatur ἀγωνιζομένων. Loquendi quidem forma non accurata est et subtilis; sed non obliviscendum in rebus, quae populi sermonem exercent, in scribendo quoque paulatim admitti, quae subtilior dicendi ratio rejiciat. Quare haec, quanquam minime laudanda, toleranda tamen videtur locutio. Victorius Venet. adscripsit ἀντὶ ἀγωνιζομένων τῶν τραγικῶν.

ἀνεκήρυττον] Taylor mavult ἀνεκηρύττοντο, quod est in Helmst. et quod unus Bekkeri codex supra scriptum habet. Verum etiam alibi ἀνακηρύττειν dicitur, qui curat aliquid per praeconem promulgandum. §. 46. ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι.

ὑποκηρυξάμενοι] Pollux IV. 94. ὑποκηρύξασθαι τὸ προειπεῖν ἡσυχίαν ἢ ἐπαγγεῖλασθαί τι δημόσιον. Victorius margini Ven. adscripsit διὰ κήρυκος ἀφέντες: ἐβόα γὰρ ὁ κήρυξ· ὁ δεῖνα τὸν δεῖνα ἠλευθέρωσεν. Ἀττικῶς δὲ ἀντὶ κηρύξαντες. χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς. Sequenti versui adscribit εἰρωνίας καὶ ἔθους (ἤθους?) μεστὸς ὁ λόγος.

www.libtool.com.cn

στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύοντο ἐνώπιον ἁπάντων τῶν Ἑλλήνων· κἀκεῖνοι μὲν μετὰ ψηφίσματος πείσαντες ὑμᾶς,
44 οὗτοι δ' ἄνευ ψηφίσματος συνιδὼν δή τις ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ, οὔτε λύσας ἐκεῖνον· οὐδὲ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέατρον· οὔτ' ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθείς· οὐ γὰρ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαῤῥήδην ἀπαγορεύει μήτ' οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ, μήθ' ὑπὸ τῶν φυλετῶν ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλ-
45 λου, φησί, μηδενός, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. ὅταν οὖν ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις εἰς τὸ βουλευτήριον ἀναῤῥηθῆναι, τοῖς δ' ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν, τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δ' ἐν τῷ νόμῳ μηδ' ὑπὸ ἄλλου μηδενὸς ἀνακηρύττεσθαι

44. ἠνωχλεῖτο] Sic septem Bekkeri codices, fere optimi. Vulgo ἐνοχλεῖτο. Quattuor Bekkeri codices, ejusdem quidem familiae, ἐνωχλεῖτο, unde, etiam si alii codd. non addixissent, jam praeferenda fuisset forma Attica. Nam scriptores Attici in duplici hujus verbi augmento sibi fere constant. Cf. Lobeck. ad Phryn. p. 154.

μετὰ ψηφίσματος πείσαντες ὑμᾶς] Synonyma haec. Τὸ πείθειν id agebat, ut ψήφισμα fieret. Amici enim in favorem ejus, qui se coronari cupiebat, tam multas laudes et publica merita congerebant, ut populus ψήφισμα τοῦ στεφανωθῆναι αὐτόν non recusaret. Hi contra, quos Aeschines tangit hyperbolice, eo ipso, quod ab externa civitate coronam acceperant, jus sibi vindicabant καινῶν τραγῳδῶν ἀγωνιζομένων promulgari.

45. ὅταν οὖν ἀποδείξῃ] Sc. ὁ νομοθέτης. Victorius margini Ven. adscripsit ὁ νόμος, quod est in duobus Bekkeri codicibus.

ἐρανίζων] Victorius margini Ven. adscripsit οἱονεὶ συλλέγων. De laudabili more ἐράνων exposuit Casaub. ad Theoph. XV. 2., jamque Lexica satis instruunt. Hic autem tropice dicitur emendicare, humili et mendicorum ratione aliquid consectari. Ψευδῆ jungi potest vel cum κηρύγματα vel cum φιλοτιμίαν; aptius tamen jungitur cum κηρύγματα, et φιλοτι-

www.libtool.com.cn

ἀκούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν, — ὅταν δέ τις ταῦτα ἀφέλῃ, τί τὸ καταλειπόμενόν ἐστι
πλὴν οἱ ξενικοὶ στέφανοι; Ὅτι δ' ἀληθῆ λέγω, μέγα 46
σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ τῷ ἐν ἄστει ἀναῤῥηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς ὁ νόμος κελεύει, ἀφελόμενος τὸν στεφανούμενον. καίτοι τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι τοῦ δήμου τοῦ Ἀθηναίων; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδὲ εἷς οὕτως ἀγεννὴς γένοιτο, ὥςτε ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι καὶ καθιεροῦν. ἀλλ' οἶμαι, διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων
γένηται τὴν ψυχήν. ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλη- 47
σίᾳ ἀναῤῥηθέντα στέφανον οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτός, ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίγνωνται. καὶ διὰ τοῦτο προςέ-

μίαν ponitur sine epitheto, ut §. 23. μὴ ἅρπαζε τὴν φιλοτιμίαν.

ἀκούσης βουλῆς] Si desit senatus, i. e. si excipiatur senatus, praeter senatum. Haec significatio ex primaria verbi notione sponte enascitur. §. 71. οὐδὲ γιγνώσκειν ἔφη (τοὺς Φιλίππου πρέσβεις) τὴν εἰρήνην, ἀπούσης συμμαχίας. Monet tamen Orellius fuisse, qui conjiceret ἀκούσης β.

46. τοῦ δήμου τοῦ Ἀθηναίων] Sic duo Bekkeri codd. pro vulgato τοῦ δήμου τῶν Ἀθηναίων. Ad genitivum nominis proprii pendentem ex nomine appellativo plerumque Aeschines repetit articulum nominis appellativi, et nomen proprium in genitivo ponit sine articulo. Hunc usum dicimus esse Atticorum scriptorum: quem librarii saepe vitiarunt. Attendendum tamen a consuetudinem singulorum scriptorum. Recentiores inprimis utrumque articulum et appellativi nominis et proprii jungere videntur. Cf. Jacobs ad Ach. Tat. p. 4, 23. Animadvv. p. 398.

μὴ – ὅτι – ἀλλ' οὐδ'] Μή ellipticum est: μὴ γὰρ ὑπολαμβάνετε, ὅτι ἂν γένοιτο πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης – γένοιτο, ne opinemini civitatem fore, sed ne fuerit quidem privatus tam illiberalis.

47. ἀλλ' οὐκ – – οὐδεὶς καθιεροῖ] Sine caussa nonnemo offenderat in duplici negatione et malebat οὖν pro οὐκ. Sed per ἀλλ' οὐκ in oppositione enuntiatio fortiter negativa annuntiatur; tum ubi nos indefinitum affirmativum in eadem enuntiatione ponimus, Graeci ponunt negativum. Vide Matthiae Gr. Gr. p. 886.

www.libtool.com.cn

εἴρηκεν ὁ νομοθέτης μὴ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ὑμετέρων στεφανοῦν πρέσβεις πέμψασα δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι κηρῦξαι ἐπετρέψατε. ὅτι δ' ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν ἀκούσατε.

## ΝΟΜΟΙ.

48 Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσγέγραπται ἐν τῷ νάμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑποβάλλειν, ναί, εἴ γέ σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆαος ὁ Ἀθηναίων, ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γενέσθαι, ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ γὰρ »ἄλλοθι δὲ μηδαμοῦ« ὅ τι ἔστιν, ὅλην τὴν ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις, ὡς ἔννομα γέγραφας.

49 Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις,

47. *μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι* cet.] Sic Aldina et schedae Scrimgeri. Vulgo legitur *μείζω χάριν εἰδῇ τῶν στεφάνων ὑμῖν ἢ τοῖς στεφανοῦσιν, ὅτι.* Sed *στεφάνων* memoratur nonnisi ex uno Bekkeri pro *στεφανούντων* et *ἢ τοῖς στεφανοῦσι* manifesta est explicatio genitivi post comparativum positi *τῶν στεφανούντων.*

48. *ὑποβάλλειν*] Sic septem Bekkeri codd. et ante Helmst. Vulgo *ὑποβαλεῖν.* In praesente inest, quod immorari eos oporteat in responsione.

48. *ἐξεῖναι στεφανοῦν*] Petitus Legg. Att. p. 379. ed. Wesseling. addendum censet *ἐν τῷ θεάτρῳ*, idemque suspicabatur Taylor. Locus quidem sic est intelligendus, ut si haec verba adessent. Sed ut addantur, non est necessarium. Contextus enim satis docet de nulla coronatione sermonem esse posse, nisi quae fiat in theatro.

*ἀπείρηται*] Asyndeton fortius est, quam si addatur *γάρ*, quod Reiskius addidit de suo et quod est in uno Bekkeri; asyndeto autem hoc raro utitur Aeschines. *κατὰ Τιμ.* §. 193. p. 182. meae ed. *ἀλλ' ἐκεῖνο ποιήσω· ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰ σώματα γνώριμα καταστήσω.* Tenendum autem enuntiationes quasdem suo pondere tam graves esse, ut particula praesertim caussali non egeant. Hinc apud tragicos rarissima ejus est intra parvum spatium repetitio.

www.libtool.com.cn

δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν
τῷ ψηφίσματι, »καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεά-
τρῳ πρὸς τοὺς Ἕλληνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος
ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας« καὶ
τὸ μέγιστον, »ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα
τῷ δήμῳ.« ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν 50
λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ
γὰρ δή που τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπι-
δεικνύναι, ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευ-
δεῖς καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα οὔτε νῦν δια-
τελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. κἂν τοῦτ' ἐπι-
δείξω, δικαίως δή που τὴν γραφὴν ἁλώσεται Κτησι-
φῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα
ψευδῆ γράμματα ἐγγράφειν ἐν τοῖς δημοσίοις ψηφί-
σμασι. τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δει-

50. ψευδῆ γράμματα ἐγγράφειν] Γράμματα, quod vulgo deerat, ex cunctis fere codd. accessit. Librarios conjugata expellere notares est. ψευδῆ γράμματα sunt ea ipsa, quae in laudem Demosthenis scripsisse arguitur Ctesiphon.

49. τὸ μέγιστον] Hoc in ipso psephismate Ctesiphontis, quod legimus ap. Demosthen. περὶ στεφ. p. 243. non est, sed additum ab Aeschine, ut attentionem ad hoc maxime momentum moveat. Hic autem totus locus abunde docet, quousque animus odio et cupiditate abreptus progredi possit.

50. ἁπλοῦς] Scholiastes: τριχῶς λέγεται τὸ ἁπλοῦν ἢ ἐπὶ τοῦ ἀπανουργήτου, ἢ ἐπὶ τοῦ ἐρημὸν, ἢ ἐπὶ τοῦ συντόμον. ἐνταῦθα οὖν ἁπλοῦν λέγει τὸ σύντομον, ὥσπερ Εὐριπίδης (Phoen. 472)

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

οἱ κατὰ Δημοσθένους ἔπαινοι] Κατά proprie motum ex superiore loco in inferiorem locum significat; hinc tropice vel de vituperiis vel de laudibus dicitur, quae quasi dejiciuntur in aliquem, et facile intelligitur significationem malam esse frequentiorem. Interdum tamen etiam in ejusmodi locutionibus reperitur, in quibus aut omnino significat quod attinet ad, aut in favorem, honorem. §. 241. ἄνδρας ἀγαθούς, — ἐὰν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν.

οὔτ' ἤρξατο — οὔτε διατελεῖ] Sic accipienda, quasi posuisset οὐχ ὅτι διατελεῖ, ἀλλ' οὐδ' ἤρξατο. Interdum illud membrum, quod primo οὔτε adhaeret, involvit, quum ipsum negetur, alterum ne fieri quidem posse.

ἁλώσεται] Pollux VIII. 73. ἐπὶ τοῦ καταδικασθέντος ἥλω, ἑάλω, ἁλίσκεσθαι. Cf. Valckenaer ad Herod. II. 174. Oppositum est ἀποφεύγειν, criminibus elabi.

κλέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί. ἔχει δ' οὕτως.

www.libtool.com.cn

51 Ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα, ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν ἢ τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον,
52 ὅτε εἷς ὢν τῶν τριηράρχων Δημοσθένης καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεὼς καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου περὶ θανάτου κατήγορος γενέσθαι· καὶ ταῦτα ἤδη τὰ περὶ Μειδίαν καὶ τοὺς κονδύλους, οὓς ἔλα-

51. τὴν τοῦ τραύματος γραφὴν] Γραφὴ τραύματος erat ἐκ προνοίας. Scilicet si quis eo consilio aliquem vulneraverat, ut eum interficeret, γραφὴ τραύματος locum habebat secundum Solonis legem, quam nobis servavit Demosth. κατὰ Τιμοκρ. p. 627. apud Areopagum. Alterum genus τραύματος est, ἄν τις τύπτῃ τινὰ ἄρχων χειρῶν ἀδίκων. Hic αἰτίας δίκῃ tenebatur: quae erat actio privata, cui lege multa non definita, tamen constituta erat, si quis scilicet injuriam prior intulerat, non vim vi repellebat. Haec δίκη agebatur πρὸς τετταράκοντα (magistratum sorte ductum, ad quem pertinebant caussae privatae, quarum multa decem minas non superabat). Hinc conjicere licet eos, qui casu et sine consilio, aut temeritate aliquem vulneraverint, non esse multatos.

Κηφισοδότου] Scholiastes: Κηφισόδοτος, πολιορκήσας Ἀλωπεκόννησον, εἰσαγγελθεὶς διὰ τὴν συνθήκην τὴν πρὸς Χαρίδημον γενομένην καὶ καταψηφισθεὶς πέντε ταλάντοις ἐζημιώθη. Rem narrantem conferre poteris Demosth. κατὰ Ἀριστοκρ. p 675. s.

52. περιάγων] Scholiastes: Δοκεῖ τοῦτο ὥσπερ τιμή τις εἶναι τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεώς, καθὸ δοκεῖ τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην.

ἀπ' εἰσαγγελίας] Sollemnis haec est formula. De εἰσαγγελίᾳ accuratissime exposuit Schoemann. de Com. L. II. c. 3. Interdum praepositio cum substantivo in unum vocabulum coaluit, optimi tamen codd. disjungunt. Infra §. 79. φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται. §. 171. accessit ex bonis codd. φυγὰς ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο. Hic εἰσαγγελία spectabat perfidiam in populum commissam.

Μειδίαν] In hunc scripta Demosthenis oratio exstat, sed non habita. Inde, quod non habita sit, factum esse putant viri docti, ut adumbratam eam, non perpolitam relinqueret orator.

βεὺ ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε
Μειδίου. ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἄλλα τὰ τούτοις 53
ὅμοια ὑπερβήσεσθαι, οὐ προδιδοὺς ὑμᾶς, οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα. καίτοι, ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥςτε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν, ἀλλὰ παλαιὰ καὶ λίαν προωμολογημένα, πότερα αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι, ἢ ψέγεσθαι; καὶ σέ, τὸν ψευδῆ καὶ παράνομα τολμῶντα γράφειν, πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων, ἢ δί-
κην τῇ πόλει δοῦναι; Περὶ δὲ τῶν δημοσίων ἀδικημά- 54

τριακοντα μνῶν] Conferendus de hac re Boeckh. über die Zeitverhältnisse der Demosthenischen Rede gegen den Midias in Dissertationibus Academiae Regiae Bor. 1818-1819., unde patebit hanc Aeschinis criminationem haud improbabilem esse. Quanquam enim contra leges erat componere caussam ad magistratum delatam, tamen id interdum fiebat nec poena compositioni constituta imponebatur. Midiae autem eo tempore potentia et opes tantae erant, ut metuendum esset Demostheni nondum auctoritate pollenti, ne caussa caderet. Hinc non alienus erat a lite componenda. Atticae vero levitati tantum concessit, ut triginta minas ab adversario acciperet, ne, re gratis omissa, omnium esset ludibrio. Ἅμα i. e. ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρόν, quod animadvertit Suidas, hunc locum laudans s. v. ἅμα; eodem tempore.

κατεχειροτόνησε] Nempe προβολήν, querelam, Demosthenes ad populum detulerat, Midiam impium fuisse contra Deum ejusque sacra. A populo autem res demum tradebatur legitimo judicio, et καταχειροτονία τοῦ δήμου nonnisi eo valebat, ut actor, quamvis inops et humilis, populi praejudicio munitus cum certiore vincendi spe in judicio ageret. Accurate de hac re exposuit Schoemannus de Com. L. II. c. 5.

53. τὸν ἀγῶνα καταχαριζόμενος] Καταχαρίζεσθαι est prodere aliquid contra jus fasque in gratiam alicujus.

λίαν ὁμολογούμενα] Praesens indicat ea, quanquam antiqua, tamen etiamnum ut praesentia in memoria esse et ab omnibus concedi. Bene scholiastes: οὕτω μεγάλα ἐστὶν, ὥςτε οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι.

ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν — πιστὰ] Πιστός de hominibus et de rebus, quae fidem merentur, dicitur. Sed pro dativo ὅτῳ exspectaveris περὶ οὗ. Adjectivo tamen explicativo καὶ γνώριμα τοῖς ἀκούουσιν res mitigatur: de quo turpissima fidem merentur et inveniunt.

www.libtool.com.cn

www.libtool.com.cn

τῶν πειράσομαι σαφέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς, ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται καιροί, ἐν οἷς αὐτὸς πεπολίτευται. ὧν ἕνα μὲν καὶ πάντων πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται τὸν χρόνον τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε καὶ αὐτὸς οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω.
55 δεύτερον δὲ καιρόν φησι γενέσθαι ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ ἔγραψε τὸν πόλεμον· τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ, τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρακαλεῖν καὶ ἐπερωτᾶν, ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι, ἀλλ' ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθὼν καὶ ἄξειν ἐπὶ τὸ βῆμα καὶ ἀναγκάσειν

54. *πάντων πρῶτον*] Genitivus *πάντων* suspectus esse potest. Deest enim in sex codd. Duo autem habent *πρῶτον ἁπάντων*: quae diversitas suspicionem auget.

55. *παρακαλεῖν*] Hoc novem codices praebuerunt pro vulgato *καλεῖν*. Alterum commendat praeter codd. sequens *ἐπερωτᾶν*.

54. *ἐν οἷς αὐτὸς πεπολίτευται*] *Αὐτός* ludibrii caussa additum: ipse, homo scilicet unicus.

*ὑπὲρ Ἀμφιπόλεως*] Ol. CV. 3.: quo anno Philippus Amphipolin vi expugnavit. Diodorus Sic. XVI. 8.

*τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ*] Ol. CVIII. 2.

55. *ὃν ἤγομεν χρόνον τὴν εἰρήνην*] Per sex fere annos. Nam Ol. CX. 1. instabat bellum Philippi contra Athenienses.

*τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ*] Ol. CX. 3.

*ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω*] Ἐγκαλύπτεσθαι, faciem obtegere: quod variis de caussis fiebat. Hinc variae tropicae significationes. Qui v. c. in moerore et luctu erant, obtegebant faciem. Hinc tropica significatio moerore affici, dolere. Idem faciebant, quos alicujus facti pudebat. Hinc tropica significatio pudore affici, quae h. l. obtinet. Utrumque autem verbum *ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω* conjunctum per *ἓν διὰ δυοῖν* intelligendum est:

www.libtool.com.cn

ἀποκρίνασθαι, ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται, ὑμεῖς τε 56
προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι· ἐναντίον σοι τῶν δικα-
στῶν, Δημόσθενες, καὶ τῶν ἄλλων πολιτῶν, ὅσοι δὴ ἔξω-
θεν περιεστᾶσι, καὶ τῶν Ἑλλήνων, ὅσοις ἐπιμελὲς γέγονεν
ὑπακούειν τῆσδε τῆς κρίσεως· ὁρῶ δὲ οὐκ ὀλίγους πα-
ρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα
δημόσιον παραγενομένους· ἀποκρίνομαι, ὅτι ἁπάντων
τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρῇ,
κἂν οἵ τε θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν 57
ἀκούσωσι κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι ἃ σοι σύνοιδα,

56. ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται, ὑμεῖς τε προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι, ἐναντίον σοι τῶν δικαστῶν — — — ἀποκρίνομαι, ὅτι — — κατηγορῶ σου] Quum pro ἀποκρίνωμαι Mead., quocum consentit unus Bekkeri, habeat ἀποκρίνομαι, Taylor pro ἐγώ τε ἀποκρίνωμαι scribendum censet ἐγὼ δὴ ἀποκρίνομαι, quo omnis periodi vis et subtilitas enervatur. Mirum quidem videatur, quod in apodosi idem verbum recurrat ἀποκρίνεσθαι, quod est in protasi. Sed in eo ipso vis inest. Protasis constat ex tribus partibus bene institutis, quae consilium indicant Aeschinis. Prima pars adversarium spectat, secunda auditores, tertia ipsum loquentem. De prima aliquid negatur, de reliquis affirmatur, et apodosis affirmat de eo, cujus partes sunt primariae, de ipso loquente, et ita affirmat, ut affirmatio in admirationem rapiat omnes. Quibus superbit adversarius, et quae omnia in laudem suam esse cessura opinatur, haec omnia ejus malitiam et improbitatem demonstratura esse affirmat.

si pudore affectus aufugiam. Ad verbi ἐγκαλύπτεσθαι vim respiciens in sequentibus opposuit ἐκκαλύψειν.

56. ἰσχυρίζηται] Ἰσχυρίζεσθαι de pertinace dicitur, qui superbe et importune, non argumentorum pondere, sed sua unius auctoritate nixus, aliquid ita esse asseverat, ut ipse pronuntiet, et mendacia dicere eos, qui aliud quid affirment. Sic interpretanda sunt ea, quae habet Dukerus ad Thucyd. VII. 49.

ἔξωθεν] H. l. idem, quod Demosthenes ἔξωθεν κύκλῳ dicit, idque exprimit praepositio in verbo περιεστᾶσι. Duo codices habent ἔξω, ex correctione, opinor.

ὑπακούειν] Marklandus conjecit ἐπακούειν, quod, si varietas esset in manuscriptis, equidem praeferrem. Nam ex usu linguae ἐπακούειν est audire, audire diligenter et cum attentione, ὑπακούειν auscultare, de eo imprimis, qui clam et furtim aliquid comperire cupit, aut dicto audientem esse.

ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας] Dicit hoc in ludibrium Demosthenis, qui, ut non coram civibus solum, sed etiam coram peregrinis coronam suam promulgari cupiat, sic jam frui possit voluptate, ut non solum cives, sed etiam exteri turpitudinem ejus cognoscant.

57. κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι] Emphatice dictum tum δύνασθαι, tum ἀπομνημονεύειν:

www.libtool.com.cn

πάνυ προσδοκῶ ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον. καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ, ἣν τοῦτον πυνθάνομαι μέλλειν ποιεῖσθαι, λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἐφεξῆς καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων. καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

58 Ὑμῖν γὰρ ἐξεγένετ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν

si mihi contigerit, si vires meae suffecerint, accurate commemorare.

*μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους*] Intelligit sobriam et humanam rerum civilium rationem, alienam a superbia et arrogantia. *Τὰ τῆς πόλεως πράγματα* et *χρῆσθαι* de omni rerum gerendarum ratione; qualis intelligenda sit, vel contextus docet, vel, ut hic, adjectum epitheton *φιλανθρώπως καὶ μετρίως*.

*αἴτιον γεγενημένον*] Taylor nihil auribus ingratius accidere ait, quam ejusmodi *ὁμοιοτέλευτα*. Ergo haec verba rescindenda concedit: quod nolim. Nam repetitur in oppositione vel idem vocabulum vel synonyma locutio, ut vim habeat oratio. §. 168. *ἐὰν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε —, ἐὰν δ' εἰς τὴν φύσιν καὶ ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε.* Item non probo Reiskium, quod *κατὰ Τιμ.* §. 51. p. 46. meae edit. in verbis *ὁ γὰρ πρὸς ἕνα τοῦτο πράσσων ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος* vocabula *τὴν πρᾶξιν ποιούμενος* delenda censet. Hujus generis locos in Cicerone multos temere tentavit Ernestius.

58. *μετὰ κοινοῦ συνεδρίου*] Intelligit conventum legatorum sociarum Graeciae civitatum, qui, si tempus suffecisset, Athenis congregati, communi omnium civitatum nomine pacem fecissent. §. 64. *ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην.* Demosthenes ipse, hunc locum respiciens, dicit *μετὰ κοινοῦ συνεδρίου Ἑλλήνων.* p. 232.

*περιμεῖναι τὰς*] Reiskius ex conjectura dedit *περιμείναντας*: quo non opus. Nam *μετασχεῖν Ἑλληνικοῦ συνεδρίου* appositio est ad *παρακαλοῦντες ἐπὶ Φίλιππον* sc. *ὥστε μετασχ. Ἑ. σ.* Aeschines dicit Athenienses per legatos Graecas civitates contra Philippum sollicitasse, ut scilicet singulae participes essent consilii socialis, quod Athenis congregatum res Philippum spectantes

καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον
μετασχεῖν Ἑλληνικοῦ συνεδρίου, καὶ προϊόντος τοῦ χρό-
νου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμο-
νίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην καὶ
Φιλοκράτην καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδό-
κησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. εἰ δέ τι- 59
σιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προςπέπτω-
κεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσα-
σθε ἀκρόασιν, ὥςπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων
διὰ πολλοῦ χρόνου καθεζώμεθα ἐπὶ τοὺς λογισμούς.
ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες
κατὰ τῶν λογισμῶν· ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγ-
κεφαλαιωθῇ, οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύςκολος τὴν

www.libtool.com.cn

59. *οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύςκολος*] Revocavi lectionem omnium codicum *ὑμῶν*. Inde ab H. Stephano editur *ἡμῶν*: quae persona quidem in hac enuntiatione dominatur. Sed frequentes sunt apud oratores subitae personarum mutationes. Wolfius in Leptin. p. 365., »in antiqua oratione, inquit, oculus, manus, digitus vice interpretis funguntur, qui, quae dura legentibus videri possunt, ea auditoribus facillima praestat ac plena nativae elegantiae.« Hic autem Aeschines aliquid affert, quod ipsum facturum esse sponte patet. Hinc fortis est inexspectata orationis ad auditores conversio.

communi omnium nomine administraret. *Καὶ – ἀπολαβεῖν* jungendum cum *ποιήσασθαι*, ut pendeat ex *ἐξεγένετο ἄν*. Similiter Demosthen. *περὶ στεφ.* p. 265. *δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι τὸν Ναυσικλέα* – – – – multis enuntiationibus interjectis, *καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ.*

59. *εἰ δέ τισιν*] Victorius margini Ven. adscripsit *προδιόρθωσις σχῆμα*. Aquila Romanus §. 1. prodiorthosis, inquit, praecedens correctio. Haec figura, ubi aliquid necessarium dictu et insuave audientibus aut odiosum nobis dicturi sumus, praemunit. Alii technici hanc figuram *προθεραπείαν* nominarunt, praeviam expositionem, qua iis, quae sequuntur, fidem aut veniam conciliamus: alii etiam *προμάλαξιν*, quemadmodum Quintilianus L. IV. 3, 10. de fomentis, quibus aspera praemolliamus, locutus est. Ad sequens *ὥςπερ* adscribit *παραβολή*, quae dicitur collatio, *διότι τοῖς λεγομένοις παραβάλλει, τουτέστι, συγκρίνει καὶ παρατίθησι πρᾶγμά τι γνώριμον εἰωθὸς ἀεὶ γίνεσθαι.*

*ἐπὶ τοὺς λογισμούς*] Victorius: *ἐπὶ τὸ ἀπαιτῆσαι λόγους τῶν ἀναλωθέντων χρημάτων.*

*ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ*] *συγκεφαλαιοῦν* rem summatim et capitulatim complecti, ut in reddenda ratione nonnisi capita recenseri solent. Victorius adscripsit *ἀντὶ πλήρης ἀποδειχθῇ*. – Ceterum callide homines, qui melius de Demosthene existimabant, a benigno favore sub specie aequitatis abducit, pietatemque demi-

www.libtool.com.cn

φύσιν, ὅστις οὐκ ἀπέχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ.
60 οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, — ὅστις οὕτω διάκειται, μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἀκούσῃ· οὐ γὰρ δίκαιον. ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς καὶ τὸ ψήφισμα παρεχομένου, ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ
61 συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ

---

nuit, quam isti Demostheni deberi fortasse arbitrabantur.

*ὅτι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ*] *Αἱρεῖν* ostendere verum esse, quod Latini dicunt evincere. Horatius Serm. II. 3, 250.

puerilius his ratio
esse evincet amare.

60. *μήτ' ἀπογνώτω μηδὲν*] *Μηδὲν* adverbialiter positum est, nonnisi ad augendam vim negativam enuntiationis. Hinc non est cur Reiskium sequaris, suadentem *μηδενός*. Judicandi verba, quae cum *ἀπό* composita sunt, significationem habent absolvendi, quae cum *κατά*, condemnandi. Cf. Pollux VIII. 9.

*πρὶν ἀκούσῃ*] Porsonus ad Med. v. 222. monet saepe *πρίν* jungere tragicos cum subjunctivo sine *ἄν*, quod in sermone familiari semper requiratur. Elmslejus et Hermannus ad eundem locum rem subtilius tractantes, non tetigerunt tamen eam quaestionem, num apud prosae scriptores *ἄν* omitti possit. Si usum spectaveris, vix certos locos inveneris, in quibus aut *ἄν* ab omnibus codd. absit, aut subjunctivus ab omnibus libris teneatur. Nonnulli tamen sunt certi. Reisigius Conj. in Aristophanem L. I. p. 66. monet hanc locutionem *μὴ δικάσῃς πρὶν ἂν ἀκούσῃς* quasi in proverbium abiisse, nec usquam ad *πρίν* deesse *ἄν*; id ergo etiam hic addendum: cui equidem assentior.

61. *καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα*] si lectio sana est, respicit Aeschines ad id, quod §. 62. ss. uberius exponitur, Demosthenem non exspectasse, quoad venerint legati a Philippo ultro missi, sed curasse, qui invitarent, ut mitteret. Suspicionem tamen movere potest varietas lectionis. *Παρ' ἐκείνου* deest in tribus codd., et vocabula *οὐκ ἀναμείναντα*, quae Wolfius omittebat, iidem codd. post *καί* ponunt, Bekkerus uncis inclusit.

www.libtool.com.cn

συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει, ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε.

Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κή- 62
ρυκα καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης καὶ συμμαχίας· τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἧκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Λυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο δὲ Φιλοκράτης, συναπελογεῖτο δὲ καὶ Δημοσθένης· ἀπέφυγε Φιλοκράτης. μετὰ ταῦτα ἐπῄει ὁ χρόνος, Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει, ὡς
αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλο- 63
κράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης

62. *Θεμιστοκλῆς ἄρχων*] Ol. CVIII. 2.

*οὔτε λαχὼν οὔτ' ἐπιλαχών*] Harpocration s. v. *ἐπιλαχών*: — — *ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι· ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι· ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν', ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ, ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχὼν αὐτῷ.* Quod sequitur, *ἐκ παρασκευῆς πριάμενος*, videtur id spectare, quod fraude et pecunia sibi *πινάκιον*, tabellam, comparaverit, quae dabatur ei, cui sors senatoria ceciderat.

*ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει*] *Ὑποδέχεσθαι* et inde derivata significationem tropicam opitulandi habent, quum saepe de hospitio et receptione dicantur eorum, quibus opus sit auxilio. Apud recentiores hic usus imprimis frequens est.

63. *νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης*] *Νικᾶν*, ut vincere apud Latinos, proprium est de eo, qui pertulit rogationem. Cf. Schoem. de Comitt. p. 129. Ernesti Cl. Cic. s. v. vincere. Ut autem is, qui rogationem perfert, dicitur *νικᾶν*, sic etiam *γνώμη*. §. 72. *καὶ τέλος ταῦτ' ἐνίκα*, ubi *ταῦτα* est nominativus. Demosthenes Phil. I. fin. *νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.*

www.libtool.com.cn

ἣν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγειλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ ἀπὸ τοῦ Φιλίππου καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων Φιλοκράτει· ὁ μέν γε τὴν ἐξουσίαν ἔδωκε τοῦ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπεσθαι, ὁ δὲ τῇ
64 πρεσβείᾳ σπένδεται. τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα μοι τὸν νοῦν προσέχετε. ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην, εἰκότως, τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας, πρῶτον μὲν ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις, οὓς ἦτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλ-
65 λήνων, ἀλλ᾽ ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην· δεύτερον δ᾽ ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν᾽, εἴ τινες προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι· τρίτον δὲ ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μηδὲ μετέσται τῆς συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ. παραγ-

*τῷ ἀπὸ τοῦ Φιλίππου*] Quum Ald. haberet *ὑπό*, Wolfius scripsit *παρά*, idemque restituit Valckenaer Annott. Critt. in LL. N. T. p. 352., locutionis plura exempla afferens. Sed propior codicum scripturae est lectio Bekkeri *ἀπό*. Cf. Bast ad Gregor. Cor. p. 794. Et *ἀπό*, ut *παρά*, elliptice usurpatur, originem denotans, unde quid proficiscatur. Cf. Matthiae Gr. Gr. p. 837.

64. *τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα μοι τὸν νοῦν προσέχετε*] Lenis est anacoluthia. Aeschines enuntiationem inchoans videtur verbum ponere voluisse, quod accusativum regit; tum vero synonymum posuit *προσέχετε τὸν νοῦν*, cujus constructio dativum flagitaret. Vulgo ejusmodi accusativos vocant absolutos et interpretantur quod attinet ad.

*ὅπως μὴ περιμείνητε*] Opinor hic aoristum conjunctivi positum esse, non futurum indicativi, quod adversarii maxime metuebant, ne Athenienses legatorum reditum exspectarent.

*παρακαλοῦντες*] Participium refertur ad subjectum, ad Athenienses, non ad objectum, ad *πρέσβεις*, ut §. 58. et paulo post *ὁρῶντες ὑμᾶς αὐτοὺς παρακαλοῦντας ἐπὶ τὸν πόλεμον*.

*ποιήσησθε*] Conjunctivo significatur rem fieri conditione aliqua interposita.

γέλλετο δ' ἤδη ἐπ' αὐτὸν στρατεία. καὶ ταῦθ' ὁ μὲν ἐξω- 66
νούμενος οὐκ ἠδίκει, πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συν-
θηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα, οἱ
δ' ἀποδόμενοι καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως
ἰσχυρὰ μεγάλης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος
νυνὶ φάσκων εἶναι καὶ τότε μισοφίλιππος Δημοσθένης,
ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου, γράφει
ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, ἐκ- 67
κλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ
Ἐλαφηβολιῶνος μηνός, ὅτ' ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία
καὶ ὁ προαγών, ἐν τῇ ἱερᾷ ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς
μέμνηται γενόμενον, τίνα πρόφασιν ποιησάμενος; ἵνα,
φησίν, ἐὰν ἤδη παρῶσιν οἱ Φιλίππου πρέσβεις, βου-
λεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς Φίλιππον,
τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκ-
κλησίαν καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος καὶ τὸ
πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλή-
νων, ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων, ἀλλὰ μό-

www.libtool.com.cn

66. ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει] His ostendit cautum saltem fuisse Philippum, qui prae se ferre possit, rebus adhuc integris se consuluisse Demosthenem et Philocratem; quum vero hos rerum suarum studiosissimos esse perspexerit, suis ipsum commodis non adversatum esse eorumque studia ut par erat honorasse. Sic unam eamque infamem culpam haerere in Demosthene et Philippo.

κατακοινωνήσαντες]. Thomas M. οὐ μόνον κοινωνῶ σοι τοῦ δεῖνος ἀντὶ τοῦ συμμετέχω σοι, ἀλλὰ καὶ κοινωνῶ σοι ὧν ἔχω ἀντὶ τοῦ μεταδίδωμι. Πλάτων ἐν δευτέρῳ τῶν πολιτειῶν τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ καὶ ἄλλοις κοινωνεῖν. καὶ πάλιν ἐν τῷ αὐτῷ καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν. Locus est L. II. p. 369. e. 370. a. Hinc patet contra codices nihil mutandum esse, quum praesertim etiam in oratoribus activa significatio interdum locum habeat. Demosth. κατὰ Ἀριστογ. p. 789. μετὰ ταῦτα ψηφίζονται ταντὶ οἱ ἐν τῷ οἰκήματι, μηδένα μηδενὸς τούτῳ κοινωνεῖν μηδὲ λαμβάνειν.

67. ὅτ' ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία] Nempe diebus festis patriae leges morèsque majorum non concedebant populum in concionem vocari. Ex hoc autem uno loco novimus festum in honorem Aesculapii octavo Elaphebolionis die actum esse idque primus inter Atheniensium festa retulit Corsini Fast. Att. Dissert. XIII. 19. Si ex Asclepiaeis celebratissimis, quae Epidauri agebantur, conjicere licet, res primaria erant ἀγῶνες μουσικῆς, et ad hos referendus qui hic memoratur προαγών.

ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων] Abfuisse legati ad

www.libtool.com.cn

68 νοι ποιήσησθε τὴν εἰρήνην. μετὰ δὲ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, ἧκον οἱ Φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. ἐνταῦθ' ἕτερον ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ τῆς εἰρήνης, ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ' εὐθὺς μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα. ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων.

## ΨΗΦΙΣΜΑΤΑ.

69 Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, παρεληλύθει τὰ Διονύσια, ἐγίγνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα κοινὸν τῶν συμμάχων, οὗ

69. *δόγμα κοινὸν τῶν συμμάχων*] Post *δόγμα* vulgo adduntur *τῇ ὀγδόῃ ἐπὶ δέκα*: quae jam Taylor in margine ad explicationem *τῇ*

Graecos contra Philippum invitandos missi dicuntur, et ita quidem, quasi etiam tum omnes abfuerint. Demosthen. autem de Coron. p. 233. *οὔτε γάρ*, inquit, *ἦν πρεσβεία πρὸς οὐδένας απεσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὐδ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν* – quae utraque gravius quam verius dicta esse arguit repugnantia, facile concilianda, si memineris paulo ante (Ol. CVIII. 1.) invitatos ab Atheniensibus esse Arcades aliosque Graecos Olynthi excidio exacerbatos (Diod. Sic. XVI. 54. Demosth. p. 438. 19. cf. 439. 4.), quorum alii jam accesserant ad illud sociorum Atheniensium collegium (cf. supra §. 58.), alii autem, quorum vel refrixerant studia, vel nunquam illis faverant, etiam tunc ab eorum legatis adibantur. Cf. Weiske de hyperb. II. p. 40 et 49.

*μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει*] Ex hoc loco patet haec magna Dionysia mensis Elaphebolionis post diem octavum et ante decimum octavum celebrata esse; quo die et quamdiu, incertum. Dodwellus Diss. VI. 18. ad duodecimum hujus mensis diem ea revocanda esse judicat. Egit de hoc festo Corsini Fast. Att. Diss. XIII. 37. P. I. p. 325 sqq., nuper Boeckh. in commentatione de Lenaeis (Abhandl. der Acad. der Wissensch. in Berlin. J. 1817.), et Buttmannus in Exc. I. ad Demosth. Mid.

§. 69. *ἐπειδὴ τοίνυν – παρεληλύθει – ἐγίνοντο δὲ – ἐν δὲ* cet.] Oratio est *ἀναπόδοτος*. Protasis incipit ab *ἐπειδή*, tum sequuntur alia membra adjecta protasi et tandem orator constructionem deserit, et sententia, quae apodoseos forma addenda erat, enuntiatione exprimitur recta et suae potestatis. §. 71. Hujusmodi anapodota, praesertim in periodis, quae ab *ἐπειδή* incipiunt, apud Graecos scriptores frequentia sunt. Aeschines *περὶ παραπρ.* §. 22. p. 149. meae ed. *ἐπειδὴ δὲ εἰσεκλήθημεν* –, ubi vide notas. Demosthenes *περὶ στεφ.* p. 269.

www.libtool.com.cn

τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα, καὶ προσέγραψαν ἐν τῷ δό- 70
γματι ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο μέγιστα προκαταλαμβάνοντες, πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευάζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι, ἵν', εἰ παραβαί-

προτέρᾳ adscripta fuisse recte judicavit. Hoc etiam inde fit probabile, quod in tribus codd. eadem vocabula addita sunt ante δόγμα. Hinc Bekkerum secutus sum, qui in editione Halensi haec vocabula ejecit, quanquam in altera uncis tantum ea incluserit. – Quod autem Taylor etiam τῶν ἐκκλησιῶν ejiciendum censet, id quidem non probo, quum nec in verbis sit quod damnetur, nec manuscripti quicquam varient.

70. *δύο μέγιστα*] Quod habent quattuor codices *δύο τὰ μέγιστα*, et numerosius est et significantius: d u o  i l l a  g r a v i s s i m a.

§. 126. *ἐπειδὴ τοίνυν — — δέδεικται.* p. 289. §. 181. *ἐπειδὴ Φίλιππος – παραβαίνων φαίνεται.*

*ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι*] Vocabulum *μόνον* non erat in sociorum psephismate, sed scribebant *εἰρήνην* simpliciter. Hoc jam ita interpretatur Aeschines, intelligendum fuisse addita particula *μόνον*, eamque particulam explicat dein tota enuntiatione *τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν.* Videtur autem sociorum psephisma ejusmodi verbis conceptum fuisse, quae variam admittebant interpretationem; quemadmodum facere solent homines, qui angustiis pressi quid faciant nesciunt et tamen videri volunt se aliquid fecisse.

*ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι*] Sensus est: i p s a m  e t i a m  p a c e m, nedum *συμμαχίαν*, necessariam magis quam pulcram esse opinantes, unde patet *καί* minime otiosum esse. De duplice comparativo vide M a t t h i a e Gr. Gr. §. 456.

70. *στήλην*] S u i d a s: *στήλη ἢ λίθος ἢ χαλκὸς ἐπιμήκης, τετραγώνῳ σχήματι ἱδρυμένος.* Quicquid publicae memoriae mandari volebant, ejusmodi columnis inscribebatur. Cujus rei varia exempla habet Suidas.

*τῆς τριμήνου*] Graeci adjectiva composita ex vocabulo numerali et *μήν* absolute ponunt et quidem addito articulo modo feminini generis modo masculini. Temporis notionem suppressam esse non dubium. Ad articulum femininum supplere solent *περίοδος*, ad masculinum *χρόνος*.

*μετὰ κοινοῦ συνεδρίου*] Per communem sociorum senatum,

νοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν, ἃ νῦν ἡμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

## ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.

71 Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς, ὡς ἔσται μὲν ἡ εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν βουλεύσασθαι, ἔσται δὲ κοινῇ μετὰ τῶν Ἑλλήνων ἁπάντων. νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. ἐνταῦθα δὴ προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, εἰ ταῦθ' οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γιγνώσκειν ἔφη τὴν εἰρή-
72 νην, ἀπούσης συμμαχίας. οὐ γὰρ ἔφη δεῖν, καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε, διὰ τὴν ἀηδίαν τοῦ λέγοντος

71. εἰ ταῦθ'] Quum editio Ald. haberet ἐνταῦθ', quod est in duobus Bekkeri codicibus, Wolfius inde fecit ἐὰν ταῦθ', quod a nullo libro oblatum probari vix potest (vide tamen Rostium ad Lysiae orationem δήμ. καταλ. ἀπολ. §. 4. supra p. 172.). Quod autem H. Stephanus dederat εἰ ταῦθ', id est in omnibus Bekkeri praeter duos.

qui ex legatis, quos denuo novis mandatis instructos convenire oportebat, constaret.

71. καὶ πάντες οἱ cet.] Notanda constructio, quae talis est, ut ex antecedente infinitivo συνειπεῖν assumendus sit indicativus συνεῖπον.

οὐκ ἄμεινον εἴη – βουλεύσασθαι] Negatio, quae infinitivi notionem spectat, addita est enuntiationi, unde infinitivus pendet. Alii fortasse dicent comparativum positum esse pro positivo. Cf. Hermann. ad Viger. p. 719., ubi tamen imprimis Reizii verba attendenda sunt.

καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν] Miror hic interpretum neminem haesisse in constructione saepe a viris doctis tentata. κατὰ Τιμ. §. 64, p. 54. meae ed. quum legatur ὡς δὲ παρῆν ἐπὶ τὸ βῆμα ὁ Ἡγήσανδρος, Reiskius primus de suo παρῄει dedit pro παρῆν, quumque id tres codices offerrent, eum Bekkerus secutus est. Sed recte constructionem defendit Fr. Jacobsius ad Achillem Tatium p. 580. In constructione παρεῖναι εἰς vel ἐπὶ c. acc. inest conjunctio duarum notionum. In praepositione inest motus ipse ad locum, in verbo id, ut sis in loco, ut eo perveneris. cf. etiam Seidler ad Eurip. El. v. 1275.

72. διὰ τὴν ἀηδίαν τοῦ λέγοντος] Plutarchus Demosth. p. 847. E. c. 4. fin. ὁ δ' Ἀργὰς (καὶ

ἅμα καὶ τοῦ ὀνόματος, ἀποῤῥῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτούς, ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον ἐρώτημά τι ἠρώτα, προειπὼν μὲν ἃ ἐρήσεται, προδιδάξας δὲ ἃ χρὴ κατὰ τῆς πόλεως ἀποκρίνασθαι. καὶ τέλος ταῦτ' ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. ὃ δὲ ἦν ὑπό- 73
λοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ' ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ Ἐλαφηβολιῶνος μηνός, πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν οὑτοσὶ ῥήτωρ δὶς ἐπρέσβευσεν εἰς Μακεδονίαν, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω, καθεζόμενος βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι 74

72. παρακαλέσας] Ita habent plurimi et optimi codd., quod mutaverat Reiskius ex Mead., quocum faciunt quattuor Bekkeri codices unius familiae, in καλέσας simplex. §. 82. ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα. περὶ παραπρ. fin. παρακαλῶ δὲ Εὔβουλον – συνήγορον. Παρακαλεῖν in genere saepe ponitur cum accusativo ejus, quem advocamus, ut defensor et patronus sit nostrae caussae.

τοῦτο γάρ φασι Δημοσθένει γενέσθαι παρώνυμον) [vide Aeschinem περὶ παραπρ. §. 99.] ἢ πρὸς τὸν τρόπον ὡς θηριώδη καὶ πικρὸν ἐτέθη (τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἄργαν καλοῦσιν), ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους. Tropus quidem in ἀποῤῥῆξαι non est lenissimus, nec tamen, mea sententia, tam durus, quam vituperat eum Aeschines. Vario modo hoc verbum tropice Graeci usurparunt. Euripid. Orest. 862. dixit πνεῦμ' ἀποῤῥῆξαι. Iphig. T. 974. βίον ἀποῤῥήξειν. Constructio quidem rara est, ut duo casus jungantur, accusativus et genitivus, ea tamen minime vituperanda.

προβιασαμένου] Etsi nusquam me memini legere προβιάζεσθαι, tamen in se non damnandum hic significat, antequam Philocratis psephisma scribebatur, rem ita instruere et ornare, ut populus ad id accipiendum quasi cogeretur. Patet Reiskii correctione προςβιασαμένου non opus esse, qua temporis momentum praetermittitur.

73. ἕκτῃ φθίνοντος] Non est sextus et vicesimus, ut Wolfius vertit, sed quartus et vicesimus, ut patet ex iis, quae dixi supra ad §. 27.

www.libtool.com.cn

μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας, ὁ δ' ἐπιψηφίσας, Δημοσθένης, ἐν ᾧ γέγραπται » ἀποδοῦναι δὲ τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων. « παρὰ δὲ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνε-
75 δρεύοντα ἐξέκλεισε τῶν ὅρκων. ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράψας καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος.

ΨΗΦΙΣΜΑ. ΠΡΟΕΔΡΟΣ.

Καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι καὶ οὐ συμμεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ' ἐπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηρούς, ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς.

76 Ὑπόλοιπον δ' ἐστί μοι τὴν κολακείαν αὐτοῦ διεξελθεῖν. Δημοσθένης γάρ, ὦ ἄνδρες Ἀθηναῖοι,

75. *τῶν δημοσίων γραμμάτων*] Sic quattuor Bekkeri codices et jam Reiskius. Vulgo *πραγμάτων*: quod legitur etiam in editione Aristidis, qui hunc locum laudat T. II. p. 442. Jebb. Bastius tamen ad Gregor. Cor. p. 185. laudat cod. Paris., qui habet *γραμμάτων* ostenditque haec vocabula, *πράγματα* et *γράμματα*, saepissime confusa esse.

74. *μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας*] *Γράμματα* erunt ipsius psephismatis momenta. *Παρεγγράφειν* autem est verbum proprium de eo, qui contra jus fasque aliquid documentis publicis inserit. Facile ex verbis *μετὰ τῶν ἄλλων γραμμάτων* suppletur *γράμματι*, ad quod refertur *ἐν ᾧ γέγραπται*. Weiskius de Hyperb. II. p. 23. locum inter eos habet, in quibus *τὸ κατὰ ῥητόν* et *τὸ κατα διάνοιαν* confundantur, et conjicit scriptum fuisse *διὰ δ' ἄλλων ῥημάτων* eodem sensu, quo §. 126. legitur *εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς*. et §. 142. *τοῖς ὀνόμασι κλέπτων τὰ πράγματα*.

75. *Πρόεδρος*] H. l. i. q. *ἐπιστάτης*. Hujus enim erat *ἐπιψηφίζειν*. cf. notam meam *περὶ παραπρ*. p. 171.

*αὐτομολοῦσιν*] *Αὐτομολεῖν* proprie dicuntur milites, qui ad hostes transfugiunt. In re civili facile transfertur ad eos, qui alio tempore alias partes secuti, modo in perniciem patriae aperte agunt, modo in ejus salutem agere se simulant. Ne de tropo quis dubitare possit, addit Aeschines *ἐν τῇ πολιτείᾳ*, et in sequentibus ejus vim propriis verbis explicat. Tres codices addunt glossam *ἀντιμεταβαλλομένοις*.

www.libtool.com.cn

ἐμαυτὸν βουλεύσας οὐδεμίαν πώποτε φανήσεται πρεσβείαν εἰς προεδρίαν καλέσας, ἀλλὰ τότε πρῶτον καὶ μόνον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε, καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν· καὶ ὅτ' ἀπῄεσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικά, καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θή-

76. φανήσεται] Sic scripsi ex Lock. et tribus Bekkeri ejusdem quidem familiae codd. Vulgo φανεῖται. Sed Aeschines ubique formam futuri habet φανήσομαι. In uno tantum loco sine varietate legitur φανεῖσθε. κατὰ Τιμ. §. 4. p. 18: meae ed.

ἀλλὰ τότε πρῶτον καὶ μόνον] Sic tres Bekkeri codices ejusdem quidem familiae. Vulgo ἀλλὰ τότε μόνον καὶ πρῶτον: quae verba Taylor delenda censebat ut supposita. Et sane, si quid est solum, quid valet additamentum πρῶτον? Id secus est in nostra verborum collocatione. Ex eo, quod quis primum aliquid fecit, minime sequitur eum non plus semel hoc fecisse. Sed in eo ipso major inest mirandi caussa, si quis rem, quam si facere voluerit, citius eum opineris facturum fuisse, non solum diu intermiserit, sed sero et semel fecerit. Aliud est, quum §. 77. legitur de filia Demosthenis μόνην καὶ πρώτην. Ex eo enim, quod eo tempore sola erat, non sequitur eam unicam fuisse. Sed μόνην καὶ πρώτην eam unicam fuisse testatur: quo Aeschines Demosthenis impietatem eo magis detestandam esse ostendit.

76. εἰς προεδρίαν] Προεδρία sedes prima, πρῶτον ξύλον. Qua προεδρίᾳ ut cives bene de republica meriti honorabantur, sic videmus eadem etiam legatos externorum populorum ornatos esse. Vide Hemsterh. ad Polluc. VIII. 133. Casaubon. ad Theophr. Char. V. Sermonem hic esse de προεδρίᾳ in theatro festis Dionysiis patet ex παραπρ. §. 110. De hac προεδρίᾳ erudite nuper egit G. E. Groddeck. in disputatione praelectionibus in Univers. litt. Vilnensi a. 1821. habendis praemissa: quae inserta legitur Misc. Critt. a Friedemanno et Seebodio editis Vol. I. P. II.

φοινικίδας περιεπέτασε] Quemadmodum προσκεφάλαια ad tergorum et capitum mollitiem, sic φοινικίς, stragula purpurea, pedibus substernebatur, ne offenderent.

ἅμα τῇ ἡμέρᾳ] Ut scilicet splendidissimas sedes praeoccuparent.

ζεύγη ὀρικά] Harpocration s. v. ὀρικὰ ζεύγη, τὰ τῶν ὀρέων, inquit, τουτέστι τὰ τῶν ἡμιόνων. — ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους, καὶ Ὅμηρος (Il. Ι. 50. et saepe) καὶ Ἀριστοφάνης ἐν Βατράχοις (v. 292.) δηλοῖ. Audacter Thomas M. s. v. ὀρεικὸν ζεῦγος· οὐχ ἡμιονικόν. Hoc tamen legitur apud Xenoph. Anab. VII. 5, 2. Recentioris quidem aevi scriptoribus frequentius est quam Atticis. Vehiculum est, cui juncti sunt muli: quod erat hominum ditiorum et splendidiorum. Cf. Hemsterh. ad Poll. VII. 183.

79 Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων; οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός, καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἐπ' εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ' ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι.
80 ὡς γὰρ τάχιστα εἴσω Πυλῶν Φίλιππος παρῆλθε καὶ τάς τε ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δέ, ὡς τόθ' ὑμῖν ἐδόκει, περαιτέρω τοῦ καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς τε

79. εἰς τὰς ἀτυχίας] Tres Bekkeri codices ejusdem familiae habent εἰς τὴν ἀτυχίαν. Videntur librarii rariore plurali offensi esse. Sed scriptores hoc numero saepe utuntur ad augendam notionem. κατὰ Τιμ. §. 118. p. 86. meae ed. τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας, ubi nihil mutandum. Pluralis enim ὀνείδη significat quod est magnae infamiae. Atque etiam pluralis nominum concretorum de una re saepe ponitur per rhetoricam hyperbolen. Sic infra §. 109. ex iisdem tribus codicibus recepit Bekkerus τὸν λιμένα ἔχωσαν, ubi ceteri libri omnes habent τοὺς λιμένας, quod retinui.

80. καὶ τάς τε ἐν Φ. πόλεις cet.] Reiskius de suo dedit καὶ τὰς μὲν et in seqq. ὑμεῖς δέ. Quum autem prius τε ab omnibus codd. teneatur, alterum vero a plurimis et optimis (duo nonnisi Bekkeri habent δέ), manuscriptorum auctoritati obtemperavi, praeeunte Wunderlichio. Quae Phocensibus et Thebanis acciderunt, ab altera parte proferuntur, ab altera quae fiebant apud Athenienses.

περαιτέρω τοῦ καιροῦ] Articulum, qui vulgo deest, obtulerunt plurimi et optimi codd., et solet nomen, quod ex πέρα, περαιτέρω pendet, additum habere articulum. περὶ παραπρ. §. 149. τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. Demosth. ὑπὲρ Μεγαλοπ. p. 208. τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν. Imprimis a substantivo καιρός articulus abesse nequit.

lit ea, quam habemus κατὰ Φίλιππ. §. 26. supra p. 167. οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν. Nimius, si vera dicere volumus, in sectanda hac figura est Isocrates.

79. ἀπ' εἰσαγγελίας] Cf. supra §. 52.

ἐπέστη] Hoc verbum significat Demosthenem repente et contra omnium opinionem accusatoris partes suscepisse.

80. τοῦ ὑμετέρου συμφέροντος] Notandum, quod participio aut adjectivo substantive adhibito pronomen possessivum vel genitivus substantivi addatur. Demosth. περὶ στεφ. p. 234. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν. Cf.

ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε, ἐν ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ τὴν εἰρήνην πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν, ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι, συνέβη δ' ἐν 81
τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι Δημοσθένην καὶ Φιλοκράτην σχεδὸν ὑπὲρ τούτων, ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι, τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο, μετὰ δειλίας καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις

ἐσκευαγωγήσατε] Sic Helmst. et quattuor Bekkeri codd. pro vulgato ἐσκευαγωγήκατε. Et quae antecedunt et quae sequuntur, flagitant aoristum, nec aptum praesens actionis perfectae. Schaefer. ad Gregor. Cor. p. 139. s. Rost. gr. Gr. §. 180. not. 6.

ἐσκευαγωγήσατε] Cuncta, quae moveri poterant, in urbem transvexistis: quod est metuentis, ne hosti repente irrumpenti resisti nullo modo possit.

81. τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς] Δέ interdum ponitur in enuntiatione, quae in unum complectitur plura, ut Latinorum autem. Cf. Hermann. ad Viger. p. 847.

μετὰ τῶν συμφύτων νοσημάτων] Ut par erat innatis ei morbis; μετὰ δειλίας cet. est appositio. Fit enim saepe, ut in appositione praepositio repetatur, quae adest nomini, cui additur appositio, ut eam Latine reddere possis et quidem: quo usu interdum perperam offenduntur viri docti.

ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας] Scholiastes: οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτους χρήματα παρὰ Φιλίππου καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πλείονος προς ἀλλήλους.

τῶν συμπρεσβευόντων] Marklandus conjicit vel συμπρεσβευσάντων vel συμπρεσβευτῶν. Posterius Atticis non usitatum. In singulari enim dicunt συμπρεσβευτής, in plurali συμπρέσβεις, non συμπρεσβευταί. Primo non opus. Praesens enim participii saepe ponitur pro substantivo, rem ipsam in genere indicans. Quid? quod de hac re jam ante infinitivus ponebatur διὰ τὸ μὴ μόνον πρεσβεύειν cet. ubi Marklandus conjecit πρεσβεῦσαι, quod recepit Reiskius. Sed praesens tuentur etiam omnes Bekkeri codd. et defenditur loco Demosthen. περὶ παραπρ. p. 400. §. 189. ἐγὼ δ' οὐδὲ συμπεπρεσβευκέναι φημί σοι, συμπρεσβεύειν μέντοι σὲ μὲν πολλὰ καὶ δεινά, ἐμαυτὸν δ' ὑπὲρ τουτωνὶ τὰ βέλτιστα. Res enim spectatur ut durans.

www.libtool.com.cn

κινδυνεύσειν, φύλαξ δ' εὐδοκιμήσειν καὶ προδότης ἀντὶ φίλου καὶ πονηρὸς πιστὸς τῷ δήμῳ φανήσεσθαι.
82 κατιδόντες δ' αὐτὸν οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ παριὼν ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου καὶ ταραχῆς. αὐτός ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέῤῥιον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μουργίσκην καὶ Γάνος καὶ Γανίδα, χωρία, ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον. καὶ ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ', εἰ μὲν μὴ πέμποι Φι-

82. ἄσμενοι παρεκάλουν] Bern. et tres Bekkeri codd. ἀσμένως. Cf. Excurs. XI. ad Lysiam.

καὶ Μουργίσκην] Deest in sex Bekkeri codicibus, nec usquam hunc locum memoratum inveni, et, quod notandum, nulla ejus mentio in Harpocratione, qui cetera loca, quae hic nominantur, omnia memoravit, ut hoc vocabulum in suo Aeschinis exemplo non videatur invenisse. Demosth. περὶ στεφ. p. 234. cum Serrio et Ergisce habet *Μύρτιον*. Harpocration id *Μύρτανον* appellat. Suidas autem *Μυρτώνιον* habet. In *καὶ Γάνος καὶ Γανίδα* Helmst. *Γάνον* habet pro *Γάνος*, quod fortasse verum. Harpocration: *Γάνος θηλικῶς*: addit Suidas, vere, opinor, *τὸ πρὸς τῇ Θρᾴκῃ ὄρος ἡ Γάνος*. Pro *Γανίδα* habet Harpocration et Suidas *Γανιάδα*. Nomen videtur regionis fuisse, quae circumjacebat. Montem Ganum Scylax Periplus p. 28. Hutch. nominat *Γάνος*, *Γανίαι*.

82. ἀδωροδόκητον] Pollux IV. 34. VI. 191. in laudibus oratoris ponit ἄδωρος, ἀδωροδόκητος, utrumque eadem significatione. Sed ἄδωρος duplicem habet significationem, tum ejus, qui ipse nihil populo largitur, tum ejus, qui nullis se donis et muneribus tentari patitur et corrumpi: quae posterior significatio in ἀδωροδόκητος unice locum habet, quod est δῶρα μὴ λαμβάνων a δέχεσθαι. – Ceterum quam hic Demosthenis associae uni Demostheni laudem tribuisse dicuntur, eam referente Diogene Laertio IV. 9. Philippus uni tribuebat Xenocrati, ὡς μόνος εἴη τῶν πρὸς αὐτὸν ἀφιγμένων ἀδωροδόκητος.

Σέῤῥιον τεῖχος cet.] Loca sunt Thraciae non omnia tam ignobilia, quam ea fingit orator ad minuendam rem. Vide Herod. VII. 59.

φέρων περιέστησε τὰ πράγματα] Sunt, qui in tali constructione φέρων abundare dicant. Verius alii monent ubique illud pro rei substratae indole emphasin addere. Omnium accuratissime de eo egit Hemsterhus. ad Lucianum Dialogg. Mortt. VI. 3. T. I. p. 349 s. Plerumque reddi potest dedita opera vel ultro, sponte, cum studio. Infra §. 90. ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις. §. 146. προσέμιξε φέρων ἀναγκασθέντων τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει.

www.libtool.com.cn

λιππος πρέσβεις, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους πέμπειν, ἀλλ' οὐ πρέσβεις, εἰ δὲ ἐπιτρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ 83 τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ. Ἁλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος. καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς τῆς εἰρήνης συνθήκας ἐπιστρατεύσαντας τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον παρεσκεύασεν.

Ναί, ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν, ὥς 84 αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων καὶ Θηβαίων συμμαχίᾳ. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ταῦτα τρία μέγιστα ἠδίκησθε καὶ μάλιστα ἠγνοήκατε. σπεύδων δ' εἰπεῖν περὶ τῆς θαυμαστῆς συμμαχίας τῆς τῶν Θηβαίων, ἵν' ἐφεξῆς εἴπω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθήσομαι.

84. *Εὐβοέων*] Bekkerus in editione Halensi dederat *Εὐβοῶν* ad praeceptum quorundam Grammaticorum, qui ajunt Atticos genitivum nominum in *εύς*, quorum terminationem vocalis praecedat, contraxisse, et ubique etiam contra libros genitivos contraxit. Quod praeceptum si verum est, nonnisi ad eos scriptores pertinet, qui sunt Atticae dialecti antiquae, quae Aeschinem satis longo intervallo antecedit. Hujus enim aetatis scriptores, si fidem non omnem libris scriptis denegamus, hanc contractionem in paucis secuti sunt.

83. *πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ*] Jam hic habemus civitatem neutrarum partium studiosam, sed ex justo et aequo cuncta judicantem. Quod nos neutral dicimus, id Graeci *ἴσον* appellabant.

*Ἁλόννησον ἐδίδου*] Ista res uberius narratur in oratione, quae inter Demosthenis opera legitur T. I. p. 75 – 88. Hoc vocabulorum lusu saepe et multifariam Comici usi sunt.

84. *χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσι*] Cf. Demosth. *περὶ στεφ.* p. 325. – *Ἀδάμας* apud antiquos nomen est poeticum ferri, chalybis, aeris durissimi; apud posteriores nomen *κύριον* adamantis gemmae. Tropice Graecis et Latinis adamantinum dicebatur quicquid durum, firmum et maxime munitum est. Vide Perizonium ad Aelian. Varr. Historr. VI. 12.

*ἵν' ἐφεξῆς εἴπω*] Ut rem ordine ad temporum rationem exponam.

www.libtool.com.cn

85 [illegible] γάρ, ὦ Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλανθανόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ πεζῇ δυνάμει, καὶ πρὶν τριάκονθ' ἡμέρας διελθεῖν ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι, καὶ τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δίκαιον

85. *τοῖς παρακαταθεμένοις*] Sic habent Bern. Steph. codd. et tres Bekkeri. Vulgo *αὐτοῖς παρακαταθέμενοι.* Quam fingit Reiskius formae mediae significationem, *παρακατατίθεσθαι* eum dici, qui pignus servandum et aliquando reddendum accipiat et apud se deponi patiatur, ea nusquam locum habet nec habere potest, sed est rem tanquam depositam tradere, ut fideliter et sancte custodiatur. Sententia igitur est: iis, qui res suas vestrae fidei tradiderunt, eas pie reddidistis, quanquam magnam ab iis injuriam passi eratis. Idem confirmat Demosth. *περὶ στεφ.* p. 259. *καίτοι καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε ἐν οἷς ἐπιστεύθητε ὑπολογισάμενοι.*

85. *ἠδικημένοι ὑπὸ Μνησάρχου*] Quas injurias passi sint Athenienses a Mnesarcho et quo tempore, nusquam potui invenire.

*Ἀθηναίους εἶναι*] Qua de causa Athenienses eos civitate donaverint, ex sequentibus patet.

*ὑπὸ Θεμίσωνος*] Quo modo Demosthenes rem exponat, cognosces ex oratione *περὶ στεφ.* p. 259. ubi Ulpianus sua hausit ex Diodoro Siculo XV. 76. Occupatio Oropi incidebat in Ol. CIII. 3. archonte Cephisodoro. Xenoph. Hellen. VII. 4. urbem tradit ab exsulibus occupatam esse.

*ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς*] Haec expeditio incidit in annum tertium Ol. CV. archonte Cephisodoto. Suscepta ea est auctore Timotheo, cujus adhortationem nobis tradit auctor orationis de rebus Cherson. in Demosthenis operibus T. I. p. 108. Per Dioclem cum Thebanis pactionem factam esse monet Demosthen. *κατὰ Μειδ.* p. 570. Expeditionem hanc prompte et studiose paratam esse, in eo consentiunt oratores. Quid? quod Demosth. in Androt. p. 597. affirmat intra tres dies eam factam esse. Idem addit *Εὐβοεῖς σωθέντες καὶ ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δῆμον.*

εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι· καὶ τηλικαῦθ᾽ ὑφ᾽ ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς οὐ 86 τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας, ἀλλ᾽ ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ᾽ οὖν προσεποιοῦνθ᾽ ὑμῖν εἶναι φίλοι, ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης μισθαρ- 87 νῶν ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως

86. *ὑπερεβάλλομεν*] Stephani editio et tres Bekkeri codices ejusdem familiae habent *ὑπερεβάλομεν* idque praeferendum censet Wunderlichius, quod verisimilius sit montem Cotylaeum, antequam Tamynas descenderent Athenienses, superandum iis fuisse. Sed vel ipse sententiarum ordo indicat primum per Tamynas fuisse transeundum, quae urbs erat sub radicibus montis Cotylaei: quam quum transiissent, ascendere eos oportebat montem: in quo quum essent superando, Callias eos oppressit. Hinc priore loco aoristus, qui rem narrat absolutam, altero imperfectum *ὑπερεβάλλομεν*, quod rem ponit durantem.

*μισθαρνῶν*] Hoc obtulerunt Helmstad. et tres Bekkeri ejusdem familiae. Vulgo *μισθὸν λαβὼν* ex glossa. Glossographi enim saepe compositum explicarunt per periphrasin compositioni synonymam. Caute tamen hac in re agendum. Nam Attica dialectus saepe periphrasin exprimit, quod recentior Graecorum aetas per compositum vocabulum. Sed *μισθαρνεῖν* optimis est usitatum. Bekkeri Anecdd. p. 446. *Ἄρνυσθαι ἀντικαταλλάσσεσθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν τὸ μισθὸν ἀπό τινος λαμβάνειν λέγεται.* Inter alia imprimis de demagogo, qui opificis instar ratione sua et oratione mercedem sectatur. Infra §. 220. *καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος.* Pro *ἐνεκωμίαζεν* habent octo Bekkeri codd. *ἐνεχυρίαζεν*; et Weiskius de Hyperbole P. II. p. 39. scribendum opinatur *ἐνηχυρία-*

86. *Πλουτάρχῳ βοηθήσοντες*] Haec est secunda, quam novimus, expeditio Euboica, qua Athenienses Plutarcho, Eretriae tyranno, suppetias ferebant, qui in discrimen venerat amittendae civitatis, conspirantibus in eum civibus duce Clitarcho. Atheniensium imperator erat Phocion. Expeditio videtur locum habuisse Ol. CVI. 4. Temporum rationes disceptat Boeckh. in chronologia orat. Mid. p. 81 ss.

*εἰς Ταμύνας*] *Ταμύναι πόλις ἐστὶν ἐν Εὐβοίᾳ, ἐν τῇ χώρᾳ τῶν Ἐρετριέων.* De re confer etiam Plutarch. in Phocionis vita p. 746 sq.

*Κοτύλαιον ὄρος*] Harpocration: *ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι. Ἀρχέμαχος γοῦν ἐν τρίτῃ Εὐβοϊκῶν φησι· Κότυλος μὲν οὖν φαίνεται κατασχεῖν τὸ ὄρος τὸ νῦν ἀπ᾽ ἐκείνου καλούμενον Κοτύλαιον.* Steph. Byz. *Κοτύλαιον ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀντίμαχος ἐν Ἀρτέμιδος Β.*

www.libtool.com.cn

εἴς τινας δυσχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι
μάχην οὐκ ἦν ἀναχώρησις οὐδὲ βοηθείας ἐλπὶς οὔτ᾽ ἐκ
γῆς οὔτ᾽ ἐκ θαλάττης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐ-
βοίας στρατόπεδον καὶ παρὰ Φιλίππου δύναμιν προσ-
μεταπεμψάμενος, ὅ τ᾽ ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ
νυνὶ πάντας δεξιούμενος καὶ προσγελῶν, τοὺς Φωκι-
κοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ᾽ ἡμᾶς ὡς ἀναιρήσον-
88 τες. καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπε-
δον, ἔπειθ᾽ οἱ στρατιῶται οἱ ὑμέτεροι καὶ πεζοὶ καὶ ἱπ-
πεῖς ἄνδρες ἀγαθοὶ ἐγένοντο καὶ παρὰ τὸν ἱππόδρομον
τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες ἀφεῖ-
σαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν
ἡμῶν ἡ πόλις αἴσχιστα παθεῖν· οὐ γὰρ τὸ δυστυχῆσαι
κατὰ πόλεμον μέγιστόν ἐστι κακόν, ἀλλ᾽ ὅταν τις πρὸς
ἀνταγωνιστὰς ἀναξίους ἑαυτοῦ διακινδυνεύων ἀποτύχῃ,
διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν. ἀλλ᾽ ὅμως ὑμεῖς
τοιαῦτα πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς.

ζειν: pignoris eum loco esse dixit, praedem fidei Chalcidensium. Dubito vero, num ἐνεχυράζειν sit apud Atticos scriptores pignori dare. Ἐνεκωμίαζε hic celebrandi significatione positum Casp. Orellio nostro merito languet, eique probabile videtur in utroque verbo corrupto latere verbum aliquod minus usitatum, quod significet: subdole civitati donari fecit.

87. εἴς τινας δυσχωρίας] Tres Bekkeri codd. ejusdem familiae habent εἰς δεινὰς δ. quod fortasse glossatoris est. Τίς enim substantivis additum haud raro significat magnum. Sed videtur Aeschines locum describere nolle, nec opus esse existimat praeter illa, quae sequuntur.

κατακεκλεισμένον] Bekkerus ex duobus codicibus κατακεκλειμένον. Utramque formam agnoscunt Attici. Cf. Buttmanni ausführliche griechische Gr. T. II. P. I. p. 169. Plurimis et optimis igitur codd. obsecutus sum.

νικήσασι μάχην] Quattuor Bekkeri codd. ejusdem familiae μάχῃ, quae videtur esse librarii correctio. Νικᾶν μάχην legitimum est. §. 181. Μιλτιάδης ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας. Quanquam ne dativus quidem inusitatus. Xenoph. Anab. II. 6, 5. καὶ μάχῃ τε ἐνίκησε καὶ ἀπὸ τούτου ἔφερε καὶ ἦγεν αὐτούς. *N* et *ι* subscriptum saepe jam vidimus confusa.

88. ἀφεῖσαν ὑποσπόνδους] Sic tres Bekkeri codices ejusdem familiae, post adjectivum quidem verbo posito, pro vulgato ἀφίεσαν. Aoristus praecessit. Ceterum hoc membrum non erat conjunctioni conditionali adjungendum; non enim dimissio hostium erat conditio, quae servaret civitatem; sed est argumentum liberalitatis et benignitatis Atheniensium.

www.libtool.com.cn

τυχὼν δὲ συγγνώμης παρ' ὑμῶν Καλλίας ὁ Χαλκιδεὺς 89 μικρὸν διαλιπὼν χρόνον πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὑτῷ τυραννίδα περιποιούμενος. καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φίλιππον λήψεσθαι ἀπῆλθεν εἰς Μακεδονίαν καὶ περιῄει μετὰ Φιλίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο. ἀδικήσας δὲ 90 Φίλιππον κἀκεῖθεν ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις. ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου, παρ' ὃν ᾤκει, εἰς μέσον πίπτει τῆς τε Θηβαίων ἔχθρας καὶ τῆς Φιλίππου. ἀπορῶν δ' ὅ τι χρήσαιτο αὑτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη στρατείας, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας, ἔνορκον λαβεῖν τὸν δῆμον τῶν Ἀθηναίων, σύμμαχον ὀνομασθέντα, βοηθήσειν, εἴ τις ἐπ' αὐτὸν ἴοι·

90. εἴ τις ἐπ' αὐτὸν ἴοι] Sic omnes Bekkeri codd. Edd. habebant ἴῃ, quod in scriptore prosaico non opinor recte dictum. Stephanus ἐάν τις – ἴῃ. Verum est alterum. Loquitur enim de re futura, quae cogitari possit ut profectura a compluribus, quae notio inest in εἴ τις. Si Mss. offerrent ἐάν τις – ἴῃ, res indicaretur, quam ut inevitabilem Callias futuro tempore cognoscebat.

89. τῷ λόγῳ – ἔργῳ] Saepe fit, ut in horum similiumque vocabulorum oppositione uni articulus addatur, ad alterum omittatur, unum in singulari, in plurali alterum ponatur. Tales, inquit Porson ad Eurip. Phoen. v. 512., minutias non anxie curant antiqui. Infra §. 248. φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες.

Εὐβοϊκὸν – συνέδριον] Senatus Euboicus, ita scilicet compositus, ut singulae urbes Euboeae legatos Chalcida mitterent, qui res omnes moderarentur.

90. πλείους – τροπὰς τοῦ Εὐρίπου] Strabo L. IX. 11, 8. Livius XXVIII. 6. Erasmus Adagg. p. m. 281. laudat proverbium Εὔριπος ἄνθρωπος in inconstantes et varios homines. Septies enim die reciprocabat Euripus. Hesychius εὔριπος ὁ εὐχερῶς μεταβαλλόμενος. [In hac comparatione praeivit Plato in Phaedon. p. 90. C. ubi vid. Wyttenb. p. 240. Sophistae seriores eandem crebro usurpaverunt. F. I.]

παρ' ὃν ᾤκει] Nempe Χαλκὶς erat ad Euripum, qui inde Χαλκιδικὸς appellatur vel ὁ Χαλκίδος. Cf. Strabo L. I. p. 10. Cas. IX. 8.

ἀπορῶν δ' ὅ τι χρήσαιτο αὑτῷ] Formula, qua quis significatur summis premi angustiis, nec ullam salutem undecunque sperare posse.

www.libtool.com.cn

91 ὃ πρόδηλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύσετε. ταῦτα δὲ διανοηθεὶς ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ μὲν δήμῳ ἐλπίδας κενάς, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς περὶ αὐτόν. τρία δ' ἦν ἃ ἅμα ἐξωνεῖτο, πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ Χαλκίδος, ἢ τεθνάναι ἐγκαταληφθέντι· τηλικαῦται δυνάμεις ἐπ' αὐτὸν ἐπεστράτευον, ἥ τε Φιλίππου καὶ Θηβαίων. δεύτερον δ' ἧκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας, τρίτον δὲ ὥστε μὴ
92 τελεῖν συντάξεις. καὶ τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε Καλλίας, ἀλλ' ὁ μισοτύραννος Δημοσθένης, ὡς αὐτὸς προσποιεῖται, ὃν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς

εἰ μὴ ὑμεῖς κωλύσετε] Recentissimi κωλύσαιτε ex conjectura Marklandi. Cf. Excurs. VII. in Lysiam.

91. ἐγκαταληφθέντι] Sic Stephanus et quinque Bekkeri codices. Ceteri ἐγκαταλειφθέντι, quod parum huic loco aptum. Sensus est: sine auxilio Atheniensium captivitatem eum effugere non potuisse, nisi Chalcidem reliquerit.

91. τὸν δολιχοδρομήσαντα] Suidas: δολιχὸς τὸ ἐπίθετον ὁ μακρὸς ὀξυτόνως· δόλιχος δὲ τὸ ὄνομα δρόμου προπαροξυτόνως. Δόλιχος igitur nomen erat longioris vel cursus vel spatii, quod percurrebatur. In mensurae ratione non convenit inter Grammaticos, et pro locorum varietate videtur δολίχου longitudo, quemadmodum ipsius stadii, varia fuisse. Quicquid sit, δολιχοδρομήσας est qui cursu excellebat et fortis erat. Quod autem apud Polluc. L. III. 148. legitur: Αἰσχίνης δὲ ὁ ῥήτωρ εἴρηκε, τὸν δολιχοδρομήσαντα στάδιον, id corruptum videtur.

ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας] Chalcidenses tum temporis erant socii Atheniensium; Callias autem dominationem in Chalcidenses exercebat, quam quo firmiorem haberet, ne quando sui cives contra ipsum ab Atheniensibus aliquid auxilii impetrarent, effecit, ut Chalcidensibus non permitteretur legatos Athenas mittere ad sociorum concilium, ipse vero, ut Chalcidensium tyrannus Atheniensium foedere uteretur. Honestam autem speciem verba prae se ferebant· βοηθεῖν τοὺς Ἀθηναίους Χαλκιδεῦσι, non Καλλίᾳ.

συντάξεις] Harpocration: ἔλεγον δὲ ἑκάστους φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα. Cf. Boeckh. Staatsh. I. p. 430.

www.libtool.com.cn

πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος, ἀντὶ τούτων εὐφημίας ἕνεκα προσγράψας Χαλκιδέας βοηθεῖν, ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους· τὰς δὲ συνεδρίας καὶ τὰς συντάξεις, 93
ἐξ ὧν ἰσχύσειν ὁ πόλεμος ἤμελλεν, ἄρδην ἀπέδοτο, καλλίστοις ὀνόμασι αἰσχίστας πράξεις γράφων καὶ τῷ λόγῳ προςβιβάζων ὑμᾶς, ὡς δεῖ τὴν πόλιν τὰς μὲν βοηθείας πρότερον ποιεῖσθαι ταῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας ὑστέρας μετὰ τὰς εὐεργεσίας. ἵνα δ' εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν Καλλίου γραφὴν καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Οὔπω τοίνυν τοῦτ' ἔστι δεινόν, εἰ καιροὶ πέπρανται τηλικοῦτοι καὶ συνεδρίαι καὶ συντάξεις, ἀλλὰ πολὺ 94
τούτου δεινότερον ὑμῖν φανήσεται ὃ μέλλω λέγειν. εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δέ, ὃν ἐπαινεῖ Κτησιφῶν, δωροδοκίας, ὥςτε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων, φρονούντων, βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ καλούμενον Εὐβοϊκὸν συνέδριον συνήγαγον. ὃν δὲ τρόπον καὶ δι' οἵων κακουργημάτων, ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι. ἀφικνεῖται γὰρ 95
πρὸς ὑμᾶς οὐκέτι δι' ἀγγέλων, ἀλλ' αὐτὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους. εἶπε γάρ, ὡς ἥκοι ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογίζετο ὅσον

93. *τῷ λόγῳ προςβιβάζων ὑμᾶς*] Blandis et speciosis verbis ad sententiam suam perducens. In Mss. fere confunditur cum *προβιβάζειν*, quod est impellere bona plerumque significatione.

94. *ὁρώντων, φρονούντων, βλεπόντων*] In quo quis magnum ponit momentum, id per plura vel verba vel formulas solet enuntiare, quo firmius notio memoriae et animo inhaereat. Si discrimen velis inter synonyma *βλέπειν* et *ὁρᾶν* constituere, *βλέπειν* visum oculorum significat, *ὁρᾶν* additam habet vim tropicam.

www.libtool.com.cn

ἑκάστους ἔδει συντελεῖν, Ἀχαιοὺς μὲν πάντας καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, τὰς δ' ἐν Εὐβοίᾳ πόλεις ἁπά-
96 σας τετταράκοντα· ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν καὶ πεζὴν δύναμιν· εἶναι δὲ πολλοὺς καὶ ἄλλους τῶν Ἑλλήνων, οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, ὥστε οὔτε χρημάτων οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν. καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀποῤῥήτων, καὶ τούτων εἶναί τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ παρεκάλει Δημοσθένην καὶ συνειπεῖν
97 ἠξίου. ὁ δὲ σεμνῶς πάνυ παρελθὼν τόν τε Καλλίαν ὑπερεπῄνει τό τε ἀπόῤῥητον προςεποιήσατο εἰδέναι· τὴν δ' ἐκ Πελοποννήσου πρεσβείαν, ἣν ἐπρέσβευσε, καὶ τὴν ἐξ Ἀκαρνανίας ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. ἦν δ' αὐτῷ κεφάλαιον τῶν λόγων πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύνταγμα χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πε-
98 ζοὺς στρατιώτας μυρίους καὶ ἱππέας χιλίους, ὑπάρξειν δὲ πρὸς τούτοις καὶ τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελο-

97. ἔφη βούλεσθαι] Reiskius ex solo Mead. dedit ἔφη δὴ βούλεσθαι. Sed otiosa est particula et facile alienam a loco sententiam movet.

95. Ἀχαιοὺς μὲν πάντας] Achaia nominabatur septentrionalis Peloponnesi pars, continens duodecim urbes, quas enumerat Pausan. L. VII. 6. Non admodum erant bellicosi Achaei, et ubicunque fieri posset, neutrarum erant partium.

96. δι' ἀποῤῥήτων] Philippi tempore multa jactabantur a demagogis subornata, quae necesse sit per aliquod tempus silentio contineri, ne scilicet magna in populum utilitas pereat.

97. ἣν ἐπρέσβευσε] Demosthenes legationem in Peloponnesum obibat Ol. CIX. 1. Fortasse rediens ex Peloponneso Acarnaniam, regionem in occidentali Helladis parte non inopem, adiit.

συντεταγμένους] Paratos ad subsidia et ad omnia, quae opus sunt bello. Συντάττεσθαι enim interdum de iis dicitur, qui promittunt se in usum publicum pecunias collaturos: quo vocabulo imprimis sic utitur Demosth. in oratione περὶ συντάξεως. cf. p. 167. 168. cet.

πληρώματα] Πληροῦν et quae inde derivantur vocabula, significant quod Latini dicunt navem ornare, instruere omnibus, quibus opus est in bello.

98. τὰς πολιτικὰς δυνάμεις] Copias ex ipsis civibus lectas;

www.libtool.com.cn

πορνήσου μὲν πλείονας ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους· δεδόσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ ταῦτα οὐκ εἰς μακράν, ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ Ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑφ' ἑαυτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν πανσέληνον. καὶ γὰρ τοῦτο ἄνθρωπος 99
ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες, ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν ἐπαρώμενος ἑαυτῷ, δεύτερον δὲ, ἃ εὖ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται, καὶ ὧν

98. *δεδόσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν*] Duo Bekkeri codices habent *ἁπάντων* pro *ἀπὸ πάντων*, quae fortasse est lectio vera, ut genitivus pendeat ex *ἡγεμονίαν*. *Ἁπάντων* facile abiit in *ἀπὸ πάντων*. Cf. Bast. in Palaeogr. p. 784. Praepositio autem *ἀπό* hic vix locum habet. Quanquam multis locis et *ἀπό* et *ὑπό* adhiberi potest recte, prout vel originem aut tempus, a quo, vel caussam efficientem indicare velis, hic tamen verbo passivo *δεδόσθαι* et genitivo personae addenda videtur praepositio *ὑπό*. *Ἀπό* enim pro *ὑπό* non Atticis scriptoribus dicitur, sed serioris aevi Graecis; et quae olim de hac re afferebantur exempla, haec aut ab interpretibus perperam intelligebantur, aut jam in editionibus accuratis ad optimorum codicum auctoritatem sublata sunt.

*εἰς τὴν πανσέληνον*] Sic Stephanus, Helmst. et Bekkeri codices, idque etiam margini Ald. et Ven. adscripsit Victorius. Edd. ceterae habent *εἰς τὴν σελήνην*, quod non ita adhibent Graeci, ut significet plenilunium, sed hoc est *ἡ πανσέληνος* sc. *νύξ*. *Κύκλον πανσέληνον* dixit Euripides Ion. 1155. Lunam Graecos attendisse in rerum discrimine notum. Cf. Scholiasten Aristoph. ad Acharn. v. 84.

99. *ἀριθμῶν*] Hoc deest in multis et bonis codicibus, Helmst. et in sex Bekkeri. Sed recte Scholiastes: *ἀντὶ τοῦ ἀπατῶν ὑμᾶς διὰ*

vocabulo opposito pecuniis, quas in usum belli tribuerent, vel copiis conductis. Demosth. *περὶ στεφ.* p. 306. *μύριοι μὲν καὶ τετρακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν.*

99. *οὐ κοινὸν*] *Κοινὸν τῷ ἰδίῳ* oppositum hic est: agendi ratio, quam plerique sequuntur.

*ἀλαζόνες*] Proprium hoc erat sophistarum epitheton, qui, quod nesciebant, pulchre se scire insolenti vanitate jactabant. Vide Ruhnkenius ad Timaeum p. 28.

*εἰς ὁπότ' ἔσται*] Num usquam juncta legantur *εἰς ὁπότε*, nescio. Nec tamen videtur de lectionis veritate dubitandum. *Εἰς τότε*, quod posterioris tantum aevi ca-

www.libtool.com.cn

τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει, κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. διὸ καὶ σφόδρα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς
100 ὢν καὶ τὰ τῶν χρηστῶν σημεῖα διαφθείρει. ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ μακρότερον μὲν τῆς Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων, οὓς εἴωθε λέγειν, καὶ τοῦ βίου, ὃν βεβίωκε, μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων οὐδέποτε συλλεγησομένων. ἀπαγαγὼν δ' ὑμᾶς ἄποθεν ἀπὸ τοῦ κλέμμα-

τῶν πιθανῶν τούτων λόγων, ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα. Ad sententiam quidem vocabulum non est necessarium, sed est γραφικόν. Wunderlich.: » Graeci non raro singulas res tam accurate et plene verbis depingere solent, ut aliis interdum in sententia proposita aliquid abundare videatur, pars in explicanda ea in aliena et inepta abeant. «

100. ἄποθεν] Num scribendum sit ἄποθεν an ἄπωθεν, Grammatici dissentiunt. Lobeckius autem ad Phryn. p. 9. ostendit apud scenicos poetas ἄπωθεν indubitabile esse, in prosaicis autem scriptoribus summam deprehendi lectionum ambiguitatem, et sic apud nostrum modo ἄποθεν legi, modo ἄπωθεν. Frequentius tamen in codd. apparet ο. Ἄπωθεν hic tantum in duobus codd. Ἄποθεν scribit etiam Imm. Bekkerus, ex Thucydide locos cum varietate colligens ad II. 81.

se opinabatur Monkius ad Eurip. Alc. 542., habet Plato Legg. VIII. p. 845. Quin etiam εἰς ὅτε legimus ap. Homerum Od. II. 99. Quaenam adverbia cum praepositione jungantur, accurate exposuit Lobeck. ad Phrynich. p. 46. sq.

100. μακρότερον τῆς Ἰλιάδος] Notum est proverbium Ἰλιὰς κακῶν de multitudine et magnitudine malorum: quod de Aeschine adhibet Demosthenes. Aeschines hinc videtur Ἰλιάς absolute de nimia longitudine s. magnitudine usurpasse.

κενώτερον δὲ τῶν λόγων — καὶ τοῦ βίου] In oppositione non semper diligentissimos esse scriptores antiquos jam saepe vidimus. Hinc κενώτερος duo substantiva addita habet, quanquam in antecedente membro unum nonnisi substantivum additum sit adjectivo. Et sane unum κενώτερος ex Aeschinis cupiditate utrique, et λόγοις et βίῳ Demosthenis, convenit.

ἐλπίδων οὐκ ἐσομένων] Ἐλπίδες in plurali sensu concreto res speratae, quemadmodum saepe nomina abstracta, animorum praesertim motus significantia, numero plurali ponuntur. Ἐλπίδας οὐκ ἐσομένας nos dicimus spem, cui eventus erit nullus, spem irritam.

ἀπαγαγὼν ὑμᾶς ἄποθεν ἀπὸ τοῦ κλέμματος] Valckenaer ad Theocr. Adon. v. 7. T. II. p. 60. Heind. ἄποθεν delendum esse judicat ut interpretamentum praepositioni ἀπό supra scriptum, idque delevit in editione Hal. Bekkerus. Sed jam Fr. Aug. Wolfius ad Demosthenis Leptin. p. 245. vulgatam non solli-

www.libtool.com.cn

τος καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐνταῦθα δὴ συ-
στρέψας γράφει, κελεύων ἑλέσθαι πρέσβεις εἰς Ἐρέ-
τριαν, οἵτινες δεήσονται τῶν Ἐρετριέων, πάνυ γὰρ ἔδει
δεηθῆναι, μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν τὰ πέντε
τάλαντα, ἀλλὰ Καλλίᾳ, καὶ πάλιν ἑτέρους αἱρεῖσθαι
εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας πρέσβεις, οἵτινες δεήσον-
ται τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶ-
ναι. ἔπειτα ἀναφαίνεται περὶ ἁπάντων ἐν τῷ ψηφίσματι 101
πρὸς τῷ κλέμματι γράψας καὶ τὰ πέντε τάλαντα τοὺς
πρέσβεις ἀξιοῦν τοὺς Ὠρείτας μὴ ὑμῖν, ἀλλὰ Καλλίᾳ
διδόναι. ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ
τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν, ἀνάγνωθι, καὶ τοῦ
κλέμματος ἅψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄν-

εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας] Cf. supra §. 94. ad δρώντων, φρονούντων, βλεπόντων.

101. ἐν τῷ ψηφίσματι] Ἐν margo Steph. cod. Askew. et tres Bekkeri pro ἐπί.

ἀξιοῦν] Sic Bern., Helmst., tres Bekkeri codd. pro vulgato ἀξιῶν. Hujus verbi significationem subtiliter et accurate exposuit Buttmannus in ind. orat. Mid.

citandam recte censebat, et hujus parallelismi exempla, qui notionis vim auget, complura attulit Lobeck. ad Soph. Aj. 740., quibus veritatem lectionis vulgatae vindicavit. — Κλέπτειν et quae inde derivantur saepe dicuntur de furtiva fraude et callidis mendaciis. Demosthenes περὶ στεφ. p. 236.

συστρέψας] Ni fallor i. q. συστρέψας ἑαυτόν Plat. de rep. I. 10. Συστρέφεσθαι, quod proprie dicitur de serpentibus, qui se contrahunt dorso incurvato, ut impetus fiat vehementior saltusque perniciosior, ad orationem translatum significat concinnam brevitatem, ex qua enascitur vis et robur. Reddi igitur h. l. potest cum vi.

οἵτινες δεήσονται cet.] Scholiastes: τὸ ἀκόλουθον εἰπεῖν ἦν, ὥςτε συμμαχῆσαι αὐτοὺς ἡμῖν. ὁ δὲ ἀπάγει παρ' ὑπόνοιαν κατ' εἰρωνείαν· ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ Καλλίᾳ.

101. ἀναφαίνεται περὶ ἁπάντων ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας] Metathesis est verborum. Sic ad sententiam collocanda: πρὸς τῷ κλέμματι περὶ ἁπάντων ἐν τῷ ψηφίσματι ἀναφαίνεται γράψας: praeterquam quod omnia, quae in decreto posuit, scripta in fallaciam sunt, exoritur etiam id addens, ut legati petant ab Oritis. Wunderlichius tamen περὶ ἁπάντων explicat prae omnibus, locum fortasse sic intelligens, ut Rauchensteinius noster: Deinde praeter cetera omnia aperte in decreto in fraudem scripsit, ut quinque talenta Oritas legati juberent non vobis, sed Calliae tradere.

ἄνθρωπος, ὅν φησι Κτησιφῶν καὶ ἐν τῷδε τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων.

## ΨΗΦΙΣΜΑ.

102 Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν στρατιὰν καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε.

103 Ὑπόλοιπον δέ μοί ἐστιν εἰπεῖν, ὅτι λαβὼν τρία τάλαντα μισθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ, διὸ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλωμένοι γὰρ ἐν τῷ πρὸς Φίλιππον πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον, τὸν Χαριγένους υἱόν, τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον αὐτοῦ τὸ μὲν τάλαντον ἀφεῖναι τῇ πόλει, ἐπαγγελλόμενον δ' αὐ-

103. *ἐπαγγελλόμενον*] Nota praesens ab omnibus codd. repraesentatum, antecedente futuro *δεησόμενον*, nisi quod tres codd. habent *ἐπαγγελόμενον*: quae nulla est varietas. Pro *λλ* librarii saepissime scribunt *λ*. Nec quicquam opinor esse mutandum. Futurum enim id indicat, quod ei mandatum erat ab iis, qui mittebant, praesens cae forma uterentur.

103. *παρὰ Κλειτάρχου τοῦ τυράννου*] Hunc Eretriae tyrannum instituit Philippus, Plutarcho, de quo supra, ejecto. Ejus legatos malo consilio Athenas venientes Aeschinem hospitio excepisse eorumque patronum fuisse notat Demosthenes *περὶ στεφ.* p. 252.

*διὸ καὶ καταφανὴς ἐγένετο*] Exspectes *καταφανές*, sc. *τὸ πρᾶγμα*. Pro *διό* malim *δι' ὅ*, per quod talentum, quod ab Oritis flagitabat; et ad *καταφανής* vel ex contextu supplendum *δωροδοκήσας*, vel quod antecedit *λαβών*.

*δημοκρατουμένων τῶν Ὠρειτῶν*] Quum Oritae, tyrannide liberati, reipublicae forma uterentur. Philippus nempe, ut Eretriae Clitarchum, sic Orei Philistiden tyrannum instituerat. Per expeditionem, auctore Demosthene, in Euboeam susceptam Ol. CIX. 4. tyrannos ejecerant Athenienses eorumque legatos, hostes reipublicae declaratos, ex urbe excedere jusserunt.

*ἐξανηλωμένοι*] Rarum est de hominibus, quorum opes exhaustae sunt, qui unde rebus necessariis pares sint, non habent. Similiter tamen dixit Thucydides L. IV. 3. *τὴν πόλιν δαπανᾶν*, quod explicant glossographi *εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν*.

www.libtool.com.cn

τῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ. ὁ δὲ ἀπεκρίνετο τῷ Γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰςπράττειν. ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐποροῦντες, ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν. καὶ ταῦτ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. ὅτι δὲ τἀληθῆ λέγω, λάβε μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν. 104

ΨΗΦΙΣΜΑ.

Τοῦτ' ἔστι τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, αἰ- 105
σχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία Κτησιφῶντος· τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν, ἃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι.

autem, quid fecerit ipse, etiam si publice mandatum non fuerit, ut finem assequeretur. Profitebatur enim certo sibi esse persuasum, Oritas Demostheni in gratiarum significationem statuam esse posituros. Hinc non erat, cur Stephanus et Bekkerus contra libros scriberent ἐπαγγελλόμενον.

104. ἐλαχίστου χαλκοῦ] Vel dictum, ut nos fere solemus weder viel noch wenig (gar kein) Erz; vel: er brauche das Bisschen Erz nicht; sibi minime opus esse parvula illa aeris parte, ex qua statua conficiatur; nihil se statuae metallo juvari, sed opus esse auro argentove.

εἰςπράττειν] Si sana est lectio, constructionis est mutatio, ita ut ἀπεκρίνατο primo constructum sit sequente ὅτι cum optativo, dein autem sequente infinitivo sine conjunctione. Ejusmodi quidem varietates apud optimos scriptores haud rarae sunt. Praesens tamen hic parum est aptum (futurum potius ponendum erat) et oratio directa sententiae convenientior. Hinc praeferendum fortasse εἰςέπραττεν, quod habent Bern. margo Steph. et tres Bekkeri ejusdem familiae codd.

δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς] Nobis quidem fenus videtur immensum, plus dena capitis parte quotannis. Sed eo tempore parvum censebatur, quemadmodum hodie in orientali plaga. Cf. Boeckh. Staatsh. T. I. p. 143.

κεφάλαιον] Suidas s. v. ἔνιοι τῶν ῥαθύμως ἐντετυχηκότων τοῖς ὑπὸ τῶν δέκα ῥητόρων γραφεῖσι λόγοις οἴονται παρειλῆφθαι ἐπὶ τοῦ πράγματος καὶ λόγον μόνον — — παρείληπται δὲ καὶ ἐπ' ἀργυρίου τὸ κεφάλαιον, ὡς ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. — — ἕως τὸ κεφάλαιον ἀποδόσθαι.

www.libtool.com.cn

106 Ἐνταῦθ' ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν.

107 Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ Κιῤῥαῖον ὠνομασμένον πεδίον καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιῤῥαῖοι καὶ Ἀκραγαλλίδαι, γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς Ἀμφικτύονας. ἀγανακτήσαντες δ' ἐπὶ τοῖς γινομένοις μάλιστα μέν, ὡς λέγονται,

**106.** *πικρότατος*] Porsonus edixit ad Phoen. 1367., quum *πότμος*, *τέκνον* et similia secundum Atticas rationes paenultimam syllabam corripiant, comparativos inde compositos et derivatos antepaenultimam producere. Ego vero, motus iis, quae Buttmannus habet ausführl. Gr. Sprachlehre T. I. p. 263. contra libros in his rebus nil tentaverim.

**107.** *Ἀκραγαλλίδαι*] Harpocration s. v. *Κραναλλίδαι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι Κραυγαλλίδαι. Οὕτω γαρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κίῤῥας χωραν Κραυγάλλων, ὡς καὶ Ξεναγόρας ἐν τετάρτῳ χρόνων ἱστορεῖ.* Hinc sua videtur Suidas hausisse: *Κραναλίδαι ἢ Κραυγαλίδαι· ἡ ἐν Φωκεῦσι πλησίον Κίῤῥας χώρα.*

*γινομένοις*] Sic Helmst. et tres Bekkeri codd. ejusdem familiae. Vulgo *γενομένοις*. Per praesens actio durans exprimitur. Qui enim

**106.** *ἐνταῦθ' ἤδη*] Transitus est abruptus ad excitandam attentionem, quoniam hoc momentum tanquam *πικρότατον* aestimatur.

*πικρότατος χρόνος*] *Χρόνος* recte hic dixit, non *καιρός*, respiciens tempora reipublicae iniquissima. Demostheni autem erat *καιρός*.

*οὐδαμῶς ἴσην*] Minime utrisque partibus aequam. Vult Aeschines ex hoc pacto Thebanis quidem commoda, Atheniensibus autem damna redundasse.

**107.** *τὸ Κιῤῥαῖον πεδίον*] Cirrha Delphorum erat navale sexaginta a Delphis stadia distans, teste Pausania L. X. 37, 4. Inter epistolas Hippocratis Coi legitur *πρεσβευτικὸς* (*λόγος*) *Θεσσαλοῦ Ἱπποκράτους υἱοῦ* in hanc rem.

*ἐξάγιστος*] Harpocration: *ἐξάγιστος ἀντὶ τοῦ λίαν ἐναγὴς καὶ ἔμπλεος ἄγους. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπί τινος λιμένος εἴρηκε τοὔνομα.* Idem Suidas, Etymologicum M., alii. Cf. Blomfield. Gloss. ad Agam. v. 624. Praepositio *ἐξ* in compositione saepe habet vim intensivam. *Ἄγος* explicant glossographi *μύσος*, *μίασμα*.

οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύο-
νες, μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ τι-
μωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν. καὶ αὐτοῖς 108
ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιῤῥαίοις καὶ Ἀκραγαλλί-
δαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐ-
τῶν ἐκπορθήσαντας καὶ αὐτοὺς ἀνδραποδισαμένους
ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ Ἀρτέμιδι καὶ
Λητοῖ καὶ Ἀθηνᾷ Προνοίᾳ ἐπὶ πάσῃ ἀεργίᾳ, καὶ ταύ-
την τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι, μήτ' ἄλλον ἐᾶν.
λαβόντες δὲ τὸν χρησμὸν οἱ Ἀμφικτύονες ἐψηφίσαντο
Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ
νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν
διατετριφότος, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν
μαντείαν τοῦ θεοῦ· καὶ συναθροίσαντες δύναμιν ἱκα- 109
νὴν τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώ-

www.libtool.com.cn

impune peccarunt, in peccando perseverant. Hinc praesens significantius quam aoristus vel praeteritum *γεγενημένοις*, quod est in uno codice.

*ἔπειτα καὶ*] Quod Marklandus conjecit *ἔπειτα δὲ καί*, habent Helmst. et quattuor Bekkeri. Sed vide Werferum Act. Monac. T. I. p. 253. not.

108. *καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας*] Tres Bekkeri ejusdem familiae post *αὐτῶν* addunt *καὶ τὴν πόλιν*, quod est vel a librario vel a grammatico profectum. Nam *χώρα*, *χθών*, *γῆ*, immo etiam *νῆσος*, ubi videntur urbem significare, saepe de agro cet. ponuntur et de urbe, quae inest in agro. cf. Seidler ad Eurip. Troad. v. 4.

108. *πάντ' ἤματα καὶ πάσας νύκτας*] Formula periphrastica poesi et oraculis apta de rei diuturnitate.

*Ἀθηνᾷ Προνοίᾳ*] Harpocration: *Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Πρόνοια, διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρῦσθαι, ἢ ὅτι προὐνόησεν, ὅπως τέκοι ἡ Λητώ.* Confundit duo Ἀθηνᾶς epitheta, alterum *Προναίας*, alterum *Προνοίας*. Conjunguntur in Aeschinis loco *Ἀπόλλων ὁ Πύθιος καὶ Ἄρτεμις καὶ Λητὼ καὶ Ἀθηνᾶ Πρόνοια*, quibus aram in Zostere Atticae fuisse discimus ex Pausania L. I. 31, 1. Pythia suo oraculo voluit, ut Cirrhaei et Acragallidae in servitutem redacti eorumque agri ipsis numinibus Delphicis, Minervae *Προνοίᾳ* et Apollini Pythico ceterisque donarentur. Cf. Lennepium ad Phalar. p. 144. ed. Bat.

*ἐπὶ πάσῃ ἀεργίᾳ*] Ita ut prorsus inculta jaceret ista regio. Qui deo sacratus erat ager, eum nec aratro findi, nec falce demeti licebat.

τους καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν μήτ᾽ αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτ᾽ ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ
110 χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει. καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προςτροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ, »εἴ τις τάδε« φησὶ »παραβαίνοι, ἢ πόλις, ἢ ἰδιώτης, ἢ ἔθνος, ἐναγής« φησιν »ἔστω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος καὶ Λη-
111 τοῦς καὶ Ἀθηνᾶς Προνοίας.« καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα, μήτε βοσκήματα κατὰ

109. τοὺς λιμένας] Quod Marklandus conjecit τὸν λιμένα, dedit Bekkerus ex tribus codd. ejusdem familiae. Ego pluralem hyperbolicum vindicavi supra §. 79.

ἐργάσεσθαι] Sex Bekkeri codd. habent ἐργάσασθαι, tres ejusdem familiae ἐργάζεσθαι: quorum in se neutrum damnandum. cf. Excurs. VIII. in Lysiam. Sed quum in hac periodo ubique futurum sit positum, et quum ratio ubique sit eadem, non opinor Aeschinem in hoc uno membro aoristum aut praesens posuisse.

109. βοηθήσειν τῷ θεῷ] Hac formula significatur dei voluntati accuratissime obtemperare, ejus honorem vindicare impiosque punire. Βοηθεῖν αὐτῷ dicitur is, qui injuriam illatam persequitur et ulciscitur. Vide Demosth. in Mid. p. 64. §. 30. Buttm.

110. οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι] Est genus parallelismi ἀπέχρησε — μόνον neque abundat μόνον, ut opinatus est Stephanus de dialecto Attica p. 105. Verum τοῦτον μόνον τὸν ὅρκον dictum propter sequens ἀλλὰ καὶ προςτροπὴν καὶ ἀράν.

111. ἐπεύχεται] Sc. ἡ ἀρά, quod subjectum est etiam ad antecedens interjectum φησί. Hanc ἀρὰν ante oculos habuit Sophocles Oed. Tyr. 270. s. Contraria εὐχῇ hunc locum ob oculos habuit Liban. op. CCXLII. καὶ δῆτα εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις γῆν τε αὐτοῖς καρπὸν ὅτι πλεῖστον διδόναι καὶ ἀέρα μένειν ἐν τοῖς μέτροις καὶ γυναῖκας τίκτειν ὅμοια τοῖς γονεῦσι, καὶ λόγων, ὥςπερ νῦν, τὴν πόλιν ἐρᾶν. Cf. quos laudat Mitscherl. ad Horat. Od. IV. 5, 23.

τέρατα] Bekker. Anecdd. p. 308. τέρας τὸ ζῶον τὸ μὴ κατὰ φύσιν γενόμενον, ut Plato in Cratylo, ἐάν, ὥςπερ τέρας, γένηται ἐξ ἵππου ἄλλο τι ἢ ἵππος. — Ceterum non ubique verum esse Thomae M. assertum: τέρα καὶ τερῶν Ἀττικοί, τέρατα δὲ καὶ τεράτων ἁπλῶς Ἕλληνες, ex nostro loco patet et docuit Alberti Gloss. in N.T. p. 115.

φύσιν γονὰς ποιεῖσθαι, ἧσσον δὲ αὐτοῖς εἶναι πολέμου
καὶ δικῶν καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς
καὶ οἰκίας καὶ γένος τὸ ἐκείνων. »καὶ μήποτέ« φησιν
»ὁσίως θύσαιεν τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μη-
δὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐ-
τοῖς τὰ ἱερά.« ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ 112
θεοῦ μαντείαν. ἀκούσατε τῆς ἀρᾶς. ἀναμνήσθητε τῶν
ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων
συνώμοσαν.

### *ΜΑΝΤΕΙΑ.*

*Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,*
*πρίν γε θεοῦ τεμένη κυανώπιδος Ἀμφιτρίτης*
*κῦμα ποτικλύζῃ κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.*

### *ΟΡΚΟΙ. ΑΡΑ.*

Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας 113
γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ
Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν ἄνδρες
παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λι-

ἀγορῶν] H. l. i. q. ἐκκλησιῶν, Homerico loquendi usu. Cf. Schoemann de com. p. 28.

μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά] Wolfius: »pro αὐτῶν usitata Graecis ἀντιπτώσει.« Sed δέχεσθαί τινί τι propria Graecis loquendi ratio pro δέχεσθαί τι παρά τινος, ut docuit Porsonus ad Eurip. Hec. 539. [ubi praecipue comparanda exempla a Schaefero adscripta]; imprimis si dii clementer accipiunt, quod a mortalibus pio animo offertur, quo pertinet locus a Porsono laudatus ex Aristoph. Lysistr. 204. τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής. Sic etiam nostro loco. Quanquam nec genitivus inusitatus. Sic §. 121. μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά.

112. Οὐ πρὶν cet.] Hoc oraculum etiam ap. Pausaniam legitur X. 37. cum nonnullis, sed parum gravibus mutationibus. De hoc similibusque oraculorum fragmentis monet F. A. Wolfius ad Leptineam p. 245. »Omnino factum videtur mihi saepius, ut in locis, ubi deessent scita, leges aliaeve litterae publicae, sicunde nota essent, aut ex ipsa oratione suppleri possent, a doctis lectoribus insererentur. Pro tali habuerim etiam fragmentum oraculi apud Aeschinem in Ctesiph. p. 503. R.«

113. οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς] Cf. Strabo L. IX. 4, 4. qui Κρισσαίους appellat, qui ceteris sunt Κιῤῥαῖοι. Pausanias X. 38, 2. dicit Ἄμφισσαν εἶναι μεγίστην καὶ ὀνομαστοτάτην πόλιν τῶν Λοκρῶν – – τεθῆναι δὲ τῇ πόλει τὸ ὄνομα ἀπὸ Ἀμφίσσης τῆς Μάκαρος τοῦ Αἰόλου φασίν. Stephan. autem Byz. s. v. Ἄμφισσα ἐκλήθη δέ, inquit, οὕτω διὰ τὸ ἐμπεριέχεσθαι τοῖς ὄρεσι τοῖς κειμένοις.

μένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν, καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς πυλαγόρων ἐνίους χρή-
114 μασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης. χειροτονηθεὶς γὰρ ὑφ᾽ ὑμῶν πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι. διωμολογήθη δ᾽ αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ᾽ ᾧτε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνησι κατὰ πάντα τρόπον· ὅθεν ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἢ ἀνδρὸς ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περι-

113. πυλαγόρων] Fluctuant libri inter terminationem πυλαγόραι et πυλαγόροι. Singularis quidem ubique, ni fallor, primam sequitur declinationem; in plurali tamen scriptores ipsi variasse videntur. In Aeschine plerisque locis optimi et plurimi Mss. terminationem secundae declinationis afferunt, eosque, ut par erat, secutus sum. Cf. Wesseling. ad Herodot. VII. 214.

114. ἢ ἀνδρὸς ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρ.] Vulgo ἀνδρὸς ἢ ἰδιώτου cet. Sed ἢ ἀνδρός habent quattuor Bekkeri; et ἢ ante ἰδιώτου prorsus deest in quinque aliis. Duo genera producuntur. Alterum est ἀνὴρ ἰδιώτης, ἢ δυνάστης, alterum πόλις δημοκρατουμένη. Ἰδιώτης, ἢ δυνάστης partes sunt ejusdem generis, et ἢ ante δυνάστης indicium novae partis. Si quaeris, cur orator hoc diserte civitatium genus (πόλ. δημ.) nominet, sciebat, quantopere cives sui huic adhaererent, invisum autem adversarium potissimum hac suspicione reddi, si quid crederent eum contra democratiae statum moliri.

πυλαγόρων] De legatis Amphictyonicis accurate egit Tittmann. in libro über den Bund der Amphiktyonen IV. §. 4. Erant eorum duo genera, πυλαγόρων unum, alterum ἱερομνημόνων. Bekkeri Anecdd. p. 292. ἐκλήθη δὲ Πυλαγόρας παρὰ τὸ ἐπὶ Πυλαίᾳ ἀγορεύειν· Πυλαία δ᾽ ἐστὶ τὸ Ἀμφικτυονικὸν συνέδριον. Nomen ἱερομνημόνων respicit eorum curam rerum sacrarum, unde etiam ἱερογραμματεῖς appellabantur. Aliis locis videtur id praecipue ἱερομνημόνων fuisse munus, ut studia suarum civitatum curarent. Scriptores tamen non certum utriusque generis discrimen constituisse, sed per utrumque nomen legatos ad consilium Amphictyonum intellexisse videntur.

114. ἐφ᾽ ᾧτε] De hac formula, significante hac lege ut, quae vel cum indicativo vel cum infinitivo construitur, accuratissime exposuit Fr. Wolfg. Reizius de prosodiae Graecae accentus inclin. p. 27 ss.

www.libtool.com.cn

βάλλειν. σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, ὅσῳ 115
περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν ἐξ Οἴου, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. συνέβη δ' ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συμπεπτώκει καὶ

115. *Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον*] Sic septem Bekkeri codices. Vulgo *Ἀναγυῤῥάσιον*. Zenobius Proverbb. Cent. II. 55. *ἔστιν ὁ Ἀνάγυρος* (alii, ut Harpocration, *Ἀναγυροῦς*) *δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, ἔνθα δυσῶδες φυτὸν φύεται. εἴρηται οὖν ἡ παροιμία ἐντεῦθεν· Ἀνάγυρον κινεῖν, ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ κακῷ ἑαυτῶν. Τινὲς δὲ λέγουσιν, ὅτι ἄνθρωπος ἥρως γέγονεν, ὅστις τοὺς οἴκους τῶν γειτονούντων αὐτῷ ἐκ βάθρων ἀνέστρεψεν, ἐπειδὴ τὸ ἡρῷον ὑβρίσαι ἐπεχείρησαν.* Harpocration: *ἔνθεν ὁ δημότης Ἀναγυράσιος.* Quod Aeschines optat, ut Midias adhuc in vivis esset, de multis, quas dicit, caussis prima, si non una, haec erat, quod Demosthenes in Midia potentem et acrem adversarium habebat.

*Θρασυκλέα τὸν ἐξ Οἴου*] Sic quattuor Bekkeri codd. Vulgo *Θρασυκλέα τὸν Λέσβιον*: de qua lectione haec notavit F. A. Wolfius ad Leptin. p. 245.: »Postremum nomen pro gentili esse vix bene probetur ne ex iis quidem, quae a Platone Ion. extr., Demosth. Phil. I. p. 51. et aliis narrantur. Nec magis placet emendatio Reiskii *τὸν Λεσβίου*. Exspectatur enim non patris nomen, sed demi, judice etiam Marklando. Scribendum igitur *τὸν Λέκκιον*. Hesychius: *Λέκκον δῆμος Ἀντιοχίδος φυλῆς*. Quem demum quum omisisset Meursius, eum Jac. Sponius addidit in Supplementis.« Quod volebat vir praestantissimus, ut nomen demi restitueretur, id factum est, lectione bonorum librorum recepta. Cf. Harpocrationem s. v. *Οἶον*, qui recte inter duos demos, *Λεοντίδος φυλῆς* unum, alterum *Ἱπποθοωντίδος* discernit. Utrumque hoc nomen habebat *διὰ τὸ μηδαμῶς εὐοίκητον τόπον ἔχειν*. Tertius erat demus *Πανδιονίδος*, qui dicebatur *Οἶα*, *δημόται Οἴηθεν*, quum *δημόται* ex utroque *Οἴου* dicebantur *ἐξ Οἴου*.

*συμπεπτώκει*] Sic tres Bekkeri codices. Vulgo *συνεπεπτώκει*. Ubi boni codices superaugmentum omittunt, praesertim in verbis compositis, eos sequendos existimo. Nam Atticorum scriptorum normam perscrutantes, eos in plurimis verbis superaugmentum non addidisse inveniemus.

115. *Θεοφράστου ἄρχοντος*] Ol. CX. 1.

*Διογνήτου Ἀναφλυστίου*] Harpocration, hunc locum respiciens, *Ἀνάφλυστος δῆμος τῆς φυλῆς Ἀντιοχίδος. ἔνιοι δὲ ὡς πόλεως τῆς Ἀναφλύστου μνημονεύουσιν.* Egit de hoc demo Meurs. de populis Atticis s. v.

www.libtool.com.cn

116 τοῦ Μειδίᾳ. οἱ δ᾽ ἄλλοι συνεκάθηντο Ἀμφικτύονες. ἐξηγγέλλετο δ᾽ ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς, ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους, εἰςέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τὸν Ἀθηναίων, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθεμεν πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξειργάσθαι, καὶ ἐπεγράψαμεν τὸ προςῆκον ἐπίγραμμα »Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο.« μεταπεμψάμενος δ᾽ ἐμὲ ὁ ἱερομνήμων ἠξίου εἰςελθεῖν εἰς τὸ συνέδριον καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃ-
117 ρημένον. ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰςεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων,

116. *πρὶν ἐξειργάσθαι*] Harpocrationem in suo Aeschinis exemplari pro *ἐξειργάσθαι* reperisse *ἐξαράσασθαι*, apparet ex iis, quae ap. eum habentur v. *ἐξαράσασθαι*. *Ἐξαράσασθαί ἐστι τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχὰς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν, αἳ εἰώθασι ποιεῖσθαι*; accipit igitur de precibus et votis, quae fiebant, quum templa aedificabantur. Scholiastes autem Aeschinis ad vocabula *πρὸς τὸν καινόν* sic scribit: *οὐ λέγει, ὅτι δύο ἦσαν ναοὶ ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. καλεῖ δὲ αὐτὸν καινόν, καθὸ τὸν παλαιὸν πρησθέντα ἀνῳκοδόμησαν οἱ Ἀμφικτύονες. πρὶν δὲ ἐξεργάσασθαί φησιν ἀντὶ τοῦ τελειωθῆναι τὸ ἔργον πᾶν τῆς οἰκοδομίας. λέγουσι δ᾽ ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελής, ἕως οὗ ὕστερον Νέρων ὁ βασιλεὺς Ῥωμαίων ἐπλήρωσεν αὐτόν, ἐκεῖσε παραγενόμενος.* Duo Bekkeri codices habent *ἐξαράσασθαι*; tertius *ἐξαρέσασθαι*.

116. *τὸ προςῆκον ἐπίγραμμα*] Hoc epitheto suam ipsius sententiam et aequorum hominum judicium exprimit Aeschines. Si eorum, qui multare Athenienses volebant, sensum expressisset, dicendum erat *τὸ μὴ προςῆκον*.

*καὶ αὐτὸν οὕτω προῃρημένον*] Qui etiam ipse, si non essem incitatus, id facere constitueram. Unus codex ex glossa addidit *ποιεῖν*.

117. *προθυμότερόν πως εἰςεληλυθότος*] *Εἰςέρχεσθαι* hoc loco dicitur de oratore: quum studiosius instarem, rem urgerem. Quod sequitur *μεθεστηκότων* sic intelligendum, senatores, Aeschinis oratione permotos, sententiam commutasse. Ante enim proni erant in Amphissensium arbitrium Atheniensibus imponendi multam; tunc autem a sententia desistebant. Rauchensteinius autem noster desiderat in Graecis verbis aliquam particulam temporis, ut *ἤδη*.

ἄνθρωπος ἀσελγέστατος καί, ὡς ἐμοὶ ἐφαίνετο, οὐδε-
μιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς
ἐξαμαρτάνειν αὐτὸν προαγομένου, »ἀρχὴν δέ γε« ἔφη
»ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ᾽ ἂν ὠνομά-
ζετε τοὔνομα τοῦ δήμου τοῦ Ἀθηναίων ἐν ταῖσδε ταῖς
ἡμέραις, ἀλλ᾽ ὡς ἐναγεῖς ἐξείργετ᾽ ἂν ἐκ τοῦ ἱεροῦ.«
ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ 118
Κρώβυλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ
κατὰ τῆς πόλεως διεξῄει λέγων, ἃ ἐγὼ οὔτε τότ᾽ ἐκαρτέ-
ρουν ἀκούων, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκού-
σας δὲ οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ᾽ ἐν τῷ ἐμαυ-
τοῦ βίῳ. καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι·
ἐπῄει δ᾽ οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν
Ἀμφισσέων περὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐ-
τόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτύοσιν· ὑπόκειται

www.libtool.com.cn

117. ἐξείργετ᾽ ἂν] Sic Bern. Mor. margo Steph. et quattuor Bekkeri ejusdem familiae. Vulgo ἐξήγετε, quod mitius est pro loquentis animo, nec facile potest ἂν abesse.

118. ἐπῄει δ᾽ οὖν μοι] Sic quattuor Bekkeri codices, et duo in margine pro vulgato ἐπῆλθε: quae potius videtur glossa, quam vice versa. Ad ἐπιέναι, ἐπέρχεσθαι nonnisi dativum poni ejus, cui quid in mentem venit, ad εἰσιέναι, εἰσέρχεσθαι dativum et accusativum, docuit Hemsterhusius ad Luciani Prometh. §. 2. T. I. p. 26.

περὶ τὴν γῆν τὴν ἱεράν] Sic quattuor Bekkeri codices ejusdem familiae. Vulgo ἐπί. Ἀσεβής et quae inde derivantur περί cum accusativo adjunctum habent vel rei vel hominis, in quem quis est ἀσεβής, interdum εἰς vel πρός. Ἐπί me legere non memini. Ἐπί autem et περί saepe sunt confusa. Vide Bast. ad Gregorium Corinthium p. 783. s.

ἀσελγέστατος] H. l. importunissimus, agrestissimus. Explicatur eo, quod sequitur, οὐδεμιᾶς παιδείας μετεσχηκώς.

118. Κρώβυλος] Hoc cognomen Aeschines tribuit Hegesippo, qui in re publica a Demosthenis stabat partibus. Vide Ruhnken. Histor. Critt. Oratt. Gr. p. LXXVIII. s. Κρώβυλος proprie est nodus crinium in verticem recinctorum: qui videtur mos fuisse elegantiorum hominum. Pluribus hoc nomen tanquam proprium fuisse tributum ostendit Fr. Jacobs. Anthol. T. VIII. p. 122. De re, si vis, cf. Demosthenem περὶ παραπρ. p. 364 ss.

αὐτόθεν ἑστηκὼς ἐδείκνυον] Αὐτόθεν, ex eo ipso loco, quo conveneramus. Ἑστηκώς significanter adjectum est, quod vulgo dicunt pleonastice, forti vultu et animo. Aliis locis alias significationes habet participium hoc pleonasticum.

www.libtool.com.cn

ὑπὸ τὸ Κιῤῥαῖον πεδίον τῷ ἱερῷ καὶ ἔστιν εὐσύνοπτον.
119 » ὁρᾶτ’,« ἔφην ἐγώ, » ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τουτὶ τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ αὔλια· ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον· ἴστε τούτους αὐτοί, καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος.« ἅμα δὲ ἀναγιγνώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν
120 τὴν γενομένην, καὶ διωριζόμην, ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δ’ ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε. ἐνῆρκται μὲν τὰ κανᾶ, παρέστηκε δὲ

120. οἷς δύναμαι] Forsitan alicui blandius videatur, quod offerant quattuor Bekkeri codices, οἷς ἂν δύνωμαι. Sed indicativus fortius certum consilium exprimit, a quo se nulla vi abstrahi patiatur.

βουλεύεσθε] Sic Helmst. et novem Bekkeri codices pro vulgato βουλεύσασθε. Praesens curam et severitatem deliberationis aptius exprimit.

119. ὁρᾶτ’ – – ὁρᾶτε τοῖς ὀφθαλμοῖς] Est orationis gradatio animo vel vere commoto, vel commotum se simulanti perquam apta. Nempe vim habet additum verbo videndi τοῖς ὀφθαλμοῖς. Sic interdum verbis sensuum additur substantivum, ipsum organon sensus exprimens. §. 255. καὶ μὴ μόνον τοῖς ὠσίν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύεσθε.

120. ἀφοσιῶ] Harpocration: ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω. Αἰσχίνης κατὰ Κτησιφῶντος. Cf. Ast ad Platonem de Legg. VI. 1.

ἐνῆρκται μὲν τὰ κανᾶ] Valesius in Harpocrat. legendum opinatur ἐνῆρται vel ἐπῆρται, adductus versu Aristoph. Avv. 851. παῖ, παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα. Ut ἐνῆρται aut ἐπῆρται, si ab omnibus codicibus offerretur, tolerandum foret, ita minime ἐνῆρκται contra Mss. rejici debet. Est enim ἐνάρχεσθαι verbum proprium de initiatione sacrorum, et saepius vocabulo κανοῦν adjectum est. Eurip. El. 1141. κανοῦν ἐνῆρκται. Adde Iphig. Aul. 1471. Quid? quod Latini etiam inchoare sic usurpant. Virgil. Aen. VI. 252. Tum Stygio regi nocturnas inchoat aras. ubi Servius monet inchoare verbum sacrorum esse. Tuetur hoc etiam Pollux VIII. 83.

τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δή, ποίᾳ φωνῇ, ποίᾳ 121
ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους; οὐ γὰρ δι' αἰνιγμάτων, ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται, » μηδ' ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντες,« φησί, »τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προ-
νοίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά.« τοιαῦτα καὶ πρὸς 122
τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ

121. *σκοπεῖτε δή*] Multi libri habent *σκοπεῖτε δέ*. Forsitan optimum fuerit utraque lectione juncta scribere *σκοπεῖτε δὲ δή*, ut et oppositio deliberationis et exhortatio loquentis conjungatur.

*ἱκεσίας*] Tres Bekkeri codices habent *ἱκετείας*, et quartus, qui habet *οἰκετείας*, aperte idem voluit. Inter tres formas jam antiqui fluctuarunt. Forma *ἱκετεία* descendit a verbo *ἱκετεύω*, ut abstracta multa derivantur a verbis in *εύω*, eaque forma praesertim veteres Atticos locupletes habet auctores (vide Lobeck. ad Phryn. p. 504.). *Ἱκεσία* paullo post coepit esse in usu, quod Grammatici derivant ab *ἱκέτης*, unde *ἱκετία* et τροπῇ τοῦ τ εἰς σ *ἱκεσία*, quemadmodum ex *εὐεργέτης* proprie *εὐεργετία*, ex usu autem *εὐεργεσία* descendit. Vide Lobeck. l. l.

*δι' αἰνιγμάτων*] Tres codices *δι' αἰνιγμῶν*: nec negari potest genitivum hunc *δι' αἰνιγμῶν* apud optimos scriptores inveniri, quanquam singularis *αἰνιγμός* aut alius inde derivatus casus apud antiquiores non legatur. Aristoph. Ran. 61. *ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ*: ubi Berglerus complura utriusque genitivi formae exempla habet.

121. *ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι*] Coacervatio haec signorum ut ad augendam notionem, ita non temere instituta est. Mens et mentis habitus magnam vim habet in vocem, tum in verba, tum in soni affectum. *Ποίοις ὄμμασι* explicatur per *τίνα τόλμαν κτησάμενοι*. Unde quis tantam arripiat audaciam, ut sacrificio adstare possit rectis oculis tanquam homo nullius sibi culpae conscius?

122. *τοιαῦτα — διεξελθόντος ἐμοῦ*] Reiske conjecit *ταῦτα*, quo non opus. Solent enim Graeci oratione alicujus relata et absoluta transitum facere vel ita: *τοσαῦτα εἰπών*, ut Thuc. II. 72., vel *τοιαῦτα εἰπών*, ut ibid. 74. Nec vero vel numeri vel qualitatis notio premenda; sed idem fere est quod *ταῦτα*: quanquam hoc loco significare possit tam gravia.

*μετέστην ἐκ τοῦ συνεδρίου*] Videtur moris fuisse, ut qui se-

www.jlbtool.com.cn

πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ ὁ λόγος ἦν οὐκέτι περὶ τῶν ἀσπίδων, ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. ἤδη δὲ πόῤῥω τῆς ἡμέρας οὔσης, προσελθὼν ὁ κῆρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ ἔχοντας ἄμας καὶ δικέλλας πρὸς τὸ θυτεῖον ἐκεῖ καλούμενον· καὶ πάλιν ὁ αὐτὸς κῆρυξ ἀνηγόρευε τοὺς ἱερομνήμονας καὶ πυλαγόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· »ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ
123 ἱεροῦ, καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος.« τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιῤῥαῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς,

122. ἄμας] Spiritum lenem huic vocabulo dedi pro aspero. Sic scribunt Grammaticorum optimi, et quae cognata esse possunt, per spiritum lenem scribuntur.

cerat ipse rogationem discederet, ut liberum esset reliquorum consilium.

πόῤῥω τῆς ἡμέρας οὔσης] Πόῤῥω quum de tempore dicitur, indicat majorem vel maximam ejus temporis, quod nominatur, partem effluxisse. Πόῤῥω τῆς ἡμέρας οὔσης est quum vespera fieret. Plato Apol. ὁρᾶτε γὰρ εἰς τὴν ἡλικίαν, ὡς πόῤῥω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς.

ὅσοι ἐπὶ διετὲς ἡβῶσι] Harpocration recte refutat Didymum, qui affirmabat locutionem Aeschinis significare: ἐὰν ἑκκαίδεκα ἐτῶν γένωνται; ipse autem vere monet ἐφήβους dici apud Athenienses eos, qui annum octavum et decimum attigerint, καὶ μένειν ἐν τοῖς ἐφήβοις δύο ἔτη. Ὁ ἐπὶ διετὲς ἡβῶν est viginti annos natus. Apparet id etiam ex Demosthenis κατὰ Στεφ. ψευδομαρτυρ. p. 1135. coll. Sluiteri Lectt. Andocidd. p. 86. ss.

θυτεῖον] Vocabulum derivatur a θύω et significat locum, ubi fiunt sacra, templum. Non opinor de πόλει τῆς Αἰτωλίας sermonem esse posse, quam Harpocration s. v. Θύστιον ab Atticis scriptam se invenisse θύτειον testatur.

ἥτις δ' ἂν μὴ παρῇ πόλις] Cujus civitatis Amphictyoniae Pylagorae et Hieromnemones non adsint. Hoc videtur quasi προβούλευμα fuisse senatus, cujus sanctio a singulis civitatibus petenda erat.

εἴρξεται τοῦ ἱεροῦ] Fortis mutatio orationis obliquae in rectam, quum in hoc membro maximum insit, quod terreat, momentum. [Nota futurum med. significatione passiva usurpatum, quod multis exemplis comprobavimus in gr. Gr. §. 114. not. 1. V. C. F. R.]

www.libtool.com.cn

ἑξήκοντα στάδια ἄποθεν οἰκοῦντες Δελφῶν, ἧκον ἐφ' ἡμᾶς μεθ' ὅπλων πανδημεί· καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος, ὁ τὰς γνώμας ἐπιψη- 124 φίζων, ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν τις μὴ μόνον τοὺς πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσῃ, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν Ἀμφισσέων ἐγίγνοντο κατηγορίαι, πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ἡμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα, καθ' ὅ τι δίκας δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος ὑφ' ἡμῶν 125 τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς

123. πανδημεί] Inter πανδημεί et πανδημί fluctuant plerisque locis Mss. Vide ad Poll. VI. 162. Caussam disceptat Lobeck. ad Phryn. p. 515. Hic quattuor codices habent πανδημί.

124. δίκας δώσουσιν] Bekkerus ex tribus codicibus ejusdem familiae dedit δίκην δώσουσιν. Quum ego monuissem in hac phrasi me hyperbolicum pluralem nusquam animadvertisse, me in viam reduxit Casparus noster Orellius, de discrimine admonens inter δί-

124. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ] Phrynich. p. 464. τῇ ἐπιούσῃ ἐρεῖς, μὴ προστιθεὶς ἡμέραν· τῆς δὲ ἐπιούσης ἡμέρας: quod praeceptum praeceps esse satis docuit Lobeckius.

ἐκκλησίαν] Sacrificia quovis Amphictyonum conventu acta fuisse et multi veterum loci testantur et antiqui mores, si testimonia deficerent, per se id redderent probabile. Eos, qui sacrificiis aderant permulti homines, quasi civitatum Amphictyonicarum nomine ad deliberandum invitatos fuisse, fidem facile inveniet. Rem satis exposuit Fr. Guil. Tittmann. in libello: über den Bund der Amphiktyonen. Cap. IV. et V.

125. ὑφ' ἡμῶν] Intelligit eos, qui nomine Amphictyonum consilio adfuerant. Hinc Ms. Stephani ex glossa πυλαγορῶν.

τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ] Taylor ἐν τῇ ἐκκλησίᾳ ex margine irrepsisse opinatur, ut scilicet oppositiones accurate sibi respondeant. Nos jam saepius annotavimus antiquos in oppositionibus non diligentissimos esse solere; et in simili caussa majorem etiam abundantiam habuimus supra §. 34. ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ.

www.libtool.com.cn

πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰςελθὼν εἰς τὸ βουλευτήριον καὶ μεταστησάμενος τοὺς ἰδιώτας ἐκφέρεται προβούλευμα εἰς τὴν
126 ἐκκλησίαν, προςλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι δήμου ψήφισμα, ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ, οὐ γὰρ ἄν ποτε ἐπέτρεψα, καὶ τῶν πολλῶν διαφειμένων· οὐ τὸ

κην διδόναι, poenas dare (gestraft werden), et δίκας διδόναι, judicibus rem disceptandam ac dijudicandam permittere (sich einem Gericht unterziehen), ut apud Thucyd. I. 28. οἱ Κερκυραῖοι δίκας ἤθελον δοῦναι ἐν Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν ἀμφότεροι ξυμβῶσι, ubi Scholiastes ἐπιτρέψαι δικαστηρίῳ καὶ κριθῆναι ἐβούλοντο. Legitur item in foedere, ut nostro loco, apud Thucyd. V. 79. ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις δίκας διδόντας κατὰ τὰ πάτρια.

125. ἄνθρωπος] Marklandus conjicit ὁ ἄνθρωπος, et hodieque sunt viri, qui in hujusmodi nexu ubique saltem scribant ὥνθρωπος. Quum Marklandus in nostro scriptore saepissime articulum addendum conjiceret, aliquando Reiskius: »Dedecet, exclamat, in his minutiis labi. Quoties hoc ingerit Marklandus, ignorans Atticos ad vocabula ἄνθρωπος, ἀνήρ et alia quaedam talia solere articulum omittere, quem eorum morem debebat eum auctorum Atticorum usus docere; poterat certe.« Quae quanquam subtilius disceptari possunt, re tamen sunt vera et laetor viros doctos tandem redire ab argutiis, quae adolescentulos decent. Cf. Buttmanni ausführl. griech. Grammatik T. I. p. 120. not. *

126. ἐπαναστάσης τῆς ἐκκλησίας] Wunderlich. ex Mss. Mori ἐπ' ἀναστάσει τῆς ἐκκλησίας, quocum faciunt tres Bekkeri codices ejusdem familiae. Sed ἀνάστασις de dimissione concionis non inveni, nec ἐπανίσταται de concione videtur rejiciendum, quanquam ἀνίστασθαι plerumque ponatur. cf. Pollux III. 91. Neque asyndeton me offendit, quum in appositione vis primaria insit.

διαφειμένων] Recte sic Bekkerus ex optimis Mss. jam in Halensi editione dederat pro vulgato δὲ ἀφειμένων.

126. τῶν πολλῶν διαφειμένων] Callide verbo studet decipere. Fit etiam hodie saepe in concionibus, ut sub concionis finem, ejus praesertim, quae diu duraverit, homines taedeat morae, singulique dilabantur. Tum festinatur et itur in suffragia super re parum cognita, et multi nesciunt, de qua re et in quam partem suffragia tulerint. Sic in ea concione, de qua loquitur Aeschines. Surgebant homines, Aeschines jam reliquo-

www.libtool.com.cn

κεφάλαιόν ἐστι »τὸν δὲ ἱερομνήμονα« φησὶ »τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων,« εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε χρόνου γίγνεσθαι. καὶ πάλιν ἐν τῷ 127
αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει, »τὸν ἱερομνήμονα« φησὶ »τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς ἐκεῖσε συλλεγομένοις μήτε λόγων, μήτε ἔργων, μήτε δογμάτων, μήτε πράξεως μηδεμιᾶς.« τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; τἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ τὴν πόλιν διατέθεικεν. οὐκ ἐᾷ

*τοὺς ἀεὶ πυλαγοροῦντας*] Hoc habent codices omnes Bekkeri, praeter tres pro vulgato *εἰςαεί*: quod quanquam sit rarum, satis se tuetur auctoritate Sophocl. Aj. 342. Sed hic plurimis et optimis codicibus obsequendum erat. Ceterum hoc *ἀεί* significat *ἑκάστοτε*, ut saepe; neque vero ex hoc loco concludi potest munus *πυλαγόρων* per omne vitae tempus datum fuisse, quod de *ἱερομνήμονος* munere testatur Scholiastes Aristoph. Nubb. 620. Sensus enim nostri loci est: qui singulis Amphictyonum conventibus Pylagorarum munere fungantur.

127. *τοῖς ἐκεῖσε συλλεγομένοις*] Ἐκεῖσε habent quattuor Bekkeri codices ejusdem quidem familiae pro vulgato *ἐκεῖ*. Graeci saepe praepositionibus vel adverbiis motum in locum significantibus utuntur, ubi recentiores linguae praepositionem vel adverbium quietem indicans ponunt. Antiqui autem duas notiones conjungunt; in praepositione inest significatio motus, in verbo significatio quietis. §. 128. *συνελέγησαν εἰς Πύλας*. Sic etiam *καθίζεσθαι εἰς τόπον* quo accurate exposuit Buttmannus in ind. orationis Mid. s. v. Adde Jacobs ad Achill. Tat. Animadvv. p. 848. [Hermann. ad Soph. Ajac. v. 80. p. 19.].

*μήτε λόγων*] Sic Helmst. et tres Bekkeri codices pro vulgato *μὴ λόγων*. Simplex negatio additur verbo *μὴ μετέχειν*, ut appareat enuntiationem esse negativam; singulae disjunctivae singulis substantivis, quae pendent ex verbo.

rat forum, item multi ante et post eum. Nondum autem concio dimissa erat, sed plurimi sua sponte discesserant; qui autem remanserant, quanquam numero inferiores, tamen concionem agebant ejusque habebant auctoritatem.

127. *οὑτωσί*] Hoc vocabulum saepe ex contextu definiri, imprimis in [illegible]

www.libtool.com.cn

μεμνῆσθαι τῶν ὅρκων, οὓς ἡμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς, οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

128 Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων. καὶ συνελθόντες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον, τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μακρὰν ἀπόντος· ὃν αὐτίκα μάλα τολμήσει λέγειν Δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας
129 ἐπήγαγον. καὶ παρελθόντες τῇ πρώτῃ στρατείᾳ καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν· ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτ' ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι, καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. ἐπειδὴ δὲ οὔτε τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν

mus ad Lysiam acc. Alc. §. 2. Hic significat οὕτω κακῶς.

128. πλὴν μιᾶς πόλεως] Thebas intelligit, quae, archonte Evaeneto, Ol. CXI. 2. ab Alexandro, Macedonum rege, eversae sunt.

οὔτε – μήτε] Prius οὔτε cum optativo et ἂν de re, quam se facturum esse negat, μήτε cum simplice optativo de re, quam ne fiat optat. Cf. Demosthenica nostra p. 94 s.

Κόττυφον τὸν Φαρσάλιον] Demosthenes περὶ στεφ. p. 279. eum appellat Κόττυφον τὸν Ἀρκάδα. Natus ille forsitan erat in Arcadia, postero vero tempore domicilium constituit Pharsali in Thessalia. Hemsterhusius autem ad Lucian. Jud. Voc. 8. judicat nomen ipsum Κόττυφον eo ducere, ut homo fuerit Arcas: quod in Cyllene, Arcadiae monte, singulare genus avium, quae κόττυφοι appellabantur, inventum fuerit.

129. καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσι] Admodum lenes, mites se praebuerunt erga Amphissenses.

μετεστήσαντο] Μεταστήσασθαι, oppositum τῷ τὸν φυγόντα κατάγειν, est in exilium mittere. Demosth. κατὰ Ἀριστογείτ. B. p. 802. Ἀριστείδην μὲν γάρ φασιν ὑπὸ τῶν προγόνων μετασταθέντα ἐν Αἰγίνῃ διατρίβειν.

www.libtool.com.cn

Ἀμφικτυόνων ἐξέβαλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς Ἀμφισσέας στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον, ἐπανεληλυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης.

Ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ 130 θεοὶ φυλάξασθαι, μόνον γε οὐκ ἀνθρώπων φωνὰς προηκάμενοι; οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν ὅ τι χρὴ πράττειν, Δημοσθένης δὲ ἀντέλεγε, φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν καὶ ἀπο-

130. *φωνὰς προηκάμενοι*] Sic Bern. et Bekkerus in editione Hal. Vulgo *προςκτησάμενοι*. Composita ex *ἱέναι*, praesertim *ἀφιέναι*, de voce sunt propria. Hoc autem loco *προηκάμενοι* aptissimum. Quanquam vero aoristus medii rarior sit, offensionem habere non potest. Cf. Buttmanni ausführl. griech. Sprachlehre T. I. p. 542. Similis locus apud Demosthenem p. 9. *ὁ μὲν οὖν παρὼν καιρὸς – μόνον οὐχὶ λέγει φωνὴν ἀφιεὶς*, ὅτι cet.

*πολλῷ χρόνῳ ὕστερον*] Oratio hyperbolica eo oratoris consilio nata, ut ne ipse videretur Philippum in Graeciam vocare voluisse. Hinc rem ita exponit, quasi altera in Amphissenses expeditio longo tempore post primam, cui interfuit Aeschines, locum habuerit. Sed utraque fere conjuncta censenda, aut una nonnisi, ut patet ex iis, quae habet Weiske de hyperb. P. III. p. 23.

130. *ἡ τῶν μυστῶν τελευτή*] Repentina initiatorum mors, quae, ut fieri solet, irae divinae tribuebatur. Scholiastes: *λέγει δὲ ἐκεῖνο τὸ τέρας, ὅτι, κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλατταν ἐπὶ τὸ καθαρθῆναι, ἥρπασεν ἕνα τὸ κῆτος. πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς. οἱ δὲ λέγουσιν, ὅτι δύο ἔφαγεν.*

*φιλιππίζειν*] Verbum hoc a proprio viri nomine ductum rarum est in suo genere, nec simile se legisse praeter *Κυψελλίζειν* in Theogn. v. 890. testatur Valcken. Orat. de Philippo p. 255. not.; a gentibus enim ducta, qualia dantur multa, ab his esse diversa; sed ad illud efficta dare Macedonum historiam recentiorem: *Κασσανδρίζειν, Ἀντιγονίζειν, Σελευκίζειν*. Quod autem addit, illud verbum frustra quaesitum esse in orationibus Demosthenis, id non ita intelligi potest, quasi nusquam in Demosthene legatur. Nam *περὶ στεφ*. p. 287. legitur *μιᾷ*

λαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ
131 ἐξουσίας; οὐ τὸ τελευταῖον, ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; καίτοι γε πρώην ἀπετόλμησε λέγειν, ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν εἰς τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. τίνος οὖν εἰ σὺ ζημίας ἄξιος τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι, τοὺς στρατιώτας ἐξέπεμψας, πότερα στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερωρίσθαι;

www.libtool.com.cn

131. ὑπερωρίσθαι] Sic Bekkeri codices omnes, duobus exceptis, quod multo significantius est, quam quod vulgo legitur ὑπερορίζεσθαι. Praeteritum enim significat rem oportuisse jam esse factam. Vid. Demosthenica nostra p. 68. Buttmannus ad Mid. §. 29. p. 63.

γνώμῃ φιλιππίσαντας. ἔνθ. κατὰ Θεοκρ. p. 1331. οἱ μὲν ἐφιλίππιζον, οἱ δὲ ἠττίκιζον.

ἀπολαύων καὶ ἐμπιπλάμενος] Tropus ab edendo sumptus. Ἀπολαύειν is dicitur, qui cibo fruitur, tantum quantum decet probum et modestum hominem; ἐμπίπλασθαι est plus quam decet edere. Ἀπαίδευτος h. l. dicitur de impietate in deum ejusque sacerdotem.

131. τὸ τελευταῖον] Significat infelicem pugnam ad Chaeroneam, quae, ut Justini verbis utar IX. 3., universae Graeciae et gloriam dominationis et vetustissimam libertatem finivit. Ea accidit Archonte Chaeronda Ol. CX. 3.

ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν] Ἀκαλλιέρητον ἱερόν est, quod Latini dicunt, sacrum non litatum, diis ingratum. Idem est ἱερὸν ἄθυτον; α privativum enim hic habet significationem τοῦ δυς. cf. Hemsterhus. ad Aristoph. Plut. v. 968. Schol. Synonyma autem sunt juncta ad augendam notionem.

παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν εἰς τὴν χώραν] Nempe post pugnam Chaeronensem Athenienses timebant, ne Athenas invaderet et deleret Philippus. Quod quum non fieret, Aeschines Demostheni haud dubie contra veritatem objicit, hunc hoc non Philippi moderationi, sed sacrificiis non litatis tribuisse. De Philippi victoris moderatione bene disputavit A. G. Becker in libro: Demosthenes als Staatsmann und Redner. Vol. I. p. 9

τῆς Ἑλλάδος ἀλιτήριε] Ἀλιτηρίους dicebant grandi aliquo scelere impiatos et ideo ira divina exagitatos huc illuc vagantes. — Si qui in deos et religionum caerimonias commiserant, dicebantur θεῶν ἀλιτήριοι, et nomina eorum pilis inscribebantur, ut undique arcerentur neque alios praesentia sua contaminarent. Τῆς πόλεως ἀλιτήριοι sunt nefarii in civitatem, quorum quum esset saluti civitatis consulere, perniciem

Τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων 132
ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώ-
πινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομέ-
νοις μεθ' ἡμᾶς ἔφυμεν. οὐχ ὁ μὲν τῶν Περσῶν βασι-
λεύς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας,
ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς
ἐπιστολαῖς γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων,
ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ
κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ
σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δό-
ξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιω-
μένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν; Θῆ- 133
βαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν μίαν
ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως,

www.libtool.com.cn

132. τὸν Ἄθω] Bekkerus dedit Ἄθων ex uno codice. Sed apud Atticos scriptores ubique inveni optimos codices Ἄθω praeferentes. Apud Herodotum variant. Cf. Wasse ad Thucyd. V. 3.

133. Θῆβαι δέ, Θῆβαι] Secundum Θῆβαι addidit Reiskius ex Mor., quocum faciunt novem Bekkeri codices, et auctoritatem haec lectio accipit ex Demetrio περὶ ἑρμηνείας §. 267. Schneid., ubi legitur in exemplum ἀναδιπλώσεως: Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. Διλογηθὲν γὰρ τὸ ὄνομα δεινότητα ποιεῖ. Agatarchides de rubro mari p. 20. ed.

ei parant. Apud Dinarch. κατὰ Δημοσθ. p. 55. R. legitur τὸν τῆς Ἑλλάδος ὄλεθρον, ubi nunc ex codd. dedit Bekkerus ἀλιτήριον.

132. ἐφ' ἡμῶν] Nostra aetate. Ἐπὶ cum genitivo interdum temporis est.

βίον - ἀνθρώπινον] Vitam, qualis solet esse hominum, erroribus scilicet et inde natis incommodis obnoxiam, sed talem, quae stupore et furore sibi contraxit calamitatem. Hinc εἰς παραδοξολογίαν - ἔφυμεν: quae egimus et passi sumus, incredibilia, monstrosa, portentosa posteris videbuntur.

132. ὁ τὸν Ἄθω διορύξας] Copias et potentiam Xerxis Graeciam invadentis Graecos ὑπερβολικῶς expressisse nemo mirabitur. Humanum enim est in suis sibi rebus placere. Verum etiam historiae scriptores narrant per copias Xerxis fossam esse ductam per montem Atho, quae duas caperet triremes; atque qui nuperrimis temporibus locupletes testes iter conscripsere per Graeciam, etiamnum fossae vestigia exstare testantur, ut Choiseul - Gouffier voyage pittoresque de la Grece T. II. P. I. p. 145. sqq.

ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν] Phrasis Herodotea, qua quis absolutum obsequium flagitat, ut alter durissimis se conditionibus subjiciat.

περὶ τῆς τοῦ σώματος σωτηρίας] Verum est ad sententiam satis futurum fuisse περὶ τοῦ σώματος, ut scribendum arbitraba-

περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως, ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς

www.libtool.com.cn

Huds. pro ἀνήρπασται habet ἠφάνισται, quod in suo Ms. invenisse videtur. Sed per ἀνήρπασται celeritas excidii fortius exprimitur. Quae sub Dinarchi nomine fertur oratio κατὰ Δημοσθ. p. 17. itidem Thebarum urbem respiciens: πόλις ἀστυγειτόνων καὶ συμμάχων ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν κοινωνησάντων ἡμῖν τοῦ πρὸς Φίλιππον πολέμου: ubi notanda variatio a nostro loco per genitivum ἀστυγειτόνων, qui legitur etiam hic in tribus codicibus. Sed quum nomen urbis ipsum praecedat, adjectivum ἀστυγείτων melius additur substantivo πόλις, quam genitivus incolarum. Atque in Dinarchi loco I. §. 24. Bekkerus scripsit ex suis libris πόλις ἀστυγείτων καὶ σύμμαχος κ. τ. λ. — Ceterum neminem, opinor, hodie offendet βουλευσάμενοι — κτησάμενοι, quanquam cetera sequantur constructionem substantivi πόλις: quae constructio frequens imprimis apud historicos.

tur Taylor; sed facile observabit attentus lector in utroque juncto majorem inesse vim. Non celandum tamen in margine Venetae et Aldinae Victorium adscripsisse εὐτυχίας idque pro σωτηρίας offerre tres Bekkeri codices, ut olim etiam grammaticos locum tentasse et notionem εὐτυχίας addendam censuisse videas.

133. περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι] Τὰ ὅλα Graecis saepe sunt res summae, gravissimae, quae spectant reipublicae salutem et felicitatem. Sententia nostri loci est: quanquam parum Graeciae saluti consulerent. Βουλεύεσθαι absolute consilia capere, ut interdum Latini dicunt consulere. Post Leuctricam pugnam nimium sibi arrogarunt Thebani.

τήν γε θεοβλάβειαν] Θεοβλάβεια h. l. tropicum explicatur per proprium vocabulum ἀφροσύνη: summam enim indicat dementiam. Θεοὶ βλάπτειν φρένας ἀνθρώπων dicuntur, quum mentes hominum occaecant, quo minus recta et salubria perspiciant et in agendo sequantur, immo qui, quum suis se commodis prospicere opinentur, ipsi in perniciem se praecipitent. Sententia est: non humana stultitia laborasse Thebanos, sed divinitus vecordiam ii[s] inflictam fuisse.

προσαψαμενοι cet.] Quum Lacedaemoniis ab Amphictyonum senatu ob occupatam Cadmeam multa quingentorum, deinde, quod pecuniam non numeraverant, mille talentorum imposita esset, ob debitorum magnitudinem Phocensium partes sequebantur.

ὁμηρεύσοντες] Harpocration: ὅμηροί εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι. Quod Valesius putat, ὅμηρον obsidis significatione sub Alexandrina demum

www.jlbtool.com.cn

Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πειϭόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς, ὅ τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθησόμενοι.
134 ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους. καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν προσελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που, παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι.
135 λέξω δὲ κἀγὼ τὰ ἔπη· διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

Πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μητιάαται.

135. *Πολλάκι δὴ*] In Hesiodi editionibus, cujus ex ἔργ. καὶ ἡμ. v. 245. ss. hi versus desumti sunt, legitur *πολλάκι καί*, quae lectio apud Aeschinem ex uno tantum Bekkeri codice laudatur. Vulgares

tempora usurpari coeptum esse, virum doctissimum memoria in hac re fefellit. Nam ὁμήρους δοῦναι legitur jam apud Thucydidem I. 56, ubi Scholiastes ὁμήρους exponit τοὺς ἕνεκα εἰρήνης διδομένους εἰς ἐνέχυρα. καὶ ὁμήρους δοῦναι, ἵνα, ἐὰν ἀποστῶσιν, εὐάλωτοι γένωνται. Et saepius apud eundem legitur, ut etiam apud Xenophontem aliosque. — Lacedaemonii autem, Alexandro absente in Asia, idoneum belli reparandi tempus se nactos arbitrati, Graecos ad ineundam pro libertate concordiam exhortantur. Peloponnesiorum plurimi in hanc militiam nomina profitentur. Antipater autem, praefectus Alexandri, cum universis copiis, quas secum habebat, in Peloponnesum movet, et commisso acri proelio, Lacedaemonii tandem cedere coguntur. Accidit hoc Ol. CXII. 2.

134. *παιδεύων τὰ πλήθη*] Rarus est pluralis τὰ πλήθη de populis, de democratiis. Oppositionem facit cum plurali τύραννοι apud Demosth. Philipp. II. p. 71. μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. Ad analogiam τῶν δήμων, qui saepe ponuntur pro ταῖς πόλεσι δημοκρατουμέναις (conf. F. A. Wolf. ad Lept. p. 232.) dictum est.

135. *ἀπηύρα*] De hoc vocabulo accurate egit Buttmannus Lexilog. Vol. I. 75. sqq. De ἀτάσθαλα vide Heyne Obsvv. ad Il. IV. 409.

τοῖσιν δ' οὐρανόθεν μέγα πῆμα δῶκε Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ λαοί·
www.libtool.com.cn
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅ γε τεῖχος,
ἢ νῆας ἐνὶ πόντῳ τίνυνται εὐρύοπα Ζεύς.

136 ἐὰν δέ, περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον, τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν· καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

137 Ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μά-

Aeschinis editiones habent *πολλάκι δέ*, quod est in uno codice. Pro *μέγα πῆμα δῶκε Κρονίων* in Hesiodo et vulgaribus Aeschinis editionibus est *μέγ' ἐπήγαγε πῆμα Κρονίων*, quod est in uno nonnisi Bekkeri codicum. Fortasse Aeschinea lectio, quae olim etiam Hesiodea erat, mutata est a grammatico, qui vitium censebat esse in versu, quum *πῆμα* spondei vicem habeat. Certe tres codices, ut aliquo modo huic vitio medeantur, scripserunt *πῆμα ἔδωκε*. Sed quum in eo loco insignem caesuram longioremque pausam versus recipiat, in thesi spondaica quarti pedis heroici versus syllabum interdum esse ancipitem monuit Hermann. Ell. metr. p. 40. s. Post v. 4. inseruntur in Hesiodi editionibus hi duo versus:

*οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,*
*Ζηνὸς φραδμοσύνησιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε*

qui sunt etiam in uno Aeschinis codice. — v. 5. *ἢ ὅ γε τεῖχος*. Articulus subjecti postremo loco additus et librarios et viros quosdam doctos offendit. Sed cum vi illum a poetis sic additum esse satis docuit Robortellus ad Hesiodum. — v. 6. sic legitur in Hesiodo: *ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυνται αὐτῶν*. Hunc versum secundum codices facillime sic restitui posse judicat Rauchensteinius noster:

*ἢ νέας ἐν πόντῳ ἀποτίνυνται εὐρύοπα Ζεύς.*

Saltem in Aeschine, inquit, *Κρονίδης* interpolatum esse nemo negabit, qui codicum inspexerit lectiones; in Hesiodi autem ea recensione, qua nos utimur, *Κρονίδης* verum est. Victorius margini Venet. adscripsit

*ἢ νῆας ἐνὶ πόντῳ τίνυνται εὐρύοπα Ζεύς.*

137. *οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος*] Phrynondas *ἦν κακοήθης καὶ πανοῦργος, μισθοῦ τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥαδίως συντιθείς. ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι.* Haec Suid. s. v. Harpocrat. s. v. *Εὐρυβάτην. Ἔφορος ἐν τῇ ὀγδόῃ Εὐρυβάτην φησὶν Ἐφέσιον λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατείαν* (l. *στρατιὰν*) *συναπαγαγεῖν εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς Πέρσας, εἶτα προδότην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ· καὶ ἐντεῦθεν τοὺς πονηροὺς (προδότας) Εὐρυβάτας καλεῖσθαι.*

*μάγος καὶ γόης*] *Μάγος* proprie honoris nomen, sacerdotum nempe, sapientium et philosophorum in oriente, qui litterarum divinarum et humanarum studio, astrologiae et artis me-

γος καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄν-
θρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν βλέ-
πων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμ-
μαχίαν ὑμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρόν, οὐ διὰ
τὸν φόβον τὸν περιστάντα αὐτούς, οὐ διὰ τὴν ὑμετέραν
δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας. καίτοι 138
πολλὰς μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς
Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος
μὲν Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πι-
στευθεὶς ὡς οὐδεὶς ἕτερος, πάλιν Θράσων ὁ Ἑρχιεύς,
πρόξενος ὢν Θηβαίοις, Λεωδάμας ὁ Ἀχαρνεύς, οὐχ ἧτ-

www.jiblool.com.cn

§. 137. *οὐ διὰ τὴν ὑμετέραν δόξαν*] Sic duo Bekkeri codices pro vulgato *οὐδὲ διὰ* cet. Asyndeto oratio fit fortior, quam si omne asyndeton tollas, in antecedente membro cum Marklando scribens *οὐδὲ διὰ τὸν φόβον*.

138. *Θρασύβουλος*] Vulgo huic vocabulo praeponuntur *οὗτος στρατηγός*. Omittunt quattuor boni codices additamentum librarii dicae, se dabant; tropice quum sacerdotum et vatum genus hominum credulitate abuti soleret, *μάγους ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας*. Scholiastes ad Soph. Oed. T. 395. Vocabulum *γόης* Phrynich. Bekkeri Anecdd. p. 31. *Ἀττικώτερον* appellat *τοῦ μάγος*. Inter *μαγείαν* et *γοητείαν* hoc discrimen statuerunt nonnulli glossographorum: *Μαγεία μὲν οὖν*, inquiunt, *ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινος σύστασιν, γοητεία δὲ ἐπὶ τοῦ ἀνάγειν νεκροὺς δι' ἐπικλήσεως*. Haec tradit Suidas s. v. *γοητεία*.

*ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ*] Coacervatio invocatorum animum indicat commotum et est votum, ut, quicquid possit et valeat, ad rem sit attentum. Cf. Heindorf ad Platonis Prot. §. 5. cf. §. 260.

138. *Θρασύβουλος ὁ Κολλυτεύς*] Hic (*Κόλλυτος δῆμός ἐστι τῆς Αἰγηΐδος φυλῆς*) probe distinguendus a Thrasybulo *Στειριεῖ*, celebri illo Atheniensium libertatis restauratore, quanquam etiam *ὁ Κολλυτεὺς* teste Demosth. *κατὰ Τιμοκρ.* p. 742. *τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς ἦν*. Ejus ut *ναυάρχου* fit mentio apud Xenoph. Hellen. V. 1, 26.

*ὁ Ἑρχιεύς*] *Ἑρχεία δῆμός ἐστι τῆς Αἰγηΐδος, ὡς Διόδωρος*. Aliis scribitur *Ἑρχία*. Hinc formatur *δημότης Ἑρχιεύς*. *Θράσωνος τοῦ Ἑρχιέως* tanquam hominis industrii earum partium, ut Cadmea a Lacedaemoniis occupata Thebanis restitueretur, mentio fit in Dinarchi orat. *κατὰ Δημοσθένους* p. 30. R.

*Λεωδάμας ὁ Ἀχαρνεύς*] *Ἄχαρνα* vel *Ἀχαρναὶ δῆμος τῆς Οἰνηΐδος φυλῆς*, aberat Athenis LX. circiter stadiis, hedera ibi inventa clara. Traducebatur hic populus, ut carbonibus victum quaerens. Leodamas Acharnensis, Isocratis discipulus, quantum eloquentia excelluerit, patet ex hoc Aeschinis loco, tum ex

τὸν Δημοσθένους λέγειν δυνάμενος, ἀλλ' ἔμοιγε καὶ
139 ἡδίων, Ἀρχέδημος ὁ Πήληξ, καὶ δυνατὸς εἰπεῖν καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους, Ἀριστοφῶν ὁ Ἀζηνιεύς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, Πύῤῥανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἐδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. τὸ δ' αἴτιον οἶδα μέν, λέγειν δ' οὐδὲν δέομαι διὰ τὰς ἀτυχίας
140 αὐτῶν. ἀλλ', οἶμαι, ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰςήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰςῄει-

parum eruditi. Item in fine §. post ἡδίων — ῥήτωρ καὶ οὗτος omissum auctoritate quattuor codicum, item §. 139. δημαγωγὸς ante Ἀριστοφῶν et ῥήτωρ ante Πύῤῥανδρος octo codicum auctoritate.

139. Πύῤῥανδρος ὁ Ἀναφλύστιος] Sic habent octo Bekkeri codices pro vulgato Πύρανδρος. Etiam κατὰ Τιμ. §. 84. p. 66. meae ed. mentio fit Πυῤῥάνδρου, qui num idem sit, qui hic Ἀναφλύστιος a demo Ἀνάφλυστος τῆς Ἱπποθοωντίδος φυλῆς vocatur, nescio. In scribendo autem vocabulo plurimis optimisque codicibus obtemperavi, quanquam Bekkerus vulgatam retinuit.

Demosthenis Lept. p. 551. Ex hoc loco eum novimus legationem ad Thebanos obiisse, quibuscum ipsi aliquam necessitudinem intercessisse oportet.

139. ὁ Πήληξ] Δῆμός ἐστι τῆς Λεοντίδος φυλῆς, ὥς φησι Διόδωρος ὁ περιηγητής.

Ἀριστοφῶν ὁ Ἀζηνιεύς] Stephanus Byz. Ἀζηνιά ὡς Πλωθιὰ Λουσιά· δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς· ὁ δημότης Ἀζηνιεύς. Tres Aristophontes accurate distinxit Ruhnk. historia Crit. Orat. Graec. p. XLV. s.

140. Νίκαιαν] Nomen est plurium locorum. Secundum memorat Stephanus s. v. πόλιν τῶν Ἐπικνημιδίων Λοκρῶν. Strabo L. IX. 4. p. 522. Tzsch. eam in vicinitate Thermopylarum collocat. Hanc urbem in bello Phocensi Thessalis a Phocensibus ereptam Philippus illis restituit, ut eos sibi devinciret. Cf. Demosthenis Philipp. II. p. 71.

Ἐλάτειαν] Haec maxima urbs Phocidis appellatur. Sita est in valle satis ampla et fructuosa fluminis Cephissi a sinistra parte, modico clivo. De re confer Diodor. Sic. XVI. 84.

ἐχαράκωσε] Ab ὁ χάραξ. Vid. Lobeck ad Phrynich. p. 61 s. Χαρακοῦν est munimentis circumdare.

www.libtool.com.cn

τε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. ὁ δ' εἰσάγων ἦν 141
ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης, ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε, πρῶτον μὲν ὅτι Φιλίππου, τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιρούς, ἀλλὰ διὰ τὰς αὐτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι 142
βουλεύεσθαι, ἐπὶ τίσι δεῖ ποιήσασθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον, εἰ γίγνεται, τοῦτο δὲ προλαβών, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας

140. καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς] Sic quattuor Bekkeri codices ejusdem familiae pro vulgato καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοί. Supra §. 88. οἱ στρατιῶται οἱ ὑμέτεροι, πεζοὶ καὶ ἱππεῖς. Plerumque solent apud Athenienses οἱ πεζοὶ praecedere ἱππέας: quanquam interdum etiam altera collocatio ab omnibus libris firmatur.

διεσκευασμένοι] Verbum proprium de iis, qui ad proelium instructi et parati sunt.

141. τρία τὰ πάντων μέγιστα] I. Συμμαχία in Thebanorum commodum instituta. II. Per tempus συμμαχίας imminuta majestas populi Atheniensis et Thebanorum potentia aucta. III. Impedimenta, quo minus Thebani cum Philippo pacem facerent, objecta. — Primum momentum in duas partes discernitur: a) Demosthenes persuasit populo, ne ullus poneret conditiones, sub quibus συμμαχία institueretur; satis habere, si ea fieret. b) Duas belli sumtuum partes Atheniensibus imposuit, quorum minus erat periculum, et unam Thebanis, qui in summo periculo versabantur; imperium maritimum utrisque fecit commune, Athenienses autem stipendia ferre oportebat, terrestre fraude Thebanis dedit. Primum momentum inducitur per πρῶτον μέν et in hoc πρώτῳ duae hae partes per πρῶτον μέν — ✝ δεύτερον δέ: quod non oportebat offendere viros doctos. Sic enim saepe optimi scriptores. Vide quae dixi ad Cicer. de fin. I. 6.

ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε] Intelligit eam rationem, qua Philippus post pugnam Chaeronensem utrosque, tum Thebanos, tum Athenienses, tractaverit, mitis in hos, severus in illos.

www.libtool.com.cn

ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥςπερ εἴωθεν, ὡς τοὺς Βοιωτοὺς, ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ
143 μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας· δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀποτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις, ὥςτε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα, τὸν ἡμέτερον στρατηγόν, βουλεύ-

142. *βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις*] Aeschines inique traducit argutiam Demosthenicam. Demosthenes ipso verborum dilectu cives suos docere volebat non jam id agi, ut cum Thebanorum civitate in se spectata, parte tantum modo Boeotiae, inimica olim Atheniensibus, foedus inirent eique opem ferrent, sed ut societatem cum ea jungerent, quatenus ea esset totius regionis caput, summamque rem apud foederatos Boeotorum populos legitime administraret. Ejusmodi autem foedus ut cum tota Boeotia Thebanorum potentatui (Cicero de rep. II. 8) subjecta ea tempestate fieret, non solum civilis prudentia suadebat, sed si ita verbis concipiebatur, speciosius etiam erat ad plebis Atheniensis veterem simultatem mitigandam, longeque minorem ipsi oratori invidiam faciebat, quam si incaute Thebanos solos in populiscito nominasset.

*ὡς — ἀγαπήσοντας*] Frequens est apud Graecos, ut conjunctioni *ὡς* accusativus participii jungatur tanquam casus absolutus, ita ut in conjunctione insit notio verbi transitivi pro contextu varia, quamvis similis, *νομίζων, εἰδώς* cet. Cf. Matth. Gr. Gr. §. 568. 3. Rost. §. 131, 4.

143. *ἴδιον ὑμέτερον*] Non raro possessivum pro genitivo pronominis personalis adjectivo *ἴδιον* addi patet ex iis, quae habet Lobeck ad Phryn. p. 441.

*Στρατοκλέα, τὸν ἡμέτερον στρατηγόν*] Stratoclem novimus oratorem protervae linguae, qui, ut ex Dinarchi oratione *κατὰ Δημοσθ.* apparet, Demosthenem ob pecuniam ab Harpalo acceptam publice accusavit. De eo accurate egit Ruhnkenius ad Rutilium Lupum p. 82 ss. Imperatores in pugna Chaeronensi memorat Diodor. Sic. XVI. 85. Charetem et Lysiclem. Chares videtur is fuisse, qui summae rei praeerat. Polyaenus Strategem. IV. 2, 8. Charetem et Proxenum nominat. Stratoclis tamen meminit idem IV. 22. ita ut haud improbabile sit protervam ejus linguam hoc effudisse: *Ἀθηναίων Στρατοκλῆς ἐκβοήσας· οὐ χρὴ ἀποστῆναι προςκειμένους, ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν ἐς Μακεδονίαν, οὐκ ἀνῆκε διώκων.*

www.libtool.com.cn

σασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας. καὶ 144
ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω, καὶ πάντες ἐπιτιμῶσι, καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθε ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα 145
ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν, τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα πρεσβεύσειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε, εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν 146
ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν διαδικασίαν ἔφη γράφειν τῷ

145. τοῖς Βοιωτάρχαις] Non sunt οἱ προεστῶτες τῶν Θηβῶν, quos intelligendos videntur nonnulli opinati esse ex Polluce I. 128. Τῶν Θηβαίων ἴδιον οἱ Βοιωτάρχαι. Accuratius, opinor, Thucydidis Scholiastes II. 2. οἱ τῶν Βοιωτῶν ἄρχοντες. In numero etiam veteres dissentiunt, qui pro temporum diversitate diversus erat. Scholiastes numerum habet l. l. ἕνδεκα, ex ipso, ni fallor, Thucydide haustum IV. 91. τῶν ἄλλων Βοιωταρχῶν, οἵ εἰσιν ἕνδεκα. Parum recte affirmat autem O. Müller Geschichten Hellenischer Stämme und Städte T. I. p. 404. numerum ἕνδεκα nonnisi τοὺς ἄλλους Βοιωτάρχας comprehendere, excepto eo, qui post nominatim affertur Pagondas Thebanus, ita ut plenus Boeotarcharum numerus fuerit duodecim. Sed ita non praesens εἰσὶν posuisset Thucydides. Numerus duodenarius facilius ex Liv. XLII. 43. sumi posset. Vere de Boeotarchis meo judicio judicavit Fr. Kortüm zur Geschichte Hellenischer Staatsverfassungen, p. 87. – Demostheni autem nequaquam crimini vertendum est, quod per συμμαχίαν senatum Boeotorum rerum deliberandarum participem esse voluerit. Et haec ipsa erat Demosthenis mens, quam Aeschines hyperbolice calumniatur.

146. διαδικασίαν] Bekkeri Anecdd. p. 236. Διαδικασία: οὐχ ἁπλῶς πᾶσα δίκη διαδικασία καλεῖται, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστιν, ὅτῳ προσήκει μᾶλλον. Prioritätsstreit; vid. Hefter die Athenäische Gerichtsverfassung, p. 272. Der Attische Process, p. 367. ss. Platner der Process, zweites Buch, dritter Abschnitt. T. II. p. 17. ss. Ceterum sententiam, quae hic Demostheni tribuitur, versu expressit Cicero ex libris

www.libtool.com.cn

βήματι πρὸς τὸ στρατηγεῖον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέναι ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγείου. μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις, καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι, πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων ἀναρπασθέντων τῶν
147 ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς προγεγενημένης; καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται, ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναῤῥηθήσεται, τοῦτ' ἤδη ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις, μεγάλης ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

148 Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν Ἑλλήνων, οὐδ' ἀγνοοῦντος, οὐ γὰρ ἦν ἀσύνετος,

147. *προγεγενημένης*] Sic Bern. Helmst. et quattuor Bekkeri codices pro vulgato *γεγενημένης*. Librarios composita in simplicia mutare solitos esse jam saepe cognovimus. Non sine vi autem praepositionem addidit, ut ratio rerum consecutionis eo apertior sit.

de consulatu suo, quem servavit de Off. I. 22. 77.

Cedant arma togae; concedat laurea linguae.

*κεναῖς χώραις*] Stipendia scilicet accipiebant militum nomine, qui non militabant, more avarorum ducum, qui plures milites sub imperio suo stipendia facere simulant, quam faciunt.

*πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος – ἐμοῦ*] *Διαμαρτύρεσθαι* est Latinorum contestari, obtestari, deos hominesque testes vocare. *Σχετλιάζειν* est clamare aliquid *σχέτλιον* esse, improbum et iniquum, intolerabile. Aristoph. Plut. 477. jungit *σχετλιάζειν καὶ βοᾶν*. Hinc *σχετλιασμός* est conquestio, oratio, qua conquerimur et commoti sumus ex injuria vel adversa fortuna.

*ἀναρπασθέντων τῶν ξένων*] Hyperbolice de clade, quam passi sunt milites conducticii. Similem sententiae formam in seqq. vide apud Demosth. *περὶ τῶν ἐν Χεῤῥονήσ.* p. 94. ult.

www.libtool.com.cn

ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας σμικρῷ
μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιή-
σασθαι τὴν εἰρήνην, καὶ πρεσβείας ἀποστέλλειν μέλ-
λοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων
τὸν ἐπιόντα κίνδυνον εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευ-
τος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ
Φωκικὸς πόλεμος δεκαετὴς γεγονὼς ἀείμνηστον παιδεί-
αν αὐτοὺς ἐπαίδευσε, τούτων δὲ ἐχόντων οὕτως αἰσθό- 149
μενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας
μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ
παρὰ Φιλίππου λαβόντας, ἀβίωτον ἡγησάμενος εἶναι,
εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν
τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος οὔθ' ὡς
δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ,
ἀλλ' ὡς ᾤετο, τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προ-
κηρύττων ἀναφέρειν ἑαυτῷ τὰ μέρη τῶν λημμάτων, διώ-
μνυτο τὴν Ἀθηνᾶν, ἥν, ὡς ἔοικε, Φειδίας ἐνεργολα- 150
βεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἦ μήν, εἴ
τις ἐρεῖ, ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι,
ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν,

148. *καὶ λιπὼν τὴν τάξιν*] Fluctuant libri inter singularem *τὴν τάξιν* et pluralem *τὰς τάξεις*, qui foret pluralis hyperbolicus: cui infensos fuisse librarios jam saepius cognovimus. cf. supra §. 109. Hic pluralem habet optimus Helmst. et Bekkeri quattuor, ejusdem quidem familiae, qui forsitan praeferendus.

148. *ὁ Φωκικὸς πόλεμος δεκαετὴς*] Ammonius p. 136. s. *Τριέτες βαρυτόνως καὶ τριετὲς ὀξυτόνως διαφέρει, φησὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης. ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἔσται ἐπὶ χρόνου — ἐὰν ὀξυτονήσωμεν, ἔσται ἐπὶ ἡλικίας.* Si Mss. consideremus, scriptores hoc discrimen non agnoscunt. Car. Göttling in libro: Die Lehre vom Accent der Griechischen Sprache p. 88. statuit adjectiva ex *ἔτος* composita esse oxytona, contra si neutra adverbialiter usurpentur, esse barytona. — Belli autem Phocensis anni apud varios scriptores variant, dum a variis terminis progrediuntur. Conf. Weiske de hyperbole P. III. p. 19.

149. *τοῦτο κήρυγμά τι*] *Τοῦτο* est accusativus objecti, *κήρυγμά τι* accusativus praedicati. *Κηρυγμα* est mandatum vel a senatu datum, vel a populo jussum, quod voce praeconis promulgabatur. Hinc tropice significat jussum, cui tanquam a summo magistratu mandato sit obtemperandum: hoc quasi publica auctoritate sancitum.

www.libtool.com.cn

ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προςεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ τῆς
151 εἰρήνης, ἐνταῦθ' ἤδη παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ γράψειν ἔφη ψήφισμα ὁ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας αἰτήσοντας Θηβαίους δίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες, μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

152 Ἔνθα δὴ καὶ τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος, ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κινδυ-

150. τὴν Κλεοφῶντος πολιτείαν] Scholiastes ad Aristoph. Ran. v. 1580. ὡς Ἀριστοτέλης φησὶ μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι, ἐφ' οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν, ἐπὶ τοῦ Καλλίου (qui Archon Ol. XCIII. 3.) Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προςδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. Οὗτος δὲ ὁ Κλεοφῶν ὡς ξένος κωμῳδεῖται καὶ βάρβαρος. Turbulentus erat demagogus et similis Hyperbolo et Cleoni, quibuscum saepe jungitur. De eo cf. Ruhnkenii Historia Critica Oratorum Graecorum p. XCIV. ss.

151. ὁ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας] Haec locutio summum timoris gradum indicat: quam etiam Latini receperunt. Quae de hac formula colligi possunt, collegit et illustravit Bentlejus ad Horat. Od. I. 3, 18. Contra βλέπειν εἰς τινος πρόςωπον formula est impudentiam notans §. 152. ἐπιχειρήσειν ἐθελήσεις –, βλέπων εἰς τὰ τούτων πρόςωπα, λέγειν. Adde Demosthenem περὶ στεφ. p. 320. Ceterum ἀντιβλέπειν cum accusativo constructum memorat Priscianus L. XVIII. §. 190. p. 494. Krehl. Citat nempe hunc locum ita: ὁ μηδέποτε τοὺς πολεμίους ἀντιβλέψας. Sed videtur locum ex memoria laudasse, quum in nullo, qui exstant, codicum neque accusativi appareat vestigium. Et ἀντιβλέπειν quidem apud Atticos vel cum dativo, vel cum praepositionibus εἰς et πρός c. acc. construitur. Recentiores habent etiam accusativum sine praepositione. De legatione et successu Demosthenis cf. Plutarch. in vita Demosth. p. 854. c. 18.

www.libtool.com.cn

νον ἐτόλμησε, τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν
τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τὸν τῶν τελευτησάντων,
ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγά-
λα καὶ σπουδαῖα πάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς
δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρή-
σειν ἐθελήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων
πρόσωπα, λέγειν, ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμ-
φοραῖς στεφανοῦσθαι; ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπο-
μενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε,
καὶ ἡ ὑμετέρα μνήμη; γένεσθε δή μοι μικρὸν χρόνον τὴν 153
διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομί-
σαθ' ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψη-
φίσματος ἀνάῤῥησιν μέλλουσαν γίγνεσθαι, καὶ λογίσα-
σθε, πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων
πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς
ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν, ἢ ἐπὶ
τῇ τῆς πόλεως ἀγνωμοσύνῃ. τίς γὰρ οὐκ ἂν ἀλγή- 154
σειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως, ἀν-

153. γένεσθε δή μοι — τὴν διάνοιαν] Bern. τῇ διανοίᾳ, ex quo hanc lectionem ut optimam recepit Wunderlich; et is quidem casus in similibus locutionibus Aeschini est usitatissimus. §. 157. ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὴν συμφοράν. §. 186. προέλθετε οὖν τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν ποικίλην. Quum tamen accusativus ab reliquis omnibus libris confirmetur, isque ex legibus grammaticis locum habere possit, κατὰ Τιμ. §. 129. p. 192. meae ed. ἐπειδὰν δὲ — — τὰς φυγὰς ἐφ' ἑτέρων γένησθε, eum retinuimus.

154. ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς] Sic sex Bekkeri codices pro vulgato ἢ καί. Nempe καί est explicativum, ut saepe apud Latinos et. Possis etiam reddere et omnino, ut amplificetur Ἕλληνος notio: non Graecus solum, sed si forte inter ceteros homo sit liberaliter educatus. Vide Hermannum ad Vigerum p. 838.

152. τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τὸν τῶν τελευτησάντων] Haec verba conjungenda sunt: δραπέτης, quod plerumque substantive ponitur, hoc loco adjective positum est. Nam, ut vere monet Brunckius ad Soph. Oed. T. v. 81., substantivi pro adjective positi exempla passim obvia, nec apud poetas solum, sed etiam apud prosae scriptores. De re cf. Plutarch. vita Demosthen. p. 855. c. 21.

ἐπιχειρήσειν ἐθελήσεις] Ex Thoma M. p. 159-168. videtur patere, Grammaticos nonnullos antiquos statuisse non jungi posse verba, quae voluntatem significent, cum futuro in-

www.libtool.com.cn

μνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίγνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κήρυξ καὶ παραστησάμενος τοὺς ὀρφανούς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν, ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ
155 καλεῖ εἰς προεδρίαν. τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ' ἀνερεῖ, ἢ τί φθέγξεται; καὶ γὰρ ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγ-

finitivi, eoque nostro loco sequitur Marklandus, qui conjicit ἐπιχειρῆσαι vel ἐπιχειρεῖν. Sed optimorum scriptorum usum hoc non omnino rejecisse satis docuit Lobeck Parerga post Phryn. p. 747. s. In Bern. glossa est τολμήσεις. Interdum, ut hic, indicatur quod proxime instat: Audebis statim aggredi, quod nullo unquam tempore audendum sit.

154. μελλόντων — τῶν τραγῳδῶν γίγνεσθαι] Cf. supra §. 41.

τοὺς ὀρφανοὺς] Laudat Diogenes Laert. vita Solon. L. I. §. 55. legem, quae jubet τῶν ἐν πολέμοις τελευτησάντων τοὺς υἱοὺς τρέφεσθαι καὶ παιδεύεσθαι. Commentarii vicem praestat Plato Menex. p. 248. c. Nostro autem loco hoc ipsum Aeschines Demostheni crimini vertit, quod non suppetias tulerit legi praestantissimae, sed orborum salutem suae ambitioni posthabuerit. Tantum abest, ut concludi possit eorum, qui in pugna Chaeronensi ceciderint, liberos Athenienses publicis impensis educandos curasse.

ἀγαθῇ τύχῃ] Est formula bene ominantis et precantis, ut aliquid bene cedat: quod felix faustumque sit, quod bene vertat. Xenophon Cyrop. IV. 5, 51. s. τούτους λαβὼν ποίει, ὅπως ἄριστόν σοι δοκεῖ εἶναι. δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά.

καὶ καλεῖ εἰς προεδρίαν] Populum iis locum principem in theatro assignare ad spectandos ludos promulgat. Haec προεδρία inter praemia et honores erat, quae civibus et peregrinis bene de civitate meritis a populo dabantur. Cf. Schoemann de Com. p. 335. s.

155. ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται] Haec est apodosis, et ἀλλά vim habet affirmativam: in quo hae-

www.libtool.com.cn

γεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ,
στεφανοῖ ὁ δῆμος ὁ Ἀθηναίων ἀρετῆς ἕνεκα τὸν κά-
κιστον, ἀνδραγαθίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοι-
πότα τὴν τάξιν. μὴ πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων 156
θεῶν, ἱκετεύω ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τρό-
παιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου
ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλ-
λήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκε-
τε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώ-
ρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδε-
χθε τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλε-
σεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν χρυ-
σίον· ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ἀλλὰ 157
ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφο-
ράς, καὶ νομίσαθ' ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τει-
χῶν κατασκαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖ-
κας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους,
πρεσβύτιδας γυναῖκας ὀψὲ μεταμανθάνοντας τὴν ἐλευ-

156. *μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν*] Negationem omittunt quattuor codices, cui repetitae saepe infensi erant librarii. Pro *ἀφ'* tres codices supra scriptum habent *καθ'*. Vere F. A. Wolfius ad Leptin. p. 295. »Frequentissimus est, inquit, usus particulae *ἀπό*, ubi tropaei de populo positi mentio fit, fortasse inde, quod armis tropaea ornari solebant, victo hosti detractis. Verum simpliciter quoque dicitur *τρόπαιον στῆσαί τινος* vel *κατά τινος.*« Hoc autem loco *ἀπό* significat caussam rei ordiendae; nempe tropaei caussa ducitur ab degenerato Atheniensium ingenio. Dubitare non oportebat Wolfium. Est enim frequens jam inde ab Homero. In primis hoc fit, quum protasis incipiat ab *ἐπειδή*, ut paullo post.

156. *μηδ' αἱρεῖτε παρανοίας - - τὸν δῆμον*] *Αἱρεῖν* cum accusativo personae et genitivo rei est convincere aliquem vitii, criminis. Cf. Astium ad Plat. de Legg. VI, 9. Xenophon. Memor. I. 2, 49. *φάσκων κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι.* Plato de Legg. XI. 3. p. 928 c. *πατέρας ὑπὸ νόσων ἢ γήρως διατιθεμένους αἰσχρῶς ἐξεῖναι παρανοίας γράφεσθαι.*

157. *ταῖς γε διανοίαις* cet.] Hanc descriptionem et antiquos technicos laudasse et Romanos oratores imitatos esse non mirum. Per partes enim ita persequitur Thebanorum calamitates et miserias, ut etiam rudis animus commoveri et misericordia perfundi debeat. Cf. Muretum Varr. Lectt. VIII. 10. qui Ciceronem saepius hunc locum imitatum esse ostendit. Homericae imagines complures videntur Aeschinis animo obversatae esse.

θεωρίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους
οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπι-
σκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον
στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν
158 συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι. οὔ-
τε γὰρ πόλις οὔτ' ἀνὴρ ἰδιώτης οὐδεὶς πώποτε καλῶς
ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος. ὑμεῖς δ', ὦ
ἄνδρες Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορ-
θμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε,
ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ,
τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς
αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ
τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετραφότα τοῦ-
τον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

159 Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ
τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπο-
μνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρα-
τοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πό-

158. *ἀνατετραφότα*] Pares fere libri hanc formam praebent et *ἀνατετροφότα*. Hinc retinui eam, quam Bekkerus dedit, lectionem. At singulorum scriptorum usum in hoc quoque maxime attendendum esse opinor. Aeschines vero ejusque aetas formam *τέτροφα* videtur praetulisse. De o in perfecto activi vide Buttmann ausführl. Griech. Sprachlehre. T. I. §. 97. Anm. 2. p. 423.

158. *καλῶς ἀπήλλαξε*] *Ἀπαλλάττειν* cum adverbio de exitu dicitur, quae ad finem fuerit sors. *Καλῶς ἀπαλλάττειν* prospera fortuna discedere, *αἰσχρῶς ἀπαλλάττειν* turpem exitum habere.

*πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας*] Legem cognoscimus ex hoc nostro loco, quae facile fidem meretur, quoniam nautas Athenis Salamina vehentes cuncta, quae cursum in tam propinquum locum periculosum facere poterant, cognoscere et facile evitare oportebat, quum distantia locorum nonnisi *διστάδιος* esset.

*ἵνα μηδεὶς αὐτοσχεδιάζῃ*] Radix est *σχεδία*, i. e. *ναῦς ἀκατασκεύαστος, ἀπὸ ξύλων μόνον ἀπερίττως συντεθειμένη*. Schol. ad Eur. Hec. 113. Hinc *σχεδιάζειν* tropice tum de verbis dicitur, quae temere effunduntur, tum de factis, quae negligenter et inconsulto conficiuntur. Compositum *αὐτοσχεδιάζειν* eandem significationem habet. Accurate de verbi significationibus exposuit Piersonus ad Moerin p. 46. s.

www.tbtool.com.cn

λεως, τριήρη προςλαβὼν ὑμῶν καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε. καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροςδοκήτου σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα ὑμᾶς αὐτὸν ἐκέλευε χειροτονεῖν· ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προςετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. ἐπειδὴ δ' ἐτελεύτησε μὲν Φίλιππος, Ἀλέξανδρος 160
δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ τερατευόμενος ἱερὰ μὲν ἱδρύσατο Πανσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων θυ-

159. *ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως*] Quatenus post cladem Chaeronensem, pericula sibi imminentia reformidans, populiscito perlato, quo pecuniae a stipendiariis cogendae munus sibi demandaretur, (id quod opinor, inest in verbis *τριήρη προςλαβὼν ὑμῶν*) hanc per caussam Athenis excesserat, itaque stationem domi sibi, ut ceteris civibus, a republica commissam non magis tuitus erat, quam militarem apud Chaeroneam. Mox autem, quum propter insperatam urbis salutem ipsi quoque nihil jam esset timendum, propere redire cunctatus non erat. *Ἀργυρολογεῖν* est verbum proprium de iis, qui a sociis, vel, ut vera dicamus, tributariis, praesertim insulis, pecunias publico nomine colligerent.

*εἰρηνοφύλακα*] Hoc in invidiam nomen adhibuisse videtur Aeschines. Quum scilicet post pugnam Chaeronensem amentes quidam et temerarii instarent non cedendum esse Philippo; Demosthenes, calamitatem patriae perspiciens, earum videtur partium fuisse, ut lenitati Philippi obtemperaretur et pax, civitati tam necessaria, pie servaretur.

*ἐπιγράφειν*] Narrat Plutarchus in vita Dem. p. 855. c. 21. τοῖς ψηφίσμασιν οὐχ ἑαυτόν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάῤῥησε, Φιλίππου τελευτήσαντος. Nausicles erat aequalis et familiaris Demostheni, populo gratus, saepius coronatus ob liberalitatem, qua erga patriam usus erat.

160. *πάλιν αὖ τερατευόμενος*] *Τερατευόμενος*, quod glossographi explicant *μηδὲν ἀληθὲς μηδ' ὑγιὲς λέγων, δολιούμενος, ψευδόμενος*, hic de habitu externo, de vultu et gestu dicitur ejus, qui superbe, quae dicunt et agunt alii, despicatur et deridet. *Πάλιν αὖ* est familiaris Atticis parallelismus. Componunt adeo triplex *αὖθις αὖ πάλιν*, ut Sophocl. Philoct. 252., ubi vide Brunckium. Morem hunc nemo copiosius illustravit H. Stephano de dialecto Attica p. 69 - 74.

*ἱερὰ μὲν ἱδρύσατο Πανσανίου*] Statuam coronatam cum ara fortasse poni jussit tyrannicidae, ut tanquam alter Harmodius et Aristogiton sancte coleretur. Nempe ut *τρόπαια στῆσαί τινος* (cf. §. 156.), sic *εἰκόνα στῆσαι, ἱδρῦσθαί τινος* et similia, pro *τινί*.

www.libtool.com.cn

σίας τὴν βουλὴν κατέστησεν, ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο, ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας· ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα καὶ τὰ σπλάγχνα φυλάττοντα. καὶ ταῦτα λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀκριβῶς εἰδώς, ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς οὐκ ἔχων αἷμα καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως,
161 ἀλλ' ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας. ἤδη δ' ἐψηφισμένων Θετ-

*εἰς αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν*] Culpam senatui contraxit, cum hilaria celebrasse. Laetus nuntius (*εὐαγγέλια* plerumque numero plurali) celebrabatur sacrificiis, quum praesertim res nuntiata gravioris erat momenti. Xenophon Hellen. I. 6, 38. IV. 3, 14. In hac re non segnis videtur fuisse Demosthenes; populus tamen ipse hoc modo suam laetitiam expressit, ut refert Plutarch. p. 855. c. 22. *εὐθὺς οὖν ἔθυον τὰ εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν.*

*Μαργίτην*] Harpocration: *ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.* Erat poema satyricum in stultum, inscriptum *Μαργίτης*, ὃς *πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.* Ceterum ne inconditus sit jocus, probe tenendum, Alexandrum a Demosthene ita appellatum fuisse, quod eum Achillis admiratione (Cicero pro Archia X, 24.) quodammodo insanire audiverat. Imbibisse autem animo videtur hujus herois imitationem jam a prima pueritia. Plutarchus Alex. p. 667. B. c. 5. extr. *Λυσίμαχος ὁ τὰ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δ' Ἀλέξανδρον Ἀχιλλέα, Πηλέα δὲ τὸν Φίλιππον.* Quod quum novissime Demosthenes audivisset, Alexandrum acerbissime risit, quippe hunc fere in modum Achilli comparandum, quemadmodum stolidissimus heros Margites, qui item Pseudo-Homerum nactus est rerum suarum praeconem.

*καὶ τὰ σπλάγχνα φυλάττοντα*] Hoc esse potest proverbium, simile populari Italorum salvar la pancia pei fichi, et plebejo nostro zu seinen Kuteln Sorge tragen. Sed praestare videtur interpretatio plerorumque interpretum, eum exta victimarum inspicere, ut divinare possit, num audendum sit: quod erat timidi et nimium superstitiosi; neque obstat *τοῦ αἵματος* in seqq. mentio; nam qui exta curiosius contulit, vel hoc ipso satis testatur, quantum sibi caveat, ne in acie sanguinem effundat. Videtur autem vocabulum *αἷμα* bis in seqq. positum duplici significatione usurpasse. Priore loco hoc vult: »qui veram fortitudinem sectetur, huic non esse vulnera reformidanda, nec mortem ipsam.« Altero autem *αὐτὸς οὐκ ἔχων αἷμα* significat robur. A copia enim et sinceritate sanguinis pendere robur arbitrabantur veteres. Exposuit hoc Victorius Varr. Lectt. XXV, 21. Eadem significatio etiam in priore membro locum habere possit; sed praefero alteram.

www.libtool.com.cn

ταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ' ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἧκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων. καὶ τὸ πάντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς νῦν προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται. ὡς γάρ φασιν οἱ πάραλοι 162
καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον, καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται[1], ἔστι τις Ἀριστίων Πλαταϊκός, ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός, εἴ τις ἄρα

162. *οἱ πάραλοι*] Sic quattuor Bekkeri codices et Victorius margini ed. Venetae adscripsit pro vulgato *παράλιοι*. Harpocration: *Πάραλος μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριηρῶν ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου· οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τετταράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον μέρος ἐνιαυτοῦ οἴκοι ἔμενον· ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως.* Quod H. Valesius in Harpocratione restituendum censet *παράλιοι*, eo non opus. Non enim solùm antiqui Grammatici hoc nomen ita scribunt (Pollux VIII. 116. *οὐ μόνον πάραλοι, ἀλλὰ καὶ παραλῖται*), sed etiam apud optimos scriptores hanc formam codd. tenent constanter, ut apud Thucyd. VIII. 73 et 74.

161. *τοῦ νεανίσκου*] Erat quidem Alexander eo tempore, quo hoc accidebat, Ol. CXI. 2., annos natus duo et viginti.

*ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος*] Commentarii loco est quod narrat Plutarchus in vita Dem. p. 856. c. 23.

*ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ*] Videtur hic senatus Amphictyonum intelligendus. Certe ex Demosthenis oratione *περὶ στεφ.* p. 331. apparet adversarios ipsi *ἀμφικτυονικὰς δίκας* intendisse, et hoc ipsum nomen *τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον* sibi in dogmate tribuit hoc consilium. Atque etiam Alexander, quum tradi sibi postularet demagogos, id videtur voluisse, ut caussam apud Amphictyonas dicerent. Cf. etiam Tittmann über den Bund der Amphiktyonen p. 62. et p. 128 s.

162. *οἱ πάραλοι*] Quod Reiskius opinatur, hic *πάραλοι* non locum habere, sed scribendum esse *Φαρσάλιοι*, in eo nimirum fallitur. Nam legati in ea, quae *πάραλος* nominabatur, navi vehebantur et vectores appellabantur *πάραλοι*. Ceterum Graecum est idioma *ὥς φασιν — ἔστι* cet. Nos quidem diceremus *φασὶν εἶναι* cet.

*Ἀριστίων*] Harpocration s. v. *οὗτος Σάμιος μέν ἐστιν ἢ Πλαταιεύς, ὥς Δίυλλός φησιν, ἐκ μειρακυλλίου ἑταῖρος Δημοσθένους. ἐπέμφθη δὲ ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον.*

www.libtool.com.cn

καὶ ὑμῶν γιγνώσκει. οὗτός ποτε ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος ᾤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ· ὅ τι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ λέγειν. οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις ποτ' ἐστὶ καὶ πῶς βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει καὶ πλησιάζει ἐκείνῳ. διὰ τούτου γράμματα πέμψας ὡς Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ διαλλαγὰς καὶ πολλὴν κο-
163 λακείαν πεποίηται. ἐκεῖθεν δὲ θεωρήσατε, ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ τι τούτων ἐφρόνει Δημοσθένης καὶ πολεμικῶς εἶχεν, ὥσπερ καί φησι, πρὸς Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος. εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ἡμᾶς εἰς τὴν συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους ἑαυτῷ κινδύνους. εἶπάς τινα ἐνταῦθα λόγον, Δημόσθενες, ἢ

καὶ πολλὴν κολακείαν πεποίηται] Quattuor Bekkeri ejusdem familiae codices habent καὶ πολλὴν τὴν κολακείαν πεπ. quae lectio haud displicet Casparo Orellio nostro.

163. ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων] Sic tres Bekkeri codices pro vulgato ἀπαρασκεύων. Atque ἀκατασκεύων multo aptius videtur de turbato ordine rerum domesticarum, quum contra ἀπαρασκεύων defectum significet copiarum, quas paratas esse oportet contra conatus externorum. Idem est, quod Alexander ipse apud Lucianum Dialogg. Mortt. XII. sic exprimit: τεταραγμένην ἀρχὴν κατέσχον. De re cf. Diodor. Sic. XVII. 2., unde apparebit hunc καιρὸν non tam opportunum fuisse, quam fingit Aeschines.

διαφέρων γενόμενος] Marklandus pro γενόμενος conjicit πεφυκώς. In uno codice vocabulum prorsus deest. Constructionem ego vindicavi ad §. 10.

τὸν Ἀλέξανδρον ὑποτρέχει] Ὑποτρέχειν τινά tropice dicitur se insinuare, sich bei Einem einschleichen. Plato de Legg. XI. 6. p. 923. b. ἐάν τις ὑμᾶς θωπείαις ὑποδραμὼν πείθῃ, ubi vide Astium.

163. καιροὶ κάλλιστοι] Infensum scilicet regi animum non factis probandi, sed verbis.

εἰς τὴν Ἀσίαν διέβη] Primum non Alexander ipse trajecit, sed Attalum et Parmenionem misit. Quae vero quis per alios fieri jubebat, ea non solum poetae, sed etiam oratores tribuunt jubenti.

www.libtool.com.cn

ἔγραφάς τι ψήφισμα; βούλει σε θῶ φοβηθῆναι καὶ χρήσασθαι τῷ αὐτοῦ τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυ- 164
νάμει Δαρεῖος καταβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κιλικίᾳ πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα δὲ μάλα ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει καὶ τὰς ἐπιστολάς, ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων ἀποκαλῶν καὶ κατεστέφθαι φάσκων, εἴ

*τῷ αὐτοῦ τρόπῳ*] Unus Bekkeri codex et duo ex correctione habent *τῷ σαυτοῦ τρόπῳ*. Ego retinui ceterorum codicum lectionem. Assentior enim Hermanno ad Soph. Trach. 451., qui monet *αὐτοῦ* initio poetarum et in his tragicorum licentia de prima secundaque persona dictum esse, inde paullatim in communem usum venisse, ac primo in plurali, ne opus esset *ἡμῶν αὐτῶν, ὑμῶν αὐτῶν* dicere. Nos ex Demosthene satis multa attulimus in Demosth. p. 71.

*ῥητορικὴν δειλίαν — οὐκ ἀναμένει*] Non exspectat, dum oratoris ignavia in animositatem ascenderit.

164. *ἀπειλημμένος ἐν Κιλικίᾳ*] Videtur intelligere pugnam ad Issum, Ciliciae urbem. Ibi ingentem Darius exercitum et acerrimum equitatum congregaverat, et anceps aliquamdiu erat proelium. Magna utrarumque partium strages facta erat; ipse etiam Alexander, cum suis Darium ipsum ejusque satellites petens, in femine sauciabatur. Tandem Persae, quum regem ipsum trepidantem viderent, fugam capessunt. Sed quum fuga per angustias locorum fieret, mutuo semet ipsi concursu proculcant et interficiunt. Pugnam describit Diodorus Siculus XVII. 33 s. Vide Alexandrum personatum de hac pugna loquentem apud Lucian. Dialogg. Mortt. XII. 5.

*ἐξηρτημένος ἐκ τῶν δακτύλων*] In ἐξηρτημένος cogita de vinculis, quibus Graeci colligare solebant epistolas (Corn. Nep. Paus. c. 4.). Haec igitur digitis circumvoluta Demosthenes cum gravitate ostentabat quasi a locupletibus testibus, rerum conditionis optime gnaris et certum eventum indicantibus profecta.

*περιῄεις*] Lobeck. ad Phryn. p. 237. hanc formam dubiam esse existimat. Sed quum eam Mss. omnes teneant, quumque eadem pluribus locis ab omnibus codd. firmetur, cum Bekkero eam retinui, quum praesertim similes formae, in quibus Atticos *θα* apposuisse affirmant Grammatici, apud oratores inveniantur sine lectionis varietate, ut *ᾔδεις* Isaeus p. 42. *εἰ ᾔδεις ἐξ αὐτῆς*, ib. *ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ*. Antiphon. p. 712. *εὖ γὰρ ᾔδεις*.

*χρυσόκερων — καὶ κατεστέφθαι*] Per haec vocabula significatur victima immolationi consecrata, quippe cujus cornibus aurum inducebatur et capiti co-

www.libtool.com.cn

τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπρα-
165 ξας οὐδὲν, ἀλλ' εἰς τινα καιρὸν ἀνεβάλλου κάλλίω. ὑπερ-
βὰς τοίνυν ἅπαντα ταῦτα ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ καὶ διέφθειραν τοὺς περὶ Κόῤῥαγον στρατιώτας, Ἠλεῖοι δ' αὐτοῖς συμμετεβάλοντο καὶ Ἀχαιοὶ πάντες πλὴν Πελληναίων καὶ Ἀρκαδία πᾶσα πλὴν Μεγάλης πόλεως, αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι, ὁ δ' Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης μεθειστήκει, ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ' ἐσόμενον

rona imponebatur. Vide interpretes, imprimis Grotium, ad Acta Apost. XIV. 13. Huc pertinet oraculum, quod Pythia dedit consulenti de expeditione in regem Persarum Philippo, servatum a Diodoro Sic. XVI. 91. et Pausania VIII. 7, 4.

ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον, ἀλλὰ ἐς αὐτὸν ἔχον Φίλιππον.

εἰς τινα καιρὸν ἀνεβάλλου κάλλίω] Oratores Attici medium ἀναβάλλεσθαι usurpant ad indicandam cunctationem ac procrastinationem rerum eam, quae fit ex desidia et languore, activum autem ἀναβάλλειν ratione hominum, quos de industria retinemus, aut vero malitiose retardamus, dein etiam ratione rerum, quarum eventum consilio malo reprimimus. Nostro loco autem est ex ignavia rem rejicere.

165. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ] Per τὸ ξενικόν h. l. forsitan intelliguntur copiae, quae post pugnam ad Issum amissam ex Persarum exercitu, ipso instigante Dario, in Peloponnesum trajecerant, seditionem hujus regionis adjuturae. Primum Lacedaemonii ἐπέτυχον μάχῃ, prospere res iis cessit, et pessum dederunt milites, quorum dux erat Κόῤῥαγος. Dubitant interpretes, utrum Κόῤῥαγος sit nomen ducis an castelli, nec antiquitas unum alterumve decernit. Mihi videtur ducis nomen esse, quum addita sit praepositio περί. Nam στρατιῶται περί τινα sunt copiae sub alicujus imperio militantes. Corragus autem is fuisse videtur, qui primum Antipatri agmen ducebat.

Ἠλεῖοι] populus Peloponnesi parum bellicosus, qui calliditate suam plerumque salutem et utilitatem quaerebat.

Μεγάλης πόλεως] Post pugnam Leuctricam Epaminondas oppidula Arcadum in unam novam urbem conjunxit, quae molesta esset Lacedaemoniis, Ol. CII. 2. Exstructio erat perfecta Ol. CIII. 1. Quadraginta κῶμαι eo confluxere, teste Diodoro XV. 70. Μεγάλη πόλις Atticis dicitur; seriori demum tempore Μεγαλόπολις nominari coepit, ut eam appellant Romani.

ἐπίδοξος ἦν ἁλῶναι] Miror aoristum post ἐπίδοξος neminem tentasse. Eum autem satis munivit Lobeck. ad Phrynichum p. 132 s. cf. Excurs. VIII. ad Lys.

ἄδηλον ἦν. ἐνταῦθ' ἡμῖν ἀπόδειξιν ποίησαι, ὦ Δημό-
σθενες, τί ποτ' ἦν ἃ ἔπραξας καὶ τί ποτ' ἦν ἃ ἔλεγες·
καὶ εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴ-
πῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω 166
σοι, ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νυνὶ λέξω. οὐ μέμνησθε αὐ-
τοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς,
ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθὼν
»ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες
τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πρα-
γμάτων, φορμοῤῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς πρῶτον
ὥςπερ τὰς βελόνας διείρουσι.« ταῦτα δὲ τί ἐστιν, ὦ κί- 167

τί ποτ' ἦν ἃ ἔλεγες·] Marklandus conjecit ὅ, quo non opus. Nam post τί plerumque ponitur pluralis relativi, quanquam in eo saepe offenderunt viri docti et librarii, et vel τίνα reposuerunt vel ὅ. Vide Heindorf. ad Plat. Gorg. §. 136.

166. ὦ σιδήρεοι] Phrynich. p. 207. χρύσεα, ἀργύρεα, χάλκεα, κυάνεα, ταῦτα Ἰακά. Χρὴ οὖν λέγειν χρυσᾶ, ἀργυρᾶ, χαλκᾶ, κυανᾶ τὸν Ἀττικίζοντα. Quanquam vero cetera ubique contracta habet Aeschines, hoc σιδήρεοι tamen, quod apud eum hoc uno loco legitur, et ab omnibus codicibus firmatur, et Lobeckius ad Phrynichum et Bekkerus in editione recte, opinor, toleravit. Ceterum σιδήρεος, ut Latinorum ferreus, hominem significat durum, qui nulla re afficitur, callum obduxit.

ἀμπελουργοῦσι] Tropus, cujus nullum in Demosthenis scriptis vestigium, a cultura vitium desumptus. Et ἀμπελουργεῖν totum quidem vinitoris opus complectitur, cujus tamen praecipua laus versatur in sollertia vitium putandarum, ἐν τῷ ἀνατέμνειν τὰ κλήματα. Qui vero inscite opus hoc perficiunt, incrementum impediunt vitium, aut eas prorsus destruunt. Sic tropice haec verba intelligenda: »Sunt qui barbarorum vinitorum instar civitatem putandam susceperunt, et ut illi bonos vitium palmites dissecant, sic hi fortes cives et patriae amantes exterminant et dejiciunt.«

ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων] τὰ νεῦρα τῶν πραγμάτων sunt χρήματα καὶ σύμμαχοι. Cf. Pollux II. 234. Fortasse nostrum locum respexit Cicero de lege agrar. c. Rullum 33, 91. fin. nervis urbis omnibus exsectis, urbem ipsam solutam et debilem relinquunt. Cf. interpretes ad Gregor. Cor. p. 53.

φορμοῤῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς πρῶτον ὥςπερ τὰς βελόνας διείρουσι] Hunc locum desperatissimum esse conclamant viri docti. Difficilem esse ejus interpretationem verum est, nec mirum, quum locutiones hae tanquam portenta loquendi afferantur. Φορμοῤῥαφεῖν est stoream consuere, einen Korb flechten. Quomodo passivum φορμοῤῥαφεῖσθαι accipiendum sit, videtur innui addito ἐπὶ τὰ στενά, — ἐπὶ τὰ στενὰ ἐμπίπτειν ὥςπερ ἂν εἴ τις εἰς φορμὸν ἐγκλείοιτο: tantis angustiis premi, ut si quis in stoream fuerit inclusus. Πρῶτον, prius quam

ναδος; ῥήματα, ἢ θαύματα; καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ »ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι, ὁμολογῶ Θετταλοὺς καὶ Περῤῥαιβοὺς ἀφιστάναι.« σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προςέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πρόςεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προςκαθιζήσει, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν

167. ὦ κίναδος] Sic quattuor Bekkeri codd. pro vulgato ὦ κίναιδος. Haec vocabula et genere et significatione sunt diversa. Κίναιδος, ὁ, ἀρσενικῶς ὁ πόρνος. κίναδος, τὸ, οὐδετέρως θηρίον τι, οὗ τὸ δέρμα εἰς περικεφαλαίας κατασκευὴν ἐπεποίητο. Σικελιῶται δὲ τὸ κίναδος ἀλώπεκα ἐκάλουν. Unus locus, quo affertur κίναδος genere masculino, Theocrit. V. 25. καὶ πῶς, ὦ κίναδ', εὖ τάδε γ' ἔσσεται ἐξ ἴσου ἄμμιν; videtur corruptus et scribendum uno vocabulo κιναδεῦ, tanquam Doricum. Graecis est convicium usitatum: improbe, vafer.

προςκαθιζήσει] Sic Bekkerus ex Lobeckii conjectura ad Phryn. p. 269. pro vulgato προςκαθεσθήσῃ, de quo Phrynichus l. l. ἐκαθέσθη, καθεσθεὶς, καθεσθήσομαι καὶ τὰ πληθυντικὰ καθεσθή-

includunt, ὥςπερ τὰς βελόνας διείρουσι. Sensus est: Non solum angustia loci premimur, verum etiam quasi acubus pungimur. Wunderlichio ex Mss. vestigiis in mentem venit legendum esse τινὲς πρωκτὸν τὸν Ἀθηναίων ὥςπερ ταῖς βελόναις διείρουσι. Non id, inquit, agendum esse censeo, ut ἀηδία illa, quam et verba reliqua Demostheni tributa arguunt, et quam supra §. 72. acerbe vituperaverat Aeschines, conjectando molliatur vel tollatur.

ῥήματα, ἢ θαύματα] Hunc locum respiciens Cicero Or. VIII. 26. In hoc ipso (Demosthene), inquit, diligenter examinante verborum omnium pondera, reprehendit Aeschines quaedam et exagitat, illudensque dira, odiosa, intolerabilia esse dicit. Quin etiam quaerit ab ipso, quum quidem eum belluam appellet, utrum illa verba an portenta sint: ut Aeschini ne Demosthenes quidem videatur Attice dicere.

167. κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος] Non prae gaudio, uti faciunt pueri laetitia subacti, sed ostentationis gratia, quasi dicat: Ecce ego, qui hoc unus perfecerim, ecce iterum.

Περῤῥαιβοὺς] Perrhaebi regionem tenebant in septentrionali parte Helladis a flumine Peneo; et posteriore tempore Thessalis adjungebantur.

μὴ ὅτι] Μὴ est ellipticum. Idem est ac si dixisset: μὴ εἴπω ὅτι. Cf. de hac locutione Bosii Ell. p. 775. Schaef.

προςκαθιζήσει] Tropus, qui est in καθίζεσθαι, sumtus a palaestra et athletarum certamine, quum duobus certantibus assidebat tertius, ἔφεδρος, qui, cer-

τι συμβῇ, προσποιήσῃ καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις· ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ· ἐὰν δὲ θαῤῥήσωμεν, δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι.

Ναί, ἀλλὰ δημοτικός ἐστιν. ἐὰν μὲν τοίνυν πρὸς 168
τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε ὥσπερ καὶ πρότερον, ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε. ἐκείνως δὲ ἀπολάβετε παρ' αὐτοῦ τὸν λόγον. ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω ποῖόν τινα εἰκός ἐστιν

σονται ἔκφυλα. Λέγε οὖν καθέζομαι, καθεδοῦμαι, καθεδεῖται, καθεδοῦνται, καθεδούμενος. Unus codex habet προςκαθεδίζεις εἰς et tres προςκαθεδίζειν εἰς: qua varietate probabilis fit Lobeckii emendatio.

δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι] Quattuor codices Bekkeri pro στεφανοῦσθαι scribunt ἀξιώσεις στεφανοῦσθαι. Librarii videntur offendisse in constructionis variatione, quum αἰτήσεις primo constructum sit cum accusativo substantivi, dein cum infinitivo verbi. Sed interdum sic antiqui variant. De variatione constructionis vide quae habet et laudat Ruhnkenius ad Rut. Lup. p. 95 sq.

168. ἐὰν - - ἀποβλέπητε] Tres Bekkeri codices ἀποβλέψητε: qui aoristus quum cum conjunctione ἐάν similibusque junctus vim habeat futuri exacti, et in apodosi sequatur futurum indicativi, forsitan praeferendus est.

tamine duorum finito, cum victore congrediebatur, cujus vires priori certamine erant defatigatae. Possis igitur vertere insidiari.

ἐὰν δ' αὐτόματόν τι συμβῇ] Συμβαίνει vocabulum est medium et nexu aut addita determinatione in bonam vel malam partem definitur. Ἄν τι συμβαίνῃ absolute positum est euphemismus, similis Latino si quid acciderit. Hoc loco αὐτόματον indicat id sensu bono accipiendum esse: si quid casu, forte fortuna obtigerit.

προςποιήσῃ] Προςποιεῖσθαι est in genere sibi acquirere, quod non oportet, sibi arrogare, cum qua saepe conjuncta est vel simulandi vel mentiendi significatio.

σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις] Ἐπιγράφειν ἐπί phrasis est propria eorum, qui honoris caussa nomina inscribunt in donaria; hinc tropica significatio eadem, quam explicuimus ad verbum προςποιεῖσθαι. Possit etiam sumtum esse de nominis inscriptione ejus, qui ψήφισμα tulerit, ut hoc significetur, Demosthenem re aliqua bene gesta ejus eventum secundum sibi tribuere solitum, nomine suo decreto clam inscripto.

www.libtool.com.cn

εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον· ὑμεῖς
δ' ἀντιθέντες ἑκάτερα τούτων θεωρήσατ' αὐτὸν μὴ ὁπο-
169 τέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν. οἶμαι
τοίνυν ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν τάδε δεῖν ὑπάρξαι
τῷ δημοτικῷ, πρῶτον μὲν ἐλεύθερον αὐτὸν εἶναι καὶ
πρὸς πατρὸς καὶ πρὸς μητρός, ἵνα μὴ διὰ τὴν περὶ τὸ
γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις, οἳ σώζουσι τὴν
δημοκρατίαν, δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν
τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ τό γ' ἀναγκαιό-
τατον μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς τῶν προ-
170 γόνων ἀτυχήμασι κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν. τρί-
τον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν
καθ' ἡμέραν δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς
δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου, τέταρτον εὐγνώ-
μονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν
προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥή-
τορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μή,
τήν γ' εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. πέμ-

169. *ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν*] Bekkerus ex quattuor codicibus ejusdem familiae edidit *ὁμολογῆσαι*. *Ἂν* cum futuro interdum jungi nondum dubitare possum. Alibi aptior erit de hac re disserendi locus.

168. *φαῦλον*] Ut *δημοτικῷ ἀνδρί* explicativum *σώφρονι* addidit, sic *τὸν ὀλιγαρχικὸν* explicat per *φαῦλον*, qui idem est cum *κακῷ*, *δολίῳ*. Ut enim *οἱ ὀλιγαρχικοὶ* ex natura rei proni sunt ad superbiam et importunitatem, sic Atheniensibus, *δημοκρατίας*, ne dicam *ὀχλοκρατίας*, studiosissimis, *ὀλιγαρχικὸς* et *φαῦλος* idem erat.

169. *βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι*] Vindicans ea, quae, ut opinatur, injuste passi sunt majores. De vi *τοῦ βοηθεῖν* vide supra §. 109.

170. *διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης*] *Ἀσέλγεια* h. l. improba facta et lasciviam ut caussam profusionis notat, per profusionem ex lascivia natam, per sumtus libidinosos.

*τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα* cet.] *Τὴν διάνοιαν* est subjectum; *τὴν διάνοιαν τοῦ ῥήτορος*, consilium, probitatem oratoris, ut in altero membro *τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον*, quae per *ἓν διὰ δυοῖν* dicta sunt pro *τὸν πεπαιδευμένον λόγον* vel *τὸν λόγον πεπαιδευμένου ῥήτορος*, ein gebildeter Vortrag, der Vortrag eines gebildeten Redners.

www.libtool.com.cn

πτον ἀνδρεῖον εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς κινδύνους ἐγκαταλίπῃ τὸν δῆμον. τὸν δ' ὀλιγαρχικὸν πάντα δεῖ τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι; σκέψασθε δὴ τί τούτων ὑπάρχει Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.

Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, 171
ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι· τὰ δ' ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω. Γύλων ἦν ἐκ Κεραμέων. οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο, θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς

171. πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω] Interrogandi signum, quod vulgo deest, apposuit Bekkerus. Et gravior quidem est ista separatio enuntiationum. Hoc imprimis faciendum, quum responsio sit ἐγὼ φράσω, ἐγὼ ἐρῶ, ἐγὼ διδάξω: quod solet esse hominis gravitatem

παρὰ τὰ δεινὰ καὶ τοὺς κινδύνους] Παρά cum accusativo saepe temporis notionem habet et singula rerum momenta exprimit vertique potest h. l. in ipsis periculis, momento periculi. Subtiliter praepositionem illustravit Buttmannus in Ind. Orat. in Mid. s. v.

ἐπὶ πᾶσι δικαίοις] Toupius conjecit δίκαιος, ut adjectivum referatur ad λογισμός, quam conjecturam merito vanam appellat F. A. Wolfius ad Leptin. p. 308. Nam ἐπί saepe conditionem notat et ἐπὶ πᾶσι δικαίοις est sub ea conditione, ut veritas plane observetur, convenienter aequitati, veritati. Demosthenis Leptin. p. 79. Wolf. ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ποιούμεθα τοὺς λόγους. κατὰ Στεφ. ψευδομ. B. p. 1134. ἣν ἂν ἐγγυήσῃ ἐπὶ δικαίοις, conditione ea, ut fruatur juribus legitimae uxoris.

171. ἐκ Κεραμέων] Harpocration: Κεραμεῖς δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος, ὥς φησι Διόδωρος. Φησὶ δὲ Φιλόχορος ἐν τῇ τρίτῃ εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμεικῆς τέχνης, καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ. Fortasse duplex erat δῆμος hoc nomine appellatus, ut duo erant Κεραμεικοί, alter intra urbem, alter extra eam, ubi sepeliebantur et celebrabantur ii, qui in bello ceciderant.

Νύμφαιον τὸ ἐν Πόντῳ] Stephanus Byzant. s. v. Νύμφαιον, πόλις Ταυρική (urbs Chersonesi Tauricae) μεταξὺ Παντικαπαίου τῆς μητροπόλεως καὶ Θεοδοσίας, ὥς φησι Στράβων. Locus Strabonis, quem respicit, est L. VII. 4, 4. p. 309. Cas. Harpocration s. v. addit: Κρατερὸς δὲ ἐν ἐνάτῃ τῶν ψηφισμάτων φησὶν, ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

φυγὰς — — ἐγένετο — — τὴν κρίσιν οὐχ ὑπομείνας] Nempe reorum cuique licebat ἐν αὐτῇ τῇ δίκῃ e patria excedere; sin vero

www.libtool.com.cn

Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων
172 τοὺς ὠνομασμένους Κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ Δία καὶ χρυσίον ἐπιφερομένην πολύ, Σκύθιν δὲ τὸ γένος, ἐξ ἧς γίγνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας συνῴκισε τὴν μὲν ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ' ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ Παιανιεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς πολέμιος

affectantis, ut monuit Wyttenbach. ad Plutarchi Moralia p. 94. Oxon. Infra §. 197. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; ἐγὼ λέξω. §. 201. τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ. Demosthenes περὶ στεφ. p. 233. τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω.

accusator persisteret in accusatione et judicium reum condemnaret, φυγὰς ἐγένετο ὁ τὴν δίκην οὐχ ὑπομείνας, i. e. nunquam ei redire in patriam licebat.

εἰς Βόσπορον] Βόσπορος urbs Ponti ad fretum lacus Maeotidis, quod in Pontum Euxinum tendit. Non diversam esse hanc urbem a Panticapaeo ostendit F. A. Wolfius ad Demosth. Leptin. p. 255.

παρὰ τῶν τυράννων] »Omnem horum regulorum seriem nuperrime pertexuit St. Allais l'Art de verifier les dates avant l'ère Chretienne. Paris. 1819. T. III. p. 28.« Orellius.

τοὺς ὠνομασμένους Κήπους] Harpocration: Κῆποι (ut recte Valesius scribit pro Κῆπος) πόλις ἐστὶ κατὰ Βόσπορον. Diodorus Sic. XX. 24. φυγὼν εἰς τοὺς καλουμένους Κήπους. Urbs erat haud exigua, ab hortis amoenis appellata, Milesiorum colonia. Harduinus ad Plin. Hist. Nat. VI. 6.

172. χρυσίον ἐπιφερομένην πολύ] Ἐπιφέρεσθαι de uxore dotem ferente habuimus in Lysiae pro bonis Aristophan. §. 14. Hinc patet minime opus esse contra libros cum Wolfio scribere εἰσφερομένην.

ὁτῳδήποτε] Non nemini, cujus nomen non afferam. Ejus tamen nomen cognoscimus ex ipso Demosth. κατὰ Ἀφόβου Α. p. 818. Δημοχάρης δὲ ὁ Λευκονεύς, ὁ τὴν τηθίδα τὴν ἐμὴν ἔχων. p. 836. Δημοχάρης, ἔχων τὴν ἀδελφὴν τῆς ἐμῆς μητρός, θυγατέρα δὲ Γύλωνος. Quae de eo ex antiquitate narrantur, collegit Ruhnkenius ad Rutil. Lupum p. 7. ss. Scripsit orationes aliquot et historiam rerum.

παριδὼν τοὺς τῆς πόλεως νόμους] Quae jubebant γαμεῖν ἀστήν; et ἀστῆς tantum uxoris liberi erant γνήσιοι. Mulieres enim peregrinae inhonestae atque meretrices habebantur. Habemus legem severam apud auctorem orationis Demosthenicae κατὰ Νεαίρ. p. 1363. Alia lex, quae ostendit, qua severitate cuncta ad hoc genus pertinentia Athenienses tractaverint, legitur ibidem p. 1350.

www.libtool.com.cn

ἂν εἴη τῷ δήμῳ, θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε, τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός
ἐστι. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν τίς ἐστιν; ἐκ 173
τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον δ' ἐκ τῆς πολιτείας εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο. νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ, ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμε-
τέρων κινδύνων. περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύ- 174
ναμιν πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιΐᾳ, ὥστ' ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται· ἤδη

*τῶν προγόνων*] Pluralis positus est ratione sententiae. Proprie unus respicitur avus Gylon.

173. *λογογράφος — ἀνεπήδησεν ἐπὶ τὸ βῆμα*] Ammonius: *Λογογράφος καὶ λογοποιὸς διαφέρει. Λογογράφος μὲν γάρ ἐστιν ὁ τοὺς δικανικοὺς λόγους γράφων* (sc. *μισθοῦ ἕνεκα*), *λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.* Macula haesit interdum in utroque. Cf. Valesium ad Harpocr. p. 304. Hoc loco oppositio est inter *λογογράφον* et *τὸν ἐπὶ τὸ βῆμα ἀναβαίνοντα*, ut hyperbolicum vocabulum *ἀναπηδᾶν* vulgari vocabulo exprimam. *Λογογράφος* igitur etiam hic est caussidicus, qui orationes judiciales vel ipse habet, vel scriptas aliis tradit; *ὁ ἀναβαίνων ἐπὶ τὸ βῆμα*, qui suggestum ascendit tanquam demagogus, orator et consultor in rebus publicis. *Ἐκ τριηράρχου*, quum ex ditissima classe fuisset eorum, quibus ob divitias munus trierarchiae injunctum erat. Cf. F. A. Wolfii Prolegom. in Leptin. p. C. et ss.

*καταγελάστως*] H. l. i. q. *ἀσελγῶς*, per voluptates libidinosas.

*ἐπικέκλυκε*] Locum hunc laudat Diodorus Sic. XVII. 4. *Ἐπικλύζειν* quidem tropice de pecuniis saepe dicitur, quae abunde affluunt, ut patet ex exemplis, quae attulit Wesselingius l. l. Suidas s. v. *ἐπικλύσασα: ἐπιδαψιλεύσασα. Τὸ βασιλικὸν χρυσίον* est aurum a rege Persarum datum, ut Macedonum consiliis obsisteret.

174. *πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι*] Brachylogice hoc dictum ita intelligendum: *πῶς πέφυκεν; οὕτως ὥστε δεινῶς λέγειν*, *οἷος δεινῶς λέγειν.*

*παιδοποιΐᾳ*] Apparet Aeschinem ex obliquo Demostheni objicere procreationem liberorum ex *ἑταίραις*.

www.libtool.com.cn

γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ
175 μὲν λόγοι καλοί, τὰ δ᾽ ἔργα φαῦλα. πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι, ἢ ὑμεῖς μὴ συνῄδειτε αὐτῷ, διατριβὴν ὁ λόγος ἄν μοι παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις, καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων, ὁ παλαιὸς νομοθέτης, ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσίν. τίνος ἕνεκα; ἵν᾽ ἕκαστος ἡμῶν, τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους, ἀμείνων
176 ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιῤῥαντηρίων τῆς ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ᾽ εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχή-

**175.** *εἰσίν*] Sic scripsit Bekkerus nulla notata varietate. Quum id eum suorum codicum auctoritate fecisse existimem, id retinui.

**175.** *τὸν ἀστράτευτον*] Cf. supra in Lysiae oratione *κατὰ Ἀλκιβ. λειποτ.* §. 7. qui commentarii loco erit. Ceterum *ὁμοίως* jungendum cum *ἐνέχεσθαι.*

**176.** *ἔξω τῶν περιῤῥαντηρίων*] Sunt cancelli, intra quos nemini *ἀτίμῳ* intrare licebat. Nomen habebant, quod subsellia, quibus sedebant cives, porcellorum, qui post in mare abjiciebantur, sanguine aspergebantur. Cf. G. Fr. Schoemann. de Com. L. I. c. 8. Quod si quis, unius trium horum criminum convictus, legi non obtemperabat, rapiebatur ab Undecimviris ad Heliastarum tribunal, ut ei poena aut multa irrogaretur.

*τὰ ἱερὰ τὰ δημοτελῆ*] Harpocration: *δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων.* Bekkeri Anecdd. p. 240. *τὰ μὲν δημοτελῆ θύματα ἡ πόλις δίδωσιν, εἰς δὲ τὰ δημοτικὰ οἱ δημόται, εἰς δὲ τὰ ὀργεωνικὰ οἱ ὀργεῶνες, οἳ ἂν ὦσιν ἑκάστου τοῦ ἱεροῦ, εἰς δὲ τὰ τῶν γενέων τὰ γένη.* Cf. Boeckh. Staatsh. T. I. p. 228.

*τοῖς τραγῳδοῖς*] »Non erat quod Reiskius ex Helmst. *ἐν τοῖς τραγῳδοῖς* rescriberet. Constructionem imitantur Latini. Cicero Philipp. I. 15, 36. Quid enim gladiatoribus clamores innumerabilium civium? ubi vide interpretes.«

www.libtool.com.cn
στραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι. θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι, ἀλλὰ τίς ἐστιν.

Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως 177
ἔτι μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται· τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον 178
ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε, ὅτι ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ πότερον τότε ἦσαν πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ

178. σιτήσεις] Male Reiskius ex cod. Helmst. σιτίσεις scripsit. Nam si de honore illo civibus praeclare de republica meritis publice victum quotidianum praebendi sermo est, non adhibetur σίτισις. Verbum enim est σιτεῖσθαι et poetarum loci veritatem satis ostendunt. Aristoph. Ran. v. 96. Σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν. Infra §. 196. scriptura σιτήσεις a nemine tentatur. Qui in perpetuum illo praemio ornati erant, ἀείσιτοι dicebantur; alii honoris caussa semel ad coenam in Prytaneo invitabantur, ut legati post administratam legationem domum reversi.

Wunderlich. In ipsa Aeschinis παρανόμων γραφῇ, quam servavit Demosthenes περὶ στεφ. p. 243., legitur absolute τραγῳδοῖς καινοῖς.

178. δωρεαὶ δέ cet.] Idem deplorat Cornel. Nepos Milt. VI. 2. »Ut enim populi nostri honores quondam fuerunt rari et tenues, ob eamque caussam gloriosi, nunc autem effusi et obsoleti, sic olim apud Athenienses fuisse reperimus.«

καταπέπλυται τὸ πρᾶγμα] Pollux VII. 38. πλύνειν καὶ τὸ λοιδορεῖν καὶ πλυνόν με ποιεῖς ἢ

www.libtool.com.cn

τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ᾽ οὐκ ἐκ προνοίας ποιεῖσθε.
179 οὔκουν ἄτοπον οὑτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ᾽ ἀμείνους; ἐγὼ δὲ τοῦθ᾽ ὑμᾶς ἐπιχειρήσω διδάσκειν. οἴεσθ᾽ ἄν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Ὀλύμπια, ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων παγκράτιον, ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἂν ποτ᾽ ἠθέλησεν
180 ἐπασκεῖν. νῦν δ᾽, οἶμαι, διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολά-

179. *τότε μᾶλλον ἢ νῦν ἰσχύειν*] Bekkerus cum quattuor codicibus ejusdem familiae vocabula *ἢ νῦν* omisit. Ego opinor grammaticum offendisse in constructione. Si enim diversorum temporum particulae sunt in eadem enuntiatione, interque eas particula praesentis temporis, verbum plerumque in tempore praesenti ponitur. Demosthenes *περὶ στεφ.* p. 236. *ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν.*

*οἴεσθ᾽ ἂν ποτε – ἐθελῆσαι*] Vulgo deest *ἄν*. Et aoristum quidem sine *ἄν* positum per se satis vindicavi in Excursu VIII. ad Lysiam. Hic tamen quum quinque Bekkeri codices *ἄν* addant et agatur de re sumta tantum, quam noveris vere nec evenisse nec esse, additum *ἄν* retinui.

*κωμῳδίᾳ φησὶν ἤγαγεν ὀνειδίζεις ἢ αἰσχύνεις.* καὶ τὸ *οὐδενὸς ἄξιόν τι ἀποκεφάνθαι ὁ ῥήτωρ ἔφη Αἰσχίνης.* Aristoph. Acharn. 379.

*Διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου*
*κἀκυκλοβόρει κἄπλυνεν,*

ubi Scholiastes: *κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ πλύνειν εἴποι τις ἂν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεῖν· τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας.* [Vid. Porson. Advers. p. 111. Meineke ad Menandr. p. 221.]

179. *παγκράτιον*] Quintil. Institt. II. 8, 13. Si quis exercendi corpora peritus docendum pancratiasten susceperit, non pugno ferire vel calce tantum, aut nexus modo, atque in his certos aliquos docebit, sed omnia, quae sunt ejus certaminis. Pugno ferire et calce erat pugilum; nexus luctatorum, *συμπλοκαί*; utraque pancratiastarum. Verum quum pugiles caestibus dimicandi jus haberent, pancratiastis nonnisi pugnis non armatis videtur licuisse certare.

www.libtool.com.cn

βετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς
ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι, ἐὰν μὲν τὰς δωρεὰς
ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολ-
λοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ
καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς
φύσεις διαφθερεῖτε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σα- 181
φέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων
ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς, ὁ στρατηγήσας, ὅτ' ἐν τῇ
περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημο-
σθένης, ὁ τὴν τάξιν λιπών; Μιλτιάδης δέ, ὁ τὴν ἐν
Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος;
ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες;
Ἀριστείδης δ' ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον
ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς 182
τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦ-
μαι μεμνῆσθαι τοῦ θηρίου τούτου κἀκείνων τῶν ἀνδρῶν.
ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὐτοῦ λόγῳ, εἴ
που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι.
ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὐκ, ἀλλὰ μεγαλόφρων, κἀ-
κεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι· οὐ γὰρ

182. *κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι*] Taylor in Mead. repererat *ἀνάξιοι*. Hinc interrogative conjecit scribendum: *κἀκεῖνοι δὲ – ἀνάξιοι*; Quanquam vero etiam tres Bekkeri codices habeant *ἀνάξιοι*, non tamen videtur a vulgata lectione recedendum. Aeschines enim in responsione conjungit et populum et cives de republica bene meritos, adjuncto suo alterutris praedicato. Populus enim erat *μεγαλόφρων*, qui non parva magnis virtutibus praemia convenire judicabat; et ii ipsi, qui non parvis praemiis hono-

180. *ἀγωνοθέτας*] *Ἀγωνοθέται* et *ἀθλοθέται* utrique iidem sunt Atticis scriptoribus, quanquam Moeris p. 97. hoc solum Atticorum dicit, illud Ἑλλήνων, et quanquam interpretes nonnulli hos solum *γυμνικά*, illos *τὰ μουσικὰ ἀκροάματα* direxisse affirmant. Pollux VIII. 94. *ἀθλοθέται δέκα μέν εἰσιν, εἷς κατὰ φυλήν.* Latini munerarios dicunt, quo vocabulo primum Augustum usum esse testatur Quintilian. VIII. 3, 34., quum antea domini ludorum vel editores nominarentur.

181. *Ἀριστείδης δ'*] H. Wolfius *Ἀριστείδης θ'*. Perperam. Singula exempla in progressu enumerantur per particulam *δέ*, nonnunquam cum indignatione. Demosthenes *περὶ παραπρ.* p. 398. *ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτύοσι, ἐπανορθώσεσθαι δὲ τὴν εἰρήνην.*

ῴοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι.

183 Ἦσάν τινες, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τοὺς τότε καιρούς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκῇ εἶ-
184 ναι ἐπίγραμμα. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν Ἑρμῶν·

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,

rabantur, digni erant generosa civitate. Particula autem γε huic loco aptissima. Est quod nos dicimus **gerade**, **eben**. Hanc particulae vim illustravit **Hermannus** ad Vigerum p. 826.

183. *ἐπὶ τῷ Στρυμόνι*] Intelligitur Cimonis expeditio in Thracia, cujus regionis flumen erat Strymon, quod cum valido exercitu eum trajicere jubebant Athenienses, ut sociis urbibus auxilium ferret et quae Persarum adhuc praesidiis tenebantur, in libertatem vindicaret. Primum enim Eionem (*Ἠϊόνα*) Persarum jugo adhuc pressam dolo cepit, et terra marique pari fortuna usus est. Exponit haec **Diodorus** Sic. XI. 60 seqq. **Plutarchus** Cim. p. 482. c. 7-10. tetigit **Thucyd.** L. I. 98. Contigerunt haec Ol. LXXVII. 3. 4. Qui labores erant Atheniensibus tolerandi, perspicitur ex **Herod.** VII. 107.

*ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν*] Porticus quaedam in foro, de qua **Harpocrat.** s. v. Ἑρμαῖ, *Μενεκλῆς ἢ Καλλίστρατος ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί. Ἀπὸ τῆς ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς* (vide intpp. ad Platonis Euthyphr. 1.) *εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ὑπὸ ἀρχόντων, ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν.* Praestantium virorum laudes aliaque epigrammata Hermis inscribi solebant, quorum tria exempla noster laudat §. 184 s. eademque habet **Plutarch.** in Cimone l. l. Cf. **Demosthenem** in Leptin. §. 93. Wolf.

184. *ἦν ἄρα* cet.] Tria haec epigrammata etiam in Anthologia Graeca T. IV. p. 148. ed. Jac. laudantur inter *ἐπιγράμματα ἀδέσποτα*. *Ἦν* pro *ἦσαν*.

www.lbtool.com.cn

λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα
πρῶτοι δυςμενέων εὗρον ἀμηχανίην.
ἐπὶ δὲ τῷ δευτέρῳ·
Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.
ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ· 185
Ἔκ ποτε τῆςδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἂμ πεδίον,

184. *ἀμφὶ ξυνοῖσι πράγμασι*] In Anthologia legitur *ἀμφὶ περὶ ξυνοῖς*, quod ex Plutarcho primum venit in Brunckii Analecta. Sed quando in Homero *ἀμφὶ περί* legitur, *ἀμφί* adverbialiter positum est. Pleonasmus autem cujuscujus praepositionis nonnisi in certis formulis invenitur, ut monuit Hermann. ad Vigerum p. 854. *Ἀμφί* autem interdum, imprimis apud poetas, significat quod attinet ad, ratione. Vide Matthiae Gr. Gr. §. 583. *Ξυνός* videtur esse alia dialecto idem vocabulum, quod Attica pronuntiabat *κοινός*. Wunderlich. autem scripsit *ξυνοῖσιν*, quod hac aetate media syllaba pentametri elegiaci semper producitur, ut docuit in singulari dissertatione Fr. Traug. Friedemannus. Hic tamen sequens vocabulum a *πρ* incipiens tolerabilem facit codicum lectionem.

*μόχθον ἔχειν*] Plutarchus habet *δῆριν ἔχειν*. Videtur tamen laboris et molestiae notio aptior, quam litis et contentionis.

Uberius de hac forma exponit Choeroboscus Anecdd. Bekker. p. 1293. Quattuor Bekkeri codices habent glossam *ἦσαν*.

*λιμόν τ' αἴθωνα*] Apud Homerum inter alia *αἴθων* est epitheton leonis, quod alii de fulvo colore, alii de ferocia et violentia interpretantur. Quicquid est, *αἴθω* proprie habet calefaciendi notionem, et inde derivata est notio incendendi, urendi, et similes. *Λιμὸς αἴθων* id est, quod in nonnullis regionibus ein brennender, in aliis ein grimmiger Hunger vocatur. Cf. Ovidii Metam. VIII, 827. furit ardor edendi. Adde 837 sqq. Ez. Spanhem. ad Callimachi H. in Cer. v. 67.

*πρῶτοι δυςμενέων*] »Primi omnium viam et rationem invenerunt, qua hostes in consilii inopiam conjicerent.« Jacobs.

*μισθόν*] praemium, honorem.

185. *Μενεσθεύς*] Respicitur ad Homeri Il. II. 552., qui sic de Menestheo:

τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

www.libtool.com.cn

ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

186 Προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἂν ὅτι Μιλτιάδης, ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι, παρα-
187 καλοῦντι τοὺς στρατιώτας. ἐν τοίνυν τῷ Μητρῴῳ παρὰ

185. *χαλκοχιτώνων*] Plutarchus habet *θωρηκτάων*, quod offert etiam Bern. et habent tres Bekkeri codices supra versum, idque recepit in editione hujus orationis Wunderlich., annotans adverbium *πύκα* unice favere lectioni *θωρηκτάων*, non vero vocabulo *χαλκοχιτώνων* convenire, atque etiam Homerum, qui saepe *πύκα θωρηκτάων* usurpaverit, nusquam habere *πύκα χαλκοχ.* Quod quanquam concedimus, seriore tamen tempore synonymis idem adverbium addi poterat. Manuscriptos igitur codices secutus sum.

*κοσμητῆρα*] Sic Bekkeri quattuor codices. Idem suprascriptum in tribus. Vulgo legitur *κοσμήτορα*, quod est in nullo Bekkeri codicum, nisi suprascriptum in uno. Ceteri contra metrum *κοσμήτορα*. Et in casibus obliquis Homerus ubique habet o breve. Forma quidem *κοσμητήρ* nescio an nusquam legatur; sed derivationis regulis non minus convenit quam *κοσμήτωρ*. Eadem forma est in Plutarcho et Anthologia. Versu ultimo habemus formam *κοσμητής*.

186. *εἰς τὴν στοὰν τὴν ποικίλην*] Pausanias L. I. 15, 1. *ποικίλην ὀνομάζουσιν ἀπὸ τῶν γραφῶν*, ubi picturas, quae inerant in hac porticu, accurate describit. Plutarchus Cim. p. 480. fin. tradit priore tempore eam *Πεισιανάκτειον στοάν* appellatam esse, quocum consentit Diog. Laertius L. VII. 5. Ab hac *στοᾷ* nomen habebant Stoici, quoniam in hac porticu Zeno docebat.

187. *ἐν τῷ Μητρῴῳ*] Pausanias L. I. 3, 4. *ᾠκοδόμηται δὲ καὶ μητρὸς Θεῶν ἱερόν, ἣν Φειδίας εἰργάσατο, καὶ πλησίον τῶν πεντακοσίων καλούμενον βουλευτήριον, οἳ βουλεύουσιν ἐνιαυτὸν Ἀθηναίοις.* Aedificandi hujus templi caussa haec traditur. Metragyrtes quidam quum in Atticam venisset mulieresque Matri deum initiasset, in barathrum eum conjecerunt Athenienses occideruntque. Ea de caussa

www.libtool.com.cn

τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα γράψας καὶ νικήσας Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ' ἔστιν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον, ἔπειτα κελεύει στεφανῶσαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι αὐτῶν ἐπὶ Φυλῆς ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον τοῖς καταλαβοῦσι Φυλήν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων. ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ 188
ψήφισμα.

mox orta peste, oraculum acceperunt expiandos esse interfecti manes. Ita curiam aedificaverunt eo loco, ubi eum occiderant, Matrique deum templum consecrarunt. Hoc autem templo utebantur Athenienses receptaculo tabularum publicarum et legum. Praepositus iis erat scriba publicus; et clavis erat penes epistatam.

187. τοῖς ἀπο Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν] Notandus usus praepositionis ἀπό similiumque apud antiquos. Nostra ratione dicendum esset: τοῖς ἀπὸ Φυλῆς ὁρμηθεῖσι καὶ καταγαγοῦσιν. Sed antiqui brachylogiae studiosi mediam notionem, unde praepositio pendeat, omittunt. Vide Matthiae gr. Gr. §. 596. Rost. gr. Gr. §. 139. 9. c. et Haackium ad Thucyd. II. 80 et 83.

Ἀρχῖνος ὁ ἐκ Κοίλης] Κοίλη demus Atticus, cujus tribus, ignoratur. Sponius tamen ex marmore refert eum tribus Hippothoontidis fuisse. Erat autem prope urbem, et sepulcrum ibi Thucydidis historici. Archinum hunc ita laudat Demosthenes κατὰ Τιμοκρ. p. 741. Ἀρχίνου τοῦ καταλαβόντος Φυλὴν καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ, καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου καὶ ἐστρατηγηκότος πολλάκις.

θαλλοῦ στεφάνῳ] Bekkeri Anecdd. p. 263. θαλλὸν λέγουσι τὸν στέφανον τὸν ἀπὸ τῆς ἐλαίας. Antiquis temporibus erant coronae oleaginae summo honori. Aureae erant non tam honorificae, quam signum divitiarum et luxus.

οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ] Eo acerbior, quo magis inopinata et quo remotior ab re tractata invectio.

## ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

www.libtool.com.cn

Παραναγνωθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.

## ΨΗΦΙΣΜΑ.

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεταὶ ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

189 Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνα φήσει τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥςπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάῤῥησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

190 Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

## ΕΠΙΓΡΑΜΜΑ.

Τούςδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
  δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις

189. *Φιλάμμωνα*] *Φιλάμμων* (nam sic scribendum, non *Φιλάμων*) *πύκτης ἦν Ἀθηναῖος, ὃς πάντα τὸν χρόνον ἐνίκα τοὺς ἀντιπάλους*. Glauco quidem Carystio, qui Olympionices incertae Olympiadis est, junior, sed antiquior Ol. CX. De Glauco vide Pausaniam VI. 10.

*Παταικίωνος ἄμεινον*] Suidas s. v. *Παταικίων. ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος, καὶ προςκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥςτε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.*

*ἐφικόμενος τῆς ἀνδραγαθίας*] Generalis est enuntiatio; quando fortia facta perfeceris. Consulto omittit genitivum *ἐκείνων* aut similem, ne videatur postulare, ut illorum antiquorum fortitudinem aequet, sed eum vult fortitudinis in se spectatae documenta edere.

θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυ- 191
σαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι.
ἔναυλον γὰρ ἦν τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος
κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων
ἀνεῖλον. καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυ-
τοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέν-
τε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πό-
λει, ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη
γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι
γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ
ὄνομα καὶ τὸ ἔργον. τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς
παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, 192
ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦν-
το, ὥσπερ νῦν γίγνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι
οἱ δικασταὶ τοῖς παράνομα γράφουσιν αὐτοῦ τοῦ κα-
τηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ
ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψή-
φισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες οὐκ εἰ
πάντας παραπηδήσαιεν τοὺς νόμους, ἀλλ' εἰ μίαν μό-

191. εἴ τις εἰσίοι γραφὴν] Sic habent Bekkeri codd. omnes, quibus obsequendum erat. Vulgo edebatur γραφή. Verbum εἰσιέναι, ut vocabulum forense, dicitur et de caussa, et de reo, et de judicio.

191. ἔναυλον] Vocabulum subtiliter adhibetur tum de sermone, quo tanquam tibiae sono aures personant, tum de re qualibet, cujus adhuc recens est memoria. Accurate exposuit de vocabulo Ruhnk. ad Tim. Lex. p. 100.

πολλάκις — διεξῄει] Διεξιέναι, oratione persequi, enarrare, solet junctum habere accusativum rei, quae enarratur. Hinc Marklandus pro ὃς conjecit οὓς, sc. πόνους. Sed animo Aeschinis obversabatur sequens enuntiatio ἔφη γὰρ cet. tanquam objectum, quasi dictum sit διεξῄει τόδε.

εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον] Pari culpa eos habitos fuisse, qui contra leges locuti sint et egerint: veram tenentes sententiam, ex dictis facta nasci, et qui assuescat rebus pravis audiendis, minus eum indignari iis, qui prave agant, et minus etiam ipsum a prave factis abhorrere.

192. ἀνεπόδιζον τὸν γραμματέα] Jubebant scribam repetere. Pollux II. 196. ἀνεπόδιζον τὸν γραμματέα Αἰσχίνης εἶπεν ὁ ῥήτωρ, ἐπὶ τοῦ πάλιν ἀναγινώσκειν ἐποίουν. καὶ ἀναποδιζόμενα ὁ Ἀντιφῶν τὰ πάλιν ἐξεταζόμενα.

www.libtool.com.cn

## ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

*Παραναγνωθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.*

### ΨΗΦΙΣΜΑ.

*Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.*

189 *Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνα φήσει τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥςπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάῤῥησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.*

190 *Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.*

### ΕΠΙΓΡΑΜΜΑ.

*Τούςδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων*
*δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις*

189. *Φιλάμμωνα*] *Φιλάμμων* (nam sic scribendum, non *Φιλάμων*) *πύκτης ἦν Ἀθηναῖος, ὃς πάντα τὸν χρόνον ἐνίκα τοὺς ἀντιπάλους.* Glauco quidem Carystio, qui Olympionices incertae Olympiadis est, junior, sed antiquior Ol. CX. De Glauco vide Pausaniam VI. 10.

*Παταικίωνος ἄμεινον*] Suidas s. v. *Παταικίων. ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος, καὶ προςκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥςτε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.*

*ἐφικόμενος τῆς ἀνδραγαθίας*] Generalis est enuntiatio: quando fortia facta perfeceris. Consulto omittit genitivum *ἐκείνων* aut similem, ne videatur postulare, ut illorum antiquorum fortitudinem aequet, sed eum vult fortitudinis in se spectatae documenta edere.

www.libtool.com.cn

θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυ- 191
σαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι.
ἔναυλον γὰρ ἦν τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος
κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων
ἀνεῖλον. καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυ-
τοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέν-
τε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πό-
λει, ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη
γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι
γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ
ὄνομα καὶ τὸ ἔργον. τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς
παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, 192
ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦν-
το, ὥσπερ νῦν γίγνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι
οἱ δικασταὶ τοῖς παράνομα γράφουσιν αὐτοῦ τοῦ κα-
τηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ
ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψή-
φισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες οὐκ εἰ
πάντας παραπηδήσαιεν τοὺς νόμους, ἀλλ' εἰ μίαν μό-

191. *εἴ τις εἰσίοι γραφὴν*] Sic habent Bekkeri codd. omnes, quibus obsequendum erat. Vulgo edebatur *γραφή*. Verbum *εἰσιέναι*, ut vocabulum forense, dicitur et de caussa, et de reo, et de judicio.

191. *ἔναυλον*] Vocabulum subtiliter adhibetur tum de sermone, quo tanquam tibiae sono aures personant, tum de re qualibet, cujus adhuc recens est memoria. Accurate exposuit de vocabulo Ruhnk. ad Tim. Lex. p. 100.

*πολλάκις – διεξῄει*] *Διεξιέναι*, oratione persequi, enarrare, solet junctum habere accusativum rei, quae enarratur. Hinc Marklandus pro *ὃς* conjecit *οὓς*, sc. *πόνους*. Sed animo Aeschinis obversabatur sequens enuntiatio *ἔφη γὰρ* cet. tanquam objectum, quasi dictum sit *διεξῄει τόδε*.

*εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον*] Pari culpa eos habitos fuisse, qui contra leges locuti sint et egerint: veram tenentes sententiam, ex dictis facta nasci, et qui assuescat rebus pravis audiendis, minus eum indignari iis, qui prave agant, et minus etiam ipsum a prave factis abhorrere.

192. *ἀνεπόδιζον τὸν γραμματέα*] Jubebant scribam repetere. Pollux II. 196. *ἀνεπόδιζον τὸν γραμματέα Αἰσχίνης εἶπεν ὁ ῥήτωρ, ἐπὶ τοῦ πάλιν ἀναγινώσκειν ἐποίουν. καὶ ἀναποδιζόμενα ὁ Ἀντιφῶν τὰ πάλιν ἐξεταζόμενα.*

τον συλλαβὴν παραλλάξαιεν. τὸ δὲ νυνὶ γιγνόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀναγιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταί, ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι, πρὸς
193 ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε. μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ ὁ φεύγων, ἐὰν ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ
194 πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα, ἐτόλμα δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεύς, λέγων, ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων, ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς, οἶμαι, σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξα-

*ἐπῳδὴν*] Tropicum vocabulum explicat proprio *ἢ ἀλλότριόν τι πρᾶγμα*, ducta metaphora ab epodis in carminibus lyricis, quae solent esse breviores strophis, tertia pars odes, et plerumque stropharum additamenta continent, non res novas.

193. *ἤδη δ' – – παραδέχεσθε*] Ἤδη h. l. est augentis in oratione progrediente, quin etiam, atque etiam: ne Reiskium sequaris, vel aoristum *παρεδέξασθε* vel perfectum *παραδέδεχθε* substituendum censentem.

194. *Κέφαλος ὁ παλαιὸς ἐκεῖνος*] Videtur is esse, de quo Suidas s. v. *Κέφαλος Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμιον καὶ ἐπιλόγους συντέθεικε. γέγονε δὲ ἐπὶ τῆς ἀναρχίας.* Cephalum, ut virum probum, patriae amantem et auctoritate, quam bonis artibus peperisset, pollentem laudat Demosthenes *περὶ στεφ.* p. 310. s. Dinarch. *κατα Δημ.* p. 31. Tres erant oratores Cephalorum nomine, quos distinguit Taylor in vita Lysiae p. 103. n. 5. Reisk.

*οἱ διαπολιτευόμενοι*] Ammonius de voce. diff. *διαπολιτεύεσθαι καὶ ἀντιπολιτεύεσθαι διαφέρει. Δια-*

www.libtool.com.cn

μάρτοιεν εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. 195
Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρα-
σύβουλον τὸν Στειριέα, γράψαντά τι παρὰ τοὺς νό-
μους [στεφανοῦν] ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ
Φυλῆς, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐερ-
γεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί· ἡγοῦντο
γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρα-
σύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν
γράφοντά τι παρὰ τοὺς νόμους. ἀλλ' οὐ νῦν, ἀλλὰ 196
πᾶν τοὐναντίον γίγνεται· οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῖν
καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ
ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς

195. *γράψαντά τι παρὰ τοὺς νόμους [στεφανοῦν] ἕνα* cet.] *Στε-φανοῦν* deest in duobus codicibus, idque ut suppositum recte, opinor, uncis inclusit Bekkerus. Nec enim, si Thrasybulus decretum tulisset, ut unus eorum, qui ex Phyle redierant, coronaretur, id in se legibus contrarium fuisset; hoc contrarium fuisset, si v. c. tulisset, ut unus *χρυσῷ στεφάνῳ* coronaretur: quod si fecisset, diserte hic erat exprimendum. Opinor respici ad historiam, quam narrat Pseudo-Plutarchus in vita Lysiae T. II. p. 835. fin. *ἐφ' οἷς γράψαντος αὐτῷ* (Lysiae, qui bene meritus erat de iis, qui *δῆμον κατήγαγον*) *πολιτείαν Θρασυβούλου μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δὲ τοῦ Ἀρχίνου γραφὴν παρανόμων, διὰ τὸ ἀπροβού-λευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα.* Pro accusativo autem *ἕνα* Casp. noster Orellius legendum censet *ἑνί*, ut item dativus est in *πολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς αὐτῆς πόλεως. ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας δι' ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις*: unde patet minime opus esse Wolfii conjectura *ἀντιπολιτευόμενοι.* Accurate de hac verbi significatione exposuit Casaub. ad Polyaen. Strateg. I. 21, 3. et recte ad nostrum locum animadvertit Reiskius *διά* in compositione saepe nisum in diversa significare. Respondet Latinorum **dis**, quod est **in diversas partes**.

196. *ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων*] *Ἐξαιτεῖσθαι* varias habet **deposcendi** significationes. Hic est **veniam rogare, enixe petere, ut ignoscatur, ut poena remittatur.** Construitur cum accusativo vel hominis, qui peccavit et pro quo venia petitur; vel criminis. **Demosthenes** in Mid. p. 426. §. 27. *παιδία παραστήσεται καὶ κλαιήσει, καὶ τούτοις αὐτὸν ἐξαιτήσεται*; ubi hunc reorum morem illustrat Buttmannus. **Eurip.** Androm. 53 ss.

*ᾔτησε Φοῖβον, πατρὸς οὗ τίνειν δίκην,*
*εἴ πως τὰ πρόσθεν σφάλματ' ἐξαιτούμενος*
*θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.*

www.libtool.com.cn

ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ, ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ' ἧς τε-
197 τίμηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται
198 τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ, ὧν οὔτε

Pseudo-Plutarcho. Vix enim ipsi toleranda videtur constructio verbi *γράφειν* cum duplice accusativo, ut *λέγειν τινά τι*, ferre aliquid de aliquo.

197. *ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι*] *Ἀνδρὶ δικαίῳ καὶ σώφρονι* est dativus objecti, *συνηγόρῳ* dativus appositionis. »Quaenam oratio convenit homini justo et sobrio, qui patroni partes suscipit?« — Victorius margini ed. Ven. ad *ἀποδέδεικται* adscripsit »Puto *ἀπολέλειπται*.«

*εἰς τρία μέρη*] Harpocration s. v. *διαμεμετρημένη ἡμέρα*. *Διενέμετο εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι* (accusatori), *τὸ δὲ τῷ φεύγοντι* (reo), *τὸ τρίτον τοῖς δικάζουσι. Ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.*

*ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον*] Nempe absoluta accusatione et defensione primum judices in suffragia ibant, num reus crimine teneretur nec ne. Si reum innocentem esse plura suffragia testarentur, ab omni poena liber erat. Sin noxius declarabatur, tum demum poenae fiebat aestimatio.

198. *τὴν ψῆφον αἰτεῖ*] Dicitur de eo, qui flagitat, ut in suum favorem suffragium feratur. *Τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται* est quod nos dicimus elementiam vestram implorat.

*ὅρκον αἰτεῖ*] Flagitat, ut sua caussa perjurium admittatis; *νόμον αἰτεῖ*, flagitat, ut negligatis legem; *δημοκρατίαν αἰτεῖ*, flagitat, ut a rationibus democratiae deficiatis. Hic locus exemplum est *ἐπιμονῆς*, quam figuram technici explicant, *ὅταν τις πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ*. Amat hanc figuram rhetoricam Aeschines. §. 200. *κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν*. §. 202, *ἐπὶ σαυτὸν κα-*

αἰτῆσαι οὐδὲν ὅσιον ποιοῦσιν οὔτ' αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτούς, ἐάσαντας ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, ἀπαντᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ὀλίγου δέω 199
εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς γραφαῖς μόνον ταῖς παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι, μήτε τῷ τὴν γραφὴν τῶν παρανόμων φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥςπερ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή, τὸν κανόνα προςφέρομεν, ᾧ διαγιγνώσκεται, οὕ- 200
τω καὶ ἐν ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου τουτὶ τὸ σανίδιον καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; 201
ἐγὼ ἐρῶ. ἐπειδὰν προςελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν

λεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς.

τὴν — ψῆφον — διενεγκεῖν] Διαφέρειν ψῆφον dicitur de pluribus, qui viritim suffragia de eadem re ferunt. Isocrat. περὶ ἀντιδ. p. 9. fin. Orell. λέγειν ἅπερ ἐγὼ νῦν περὶ τοὺς μέλλοντας περὶ ἐμαυτοῦ τὴν ψῆφον διοίσειν.

200. ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν] Ὑπερπηδᾶν levi pede aliquid praeterire et migrare quasi rem parvi momenti.

κακοῦργον ἄνθρωπον] »Haec verba arguunt Demosthenem maleficiorum et injuriarum in rem publicam; suo itaque loco sunt posita. Agitur enim de legum περὶ τῶν παρανόμων vi infringenda, et detrimento inde in reipublicae formam redundante. — Non igitur vereor, ne quis alteram lectionem πανοῦργον hoc loco praeferendam ducat.« Wunderlich.

κλέπτεις τὴν ἀκρόασιν] Quomodo intelligendum sit, apparet ex §. 99. ubi junguntur κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας: quod Latini dicunt decipere aures.

καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι, ἐὰν δὲ μὴ προςποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας ἀπολογίας εἰςεληλύθατε ἀκροασόμενοι, ἀλλὰ
202 τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μάλιστα μὲν μὴ προςδέχεσθε κακοῦργον ἄνθρωπον, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομένου Κτησιφῶντος, εἰ καλέσει Δημοσθένην, πρῶτος ἀναβοήσῃ »κάλει, κάλει.« ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. ἂν δ' ἄρα ὑμῖν δόξῃ ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι, ὅνπερ κἀγὼ
203 κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ ὑπομνήσω ὑμᾶς. οὔτε τὸν ἴδιον βίον τὸν Δημοσθένους πρότερον διεξῆλθον, οὔτε τῶν δημοσίων ἀδικημάτων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων λέγειν, ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος· ἀλλὰ

202. εἰ καλέσει] Sic dedi ex tribus codicibus, quo ducunt etiam quattuor, qui habent καλέσεις. Quattuor habent εἰ καλέσω. Bekkerus dedit εἰ καλέσῃ, provocans ad locum περὶ παραπρ. §. 64. p. 171. ubi legitur εἰ δῷ, ego vero ex optimo Helmst. scripsi εἰ δώσει. Quod ad constructionem attinet, rationem Atticorum prosae scriptorum nondum deserere possum quae Hermann. docet ad Vigerum p. 831. [Cf. gr. Gr. nostram. §. 121. not. 11. V. C. F. R.].

κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα;] Sic plurimi Bekkeri codices pro vulgato ὡδέ πως κατηγόρηκα. Consulto hoc aliquanto gravius exprimit Aeschines, quum attentionem in suam accusandi rationem movere velit, oppositione ejus rationis, quam in caussa dicenda sequitur Demosthenes. Hic locus videtur, ut alii, demum post habitam Demosthenis περὶ στεφάνου orationem sic elaboratus esse. Nam tangit ea momenta, in quibus Demosthenis defensio revera parum satisfacit.

202. μάλιστα μὲν μὴ προςδέχεσθε] Optimum fuerit, si aditum ad suggestum ei non concedatis.

κάλει, κάλει] Perspicitur hinc, quantum fuerit populi Atheniensis studium Demosthenis audiendi, quum, simulac quis ejus mentionem fecerat, solerent alta voce clamare, ut vocetur et progrediatur orator. Repetitio vocabuli hoc idem studium exprimit, et perperam alterum omittitur in nonnullis codicibus.

203. ἀπορώτατος] Inertissimus, stolidissimus. Ἄπορος interdum is dicitur, qui propter ingenii tarditatem nil expedire queat.

www.libtool.com.cn

πρῶτον μὲν τοὺς νόμους ἐπιδεῖξαι ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξελέγξαι γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν, οὐδὲν προβαλόμενον, οὐδὲ προσεγγράψαντα »ἐπειδὰν δῷ τὰς εὐθύνας,« ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαῤῥήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δίμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναῤῥήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάῤῥησιν γίγνεσθαι, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω. 204 οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δέ, τὸ μέγιστον λέγω, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς. 205 ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἔστι δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι,

παντελῶς] Absolute, sine ulla restrictione.

204. τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω] Λέγω Marklandus delendum censet et deest in quinque codicibus. Miram rationem iniit Reiske, distinguens τὰ δὲ περὶ τῶν δημοσίων, ἀδικημάτων λέγω, interpretans de publicis, injuriis inquam. Simplicissimum fuerit interpretari: de publicis potissimum injuriis verba facio (in hac ipsa oratione).

205. τρίτον δέ, τὸ μέγιστον λέγω] Λέγω cum nomine saepissime ponitur, ubi nos ex nostra ratione nonnisi nomen ponimus. Cf. Valckenaer ad Phoen. v. 994. In Graeco sermone tamen nomen, cui additur, ut grave notatur, reddique potest λέγω etsi quidem, ut h. l.

ὅτι πάλαισμα τοῦτ' ἐστι δικαστηρίου] Πάλαισμα significat astutam rationem vincendi adversarium, quali utebantur pugiles in certaminibus. Translatum ad alias res significat callidum quod-vis [illegible]

www.libtool.com.cn

ἀλλ᾽ οὐδὲ ἔστιν δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμ-
206 βαλεῖν. ὥςπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους περιΐστασθαι, ἀλλ᾽ ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες ἐν τῇ ἀκροάσει εἰςελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους,
207 καὶ τὰς ἐκτροπὰς αὐτοῦ τῶν λόγων ἐπιτηρεῖτε. ἀλλ᾽ ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ᾽ ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπειςάξει γὰρ τὸν γόητα καὶ βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. οὗτος κλάει μὲν ῥᾷον ἢ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα· οὐκ ἂν θαυμάσαιμι δὲ, εἰ μεταβαλλόμενος τοῖς ἔξω περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ᾽ αὐτῆς

lìstae explicant παλαίσματα τὰ ἀγωνίσματα, οἷς βούλεταί τις καταπαλαῖσαι τὸν ἀντίδικον, Fechterstreich. Exponit haec Victor. Varr. Lectt. II. 10.

ἑτέρων παρεμβολῇ πραγμάτων] Technici per παρεμβολὴν intelligunt insertam aliquam sententiam, quae per se consistit, ut, si eam tollas, cetera salva maneant. Aeschines per παρεμβάλλειν et derivata ea intelligit, quae injiciuntur, ut auditores et judices a re primaria abducantur, et res aliena eorum attentionem abripiat.

206. περιΐστασθαι] Περί praesertim in compositione cum verbis motum indicantibus duplicem habet significationem, bonam et malam. Περιϊστάναι significat tum in melius, tum in pejus mutare, tum emendare, tum corrumpere. Hic habet significationem malam.

ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες] His verbis indicatur diligentissime ipsis a dolis et callidis fallaciis hominis fraudulenti cavendum esse.

ἐκτροπὰς] Aeschines tropice adhibuit de degressione loquentis, tanquam ferae, quae in saltu aliquo a venatoribus inclusa retibusque undique cincta conetur aliqua via occulta erumpere. Exposuit de vocabulo Victorius Varr. Lectt. XIV. 5.

207. ἐπειςάξει] Tropus ab eo sumptus, qui personam in scenam inducit. Βαλαντιοτόμος tropice denotat eum, qui callide commoda aliorum vel summo scelere arripere conatur. Διατετμηκὼς τὴν πολιτείαν is est, qui partes in civitate excitat, et, dum hae se laniant invicem, ipse earum opibus inhiat.

μεταβαλλόμενος] i. q. μεταβάλλων τὸν τρόπον, sonum mutans, alia oratione loquens. Ex lacrimis et ejulatu transit in probra et maledicta. Ineptam glossam habent tres codices. ἔξω τῆς πόλεως. Est ἔξω τοῦ δικαστηρίου.

www.libtool.com.cn

τῆς ἀληθείας διηριθμημένους ἤπαν πρὸς τὸ τοῦ κατη-
γόρου βῆμα, τοὺς δὲ δημοτικοὺς πρὸς τὸ τοῦ φεύ-
γοντος. ὅταν δὴ τὰ τοιαῦτα λέγῃ, πρὸς μὲν τοὺς 208
στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε, »ὅτι,
ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς φεύ-
γοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποθ' ἡ δημο-
κρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μὲν μεγάλων κακῶν
συμβάντων ἔσωσαν τὴν πόλιν τὸ κάλλιστον ἐκ παιδείας
ῥῆμα φθεγξάμενοι, „μὴ μνησικακεῖν“ σὺ δὲ ἑλκο-
ποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν λόγων ἢ
τῆς σωτηρίας τῆς πόλεως.« ὅταν δ' ἐπίορκος ὢν εἰς τὴν
διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημο-
νεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ
δὲ πρὸς τοὺς αὐτοὺς μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι
δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι Δημο-
σθένει ὑπάρχον, ἢ τοὺς θεοὺς καινούς, ἢ τοὺς ἀκρο-
ατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ 209
τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ »ποῖ καταφύ-
γω, ὦ ἄνδρες Ἀθηναῖοι; περιγράψατέ με ἐκ τῆς πολι-

209. *περιγράψατέ με*] Reiskius dedit ex Bern. *εἰ περιγράψετέ με*. Aeschines affectare videtur orationem flebilis hominis et timidi, qui

*διηριθμημένους*] *Διαριθμεῖσθαι* proprie est dinumerari; hinc discerni, separari.

208. *τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα*] Pulcherrimam vocem ex liberalitate et salutari sapientia profectam, quae maximum est documentum eos non solum liberaliter educatos fuisse, sed liberalitatem etiam vita et moribus expressisse.

*μὴ μνησικακεῖν*] Hoc erat proprium hujus rei nomen. Vocabulum *ἀμνηστία* serioris demum temporis est. Muretus Varr. Lectt. II. 15. De re confer Fr. A. Wolf. ad Leptin. p. 227 s.

*ἑλκοποιεῖς*] Tropus subtilis, in omnibus fere linguis usitatus, vulnera refricare, die Wunden aufreissen, de eo, qui, quum convenerit inter quosdam praeteritarum rerum nullam amplius mentionem facere vel quaestionem instituere, eas tamen nunquam non in memoriam revocat, quia etiam auget et invidiose calumniatur. Hic est discordias disseminare et alere, exacerbare.

*τῶν αὐθημερὸν λόγων*] Orationes, quae quum habentur, plausum ferunt, qui tamen cito perit, quum perspicitur, si eas in agendo sequamur, nil nasci nisi infortunium. Adverbium in hac similibusque locutionibus videtur usitatius, quam adjectivum *αὐθημέρων*, quod est in quattuor codicibus quodque etiam apud Plinium legitur Epp. IX. 26, qui locum laudat in exemplum audaciae loquendi.

209. *περιγράψατέ με*] *Περι-*

-τείας; οὐκ ἔστιν ὅποι ἀποστήσομαι, « ἀνθυποβάλλετε αὐτῷ; τὸ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν. ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ βασιλικὸν χρυσίον

ipse perspicit civibus non solum jus esse, sed officium eum puniendi, sed ita eos flagitat hoc jure uti, ut deminuto honore ipse tamen salvus evadat. Casparus tamen Orellius noster opinatur scribi posse futuro tempore περιγράψετε et interrogationis signum in fine addendum: περιγράψετέ με ἐκ τῆς πολιτείας; »Num vultis me exterminare ex republica?« Potest tamen ea constructio esse, qua imperativus non imperet, sed ponat aliquid fieri. Tum addit quod eventurum sit ipsi; quae interpretatio optima videtur.

γράφειν est minuere alicujus auctoritatem, impedire, ne quis sua auctoritate possit abuti, sive id fiat removendo a republica, sive minis, sive alia ratione. Cf. Graevium ad Ciceron. Epp. ad Att. VII. 9. Respicit ad significationem verbi περιγράφειν, qua idem fere est ac circumcidere. Ut enim avis, cui alae circumcisae sunt, in sublimia surgere non valet, sic se sit, si sua auctoritas sit circumscripta, non in sublimem honoris gradum ascensurum nec in superbiam et importunitatem prolapsurum.

τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι;] Προβάλλεσθαι est verbum proprium de eo, qui aliquid praetendit, objicit, ut se suosque tueatur; estque vocabulum, quod adhibere vel etiam sibi tribuere amat Demosthenes. Hinc Aeschines per irrisum: Quod tandem munimentum praeclara tua rerum civilium administratio civitati paravit?

ἃ μὲν γαρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, πάντες ὁρῶμεν] Sensus est: Quodnam consilium in tuam utilitatem ceperis, nos omnes videmus. In βουλεύεσθαι notio inest calliditatis et doli: ne opineris προβέβλησαι cum Marklando scribendum esse.

ἐξορμεῖς ἐκ τῆς πόλεως] Pollux L. I. 122. προεκπλεῦσαί ποι, ἐξορμεῖν καὶ παρορμεῖν. Ἐξορμεῖν navis dicitur, quae ex statione in altum provehitur aut provecta est. Eadem significatione apud Lycurg. contra Leocr. p. 148. R. legitur ἐξορμᾶν: καὶ νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξορμώσης, ubi Taylor legi vult ἐξορμούσης. Sed vulgatam, codd. omnium auctoritate firmatam, defenderunt Schulzius et Alb. Gerh. Bekkerus. Sensus est: Urbe relicta non in Piraeo domicilium, ut videtur, constituisti, sed opportunum locum elegisti, unde, quando tibi placet, peregre abeas.

τὸ βασιλικὸν χρυσίον καὶ τα δημόσια δωροδοκήματα] A singulari progreditur ad generale, quod fit per simplicem copulam, quae significat et omnino

καὶ τὰ δημόσια δωροδοκήματα.« ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ δ' ἀγὼν οὐκ ἀτίμητος, σὺ δ' οὔτε περὶ τῆς οὐσίας, οὔτε περὶ τοῦ σώματος, οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ; ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους. 210
ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος, ἢ τῶν καθεστηκότων ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· » ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ δεῖ ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι.« ἀλλ', οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς· ἃ δὲ σὺ λέ- 211

211. ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο] Quattuor Bekkeri codices ejusdem familiae habent ἐκείρατο καὶ ἐπένθησε; qui quidem ordo et vocabulorum notioni (plerumque enim solet partis notio praecedere, generis sequi) et scriptorum usui convenientior est, Grammaticis tamen, qui vulgarem collocationem minus solitae anteferrent, deberi videtur. In nostro autem ordine longe argutius exsistit contrapositum inter ἐκείρατο et στεφανοῦσθαι, quod utrumque ad caput refertur, illud ejus deformitatem, hoc ornatum denotans. Similiter mox post acerbam Demosthenis cum Ajace comparationem ludit in illis κεφαλὴν — στεφανῶσαι — κατατέτμηκε.

210. ὅλως δὲ τί τὰ δάκρυα;] Ὅλως est Latinorum denique. Denique cur opus est lacrimis? Quid est, quod lacrimas excitet?

ὁ δ' ἀγὼν οὐκ ἀτίμητος;] Tria membra in unam interrogationem inclusa sunt et ad singula membra οὐχ ab initio enuntiationis pertinet; οὐκ ἀτίμητος autem in nostro membro idem est, quod τιμητός. Accuratum vero examen inter ἀγῶνα τιμητὸν et ἀτίμητον instituit A. Matthiae in Dissertt de judiciis Atheniensium Miscell. Philoll. T. I. p. 275 ss. ubi nostri loci sententiam recte sic constituit: Quid te attinet lamentari et vociferari? Nonne Ctesiphon est, in quem haec actio est intentata, et ea quidem non talis, in qua multa ab actore constituta necessario pendenda sit, sed quae certationem multae accipiat, judicumque misericordiae locum relinquat, tu vero nec de fortuna, nec de capite, nec de salute periclitaris? Τιμητὸν autem fuisse τὸν ἀγῶνα τῆς γραφῆς τῶν παρανόμων patet ex multis exemplis de varia hujus litis aestimatione, quae recenset Boeckh Staatsh. I. p. 411.

212 ξεις, εἶποι ἂν κάθαρμα ζηλοτυποῦν ἀρετήν. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γε ὑμῶν οὐδεὶς φοβηθήσεται, μὴ ὁ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων, οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται.

www.libtool.com.cn

213 Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην

211. *κάθαρμα ζηλοτυποῦν ἀρετὴν*] Phavorinus s. v. *κάθαρμα*. *Ἔτρεφόν τινας Ἀθηναῖοι λίαν ἀγενεῖς καὶ ἀχρήστους καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω, ἢ τοιούτου τινός, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος· οὓς καὶ ἐπωνόμαζον καθάρματα.* Tropicam hinc significationem habet homo nequam. *Ζηλοτυπεῖν*, inquit Harpocrat.: *Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἀντὶ τοῦ μισεῖν. ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ εἰς ἀπέχθειαν ἐληλυθέναι.* Auctore Cicerone, quem vide Tusc. IV. 8. 17. 18., vertamus *κάθαρμα ζηλοτυποῦν ἀρετήν* nequam, qui obtrectat virtuti.

212. *μυριάκις κατατέτμηκε*] Jam supra §. 51. capitis *ἐπιτομὴν* Demostheni objecit, ut alium *τραύματος ἐκ προνοίας* accusaret. Nemo in nostro loco non agnoscit hyperbolen rhetoricam. §. 52. etiam de Midia ejusque caussa sermo erat.

*ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται*] Locus videtur corruptus. Ingeniose Toupius conjecit *οὐ κεφαλήν, ἀλλὰ κεφάλαιον*, sic ut *πρόσοδον* glossema sit vocabuli *κεφάλαιον*; est enim *κεφάλαιον* caput, unde usurae redeunt. Casparus autem noster Orellius ingeniosam utique Toupii suspicionem appellans, hoc tamen monet incommodi habere, quod, quemadmodum in vulgata, tertium aliquod membrum aegre desideretur, ad quod et *κεφαλὴ* et *κεφάλαιον* referantur. Ipse igitur leniore etiam mutatione jocum haud illepidum intulit *οὐ κεφαλὴν κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται*: caput habet non quo utatur ut reliqui homines ad videndum, audiendum, cogitandum, sed quo lucrifaciat tantum. Rud. vero Rauchensteinius emendatione fortasse non opus esse opinatur, quum ex praecedentibus appareat Demosthenis caput etiam tum foedatum fuisse verberibus vulneribusque variis; hinc propter hunc ejus foedum aspectum Aeschinem ejus caput nominare non caput humanum, sed lucri instrumentum. Non nego tamen Toupii emendationem ut festivitate, sic acerbitate commendari.

www.libtool.com.cn

βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν ὑμῶν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγιγνώσκειν· ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ. περιέρχονται γὰρ τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς λέγοντες. ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ' ἑαυ- 214
τόν φησι φοβεῖσθαι, ἐλπίζειν γὰρ δόξειν ἰδιώτης εἶναι, ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν ἀποβλέπων θαρρεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς, οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων, ἀπολύσητε.

Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βού- 215
λομαι προειπεῖν. πυνθάνομαι γὰρ λέξειν Δημοσθένην, ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται πολλά, ὑπ' ἐμοῦ

214. ἐλπίζειν] Hoc legitur in omnibus Bekkeri codd. Ante Reiskium, qui primus ex suis libris sic ediderat, edebatur ἐλπίζει, quod revocavit Wunderlich. Ut autem Reiskii ratio me non movet, qui se infinitivum edidisse ait, ut planior fieret plerisque legentium oratio, quorum multi viderentur haud assuevisse mori oratorum Atticorum ab obliqua oratione ad rectam et iterum ab hac ad illam transeundi; sic a codicum lectione me non deterruit Wunderlichii animadversio, Aeschinem Ctesiphonti tantum stultitiae affingere non potuisse, quasi ipse ejusmodi caussam ἐλπίζειν δόξειν ἰδιώτης εἶναι, cur suo nomine de periculo non timeret, professus sit. Quod per infinitivum Ctesiphonti affingitur, non est inter graviora, quae ei crimini vertuntur. Immo ironia est acerbior, quum ipse hanc spem dicatur professus esse, quam alio sensu veram esse Aeschines concedat. Ctesiphon dicebat se sperare futurum, ut habeatur ἰδιώτης, i. e. homo a cura et scientia rerum publicarum alienus; hinc se, si quid deliquerit, facile veniam impetraturum. Aeschines autem emphatice nomen ἰδιώτης pronuntiat, et intelligit ineptum, stupidum.

214. ἐμπληξίαν] Ἐμπλήττεσθαι, ut ἐμβροντᾶσθαι, dicitur de iis, qui tonitru tanguntur. Hinc tropice de iis, qui non sunt sanae mentis; ἐμπληξία i. q. μανία, φρενοβλάβεια. Inconstantiam imprimis hoc vocabulo notatam esse apparet ex Eurip. Tr. 1194 ss. Matth.

τοῖς τρόποις γὰρ αἱ τύχαι,
ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε
πηδῶσι.

www.libtool.com.cn

δὲ καταβέβληται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' ὑμῖν ἐγώ, ἢ εἴ τινας δημηγορίας εἴρηκα,
216 τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει, καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ κατὰ τῆςδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων, ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν.
217 καὶ νὴ Δί', ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν διὰ τί τὸ μὲν κεφάλαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστον οὐκ ἐκφλυον, οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν. ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀῤῥήτους εἶναι βουλοίμην, οὔτε τὰ αὐ-

217. *βουλοίμην*] Bekkerus » deest *ἄν.* « Opinor hoc sibi velle, addendam esse particulam *ἄν*, sed ubi collocetur, deserentibus nos codicibus, difficile esse judicatu. In quo assentior, nisi forte assumendum sit ex altero membro. Interdum enim fit, ut *ἄν* semel positum complura membra afficiat; usitatum id quidem, ut primo membro positum petendum sit ad sequentia; rarius, ut a posteriore revocetur.

215. *τὰς ἀπὸ τούτων αἰτίας*] Criminationes, quas repetit a mea cum Philippo et Alexandro consuetudine. Brachylogicus est usus praepositionis *ἀπό*.

216. *ἐνδεικνύμενος Ἀλεξάνδρῳ*] *Ἐνδείκνυσθαι* hoc loco positum, ut *ἐπιδείκνυσθαι*, de eo, qui artis suae specimen dat, ut suam sollertiam ostendat. Hic apprime sentiendi rationis documentum edere. *Διὰ τὴν* (sc. *Ἀλεξάνδρου*) *πρὸς αὐτὸν* (sc. *Δημοσθένην*) *ἔχθραν*.

217. *τὸ κεφάλαιον*] Summam et scopum rationis civilis. Non videtur praeferendum, quod praeferre volebat Wunderlich ex Helmst. *τὰ κεφάλαια*. Nam *τὸ κεφάλαιον* rem totam complectitur, oppositum partibus, *τοῖς καθ' ἕκαστον*.

*οὐ πυκνὰ προσιών*] Non frequenter in rebus publicis versans. Demosthenes *περὶ στεφ.* p. 328. *εἶτα ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας, ὥσπερ πνεῦμα,*

www.libtool.com.cn

τα τούτῳ δημηγορήσας ἐδεξάμην ἂν ζῆν. τὴν δ' ἐμὴν 218
σιωπήν, ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης παρε-
σκεύασεν· ἀρκεῖ γάρ μοι μικρά, καὶ μειζόνων αἰσχρῶς
οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος,
ἀλλ' οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης.
σὺ δ', οἶμαι, λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέ-
κραγας. λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ οὐδ' ἃ βούλει,
ἀλλ' ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν· οὐκ αἰ-
σχύνῃ δὲ ἀλαζονευόμενος ἃ παραχρῆμα ἐξελέγχῃ ψευδό-
μενος. ἀπηνέχθη γὰρ ἡ κατὰ τουδὶ τοῦ ψηφίσματος 219
γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλ' ὑπὲρ τῆς πρὸς
Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου
ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι,
οὔπω σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος, οὐ-
δὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμέ-
νου. πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἴ
γε μὴ ταὐτὸ ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν. ἐπι- 220

**218.** *ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν*] Cod. Bern. *ὁπόταν καὶ ἃ οἱ μ. σ. πρ.*, quam pulcherrimam lectionem vocat Taylor. Quod si eam lectionem pulcherrimam judicarem, qua verbum verbo responderet, flagitarem insuper, ut quemadmodum in membro primo duo verba adsint et diversi modi, sic idem fiat in secundo. Nos vero jam saepius monuimus antiquos scriptores in oppositionibus non anxios esse solere.

**219.** *πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ;*] Stephanum et Wunderlichium secutus sum, qui punctum interrogationis post hoc membrum posuerunt: quo sequens enuntiatio acerba est animadversio, quales solent apud Graecos ut novae enuntiationes per *εἰ μή, εἴγε μή, εἰ μὴ ἄρα*, apud Latinos per nisi vero, nisi forte annecti. Cf. Philologische Beiträge aus der Schweiz p. 181 ss.

*ἀνεφάνη. καὶ πεφωνασκηκὼς καὶ συνειλοχὼς ῥήματα καὶ λόγους συνείρει τούτους σαφῶς καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας, οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην.*

**218.** *καὶ σιγῶ καὶ λέγω βουλευσάμενος*] Consulto et taceo et loquor; re demum accurate pensitata aut prodeo ad dicendum, aut linguam contineo.

*ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης*] Interdum ipsum vitii nomen ponitur pro animo ad peccatum propenso. Demosth. *κατὰ Ἀριστογ.* B. p. 796. *οἱ πρεσβύτεροι, ἂν ἄρ' ἴδωσιν ἢ δαπάνην ἢ πότον ἢ παιδιὰν πλείω τῆς μετρίας, οὕτω ταῦθ' ὁρῶσιν, ὥστε μὴ δοκεῖν ἑωρακέναι.*

**219.** *πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν*] Supra §. 77., ubi fusius res narratur, scriptum erat *παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς.*

www.libtool.com.cn

τιμῆς δέ μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προςέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν ἡμᾶς μεταφέρων οὐκ ἐκ δημοκρατίας, ἀλλ' ἐξ ἑτέρας πολιτείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ' ὁ δυναστεύων κατηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δόξῃ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦν-
221 τος. ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ, μηδὲ

κατηγορεῖ] Bekkerus »imo δημηγορεῖ.« Sed in ὀλιγαρχίᾳ, ut opinor, rarissimus est τῆς δημηγορίας usus, ubi ἰσηγορία nulla. Verum hic quoque brachylogiam agnosco. In oligarchia potentissimus quisque judicia exercet, in democratia quicunque vult adversario diem dicit. Orellius.

221. τοῦ μηδέπω κεκρίσθαι] Bekkerus, ex haud paucis codicibus, sed ejusdem fere familiae, scripsit μήπω. Sed οὐδέπω, μηδέπω interdum poni videtur, ut fortius οὔπω, μήπω, nondum sane, tum apud poetas, tum apud prosae scriptores. Aeschylus Prom. 328. Bl.

σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς.

Eur. Med. 130 ss.

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνας
Κολχίδος. οὐδέ πω ἤπιος.

ubi probo Elmslejum, quod signum interrogationis in punctum mutavit. Sensus est: adhuc graviter est commota. Xenophon Cyrop. I. 3, 8. ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, ubi Muretus, probante Schneidero, conjicit μηδέν πω: quo non opus esse recte Fischerus vidit. Sic idem Schneiderus L. II. 1, 20. e cod. Alt. recepit οἱ πολέμιοι ἐλέγοντο μὲν προςιέναι, παρῆσαν δ' οὔπω. Ceteri codd. οὐδέπω, quod recte restituit Poppo. Noster κατὰ Τιμ. §. 184. p. 94. τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας, ubi item variant codices.

ἀξίωσιν cet.] »Num opinaris nos non intelligere, quod hanc rationem non ex democratia, sed ex oligarchia petis?« In oligarchia enim nemini, nisi cui ex oligarchiae institutis competit, licet ad res publicas accedere; in democratia vero id licet civi cuivis ἐπιτίμῳ. Ex verbi ἀξιοῦν significatione, qua est postulare, substantivi ἀξίωσις significatio facile petitur.

220. ἐπὶ τῶν καιρῶν cet.] Verborum collocatio eas notiones praeponit, in quibus potissima enuntiationis vis inest. Ἀνδρὸς πολιτευομένου ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος, hominis eo fine rempublicam capessentis, ut temporibus ejus et utilitati inserviat: quemadmodum αἱ ἐπὶ τούτου πράξεις apud Platon. Protag. p. 358. b. §. 118. Heind. actiones eo fine perpetratae.

www.libtool.com.cn

τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς
ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλή-
σμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν
γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι, καὶ τὰ περὶ
τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων, ἐν
οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆ-
μον ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριη- 222
ράρχους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ' ἄν,
ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων νεῶν, καὶ σαυτὸν
πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξη-
λέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτου-
σῶν τριηράρχους ὑφῃρημένος, πλεῖον τῆς πόλεως ἀφα-
νίζων ναυτικὸν ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν
Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν; οὕτω δὲ ταῖς αἰ- 223
τίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν
κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦ-
σι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ τὸν Φίλιππον ἐν ταῖς
διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς
τῆς πόλεως καιρούς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ
μέλλον κατεπαγγελλόμενος. οὐ τὸ τελευταῖον εἰσαγγέλλε-
σθαι μέλλων ὑπ' ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ

222. ἐξηλέγχθης — ὑφῃρημένος] Demosthen. περὶ στεφ. p. 260. audacter provocat ad suam integritatem, etiam si multa sibi oblata sint, si destitisset a lege roganda. Dinarch. autem κατὰ Δημ. p. 83. turpis eum venalitatis accusat, Aeschines autem hic Demosthenem affirmat a se convictum esse civitati suffuratum quinque et sexaginta naves. »Wem soll die Nachwelt glauben, welche ein Urtheil aus den Berichten lügenhafter Redner bilden will? Mich dünkt, für Demosthenes stimmt die Sache selbst, und die öffentliche Meinung über sein ganzes Staatsleben.« Boeckh. Staatsh. II. p. 116.

Πόλλιν] De re vide Diodor. Sic. XV. 34.

223. οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας cet.] Sensus est: Quum tibi poena metuenda sit, tu, partibus mutatis, accuses eos, qui te in judicium produxerunt, ita ut, quamvis ipsi sint insontes, ob calliditatem tuam et perfidiam, in maximo discrimine versentur, tu autem quasi innoxius evadas.

πολὺν] Πολύς h. l. is, de quo multa dicuntur: aliis locis eum significat, qui multa dicit, qui loquax est.

Ἀναξίνου] Ratione hujus Anaxini Aeschini haec exprobrat Demosthenes περὶ στεφ. p. 272. s. πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος

www.libtool.com.cn

224 Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάσι ἀγοράζοντος, καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρί, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες, ἄνδρα φίλον καὶ ξένον ποιούμενος, καὶ τοῦτον ἀπέκτεινας; καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνω ἐφ' ᾧ ἀνεβόησεν ὁ δῆμος καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξε-
225 νικῆς τραπέζης. ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾶν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρός, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους ἃ ἐπι-
226 τηδεύσας ὑγιὴς ἂν ἐγένετο. σαυτὸν δ' οὐκ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιρούς, ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν, ἀποδοῖτο, τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλών, ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδέν,

αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος, καὶ πολέμιος τῇ πατρίδι.

224. τοὺς τῆς πόλεως ἅλας] Ἅλες καὶ τράπεζα proverbialis est locutio de convictu et hospitio. Τὴν ξενικὴν τράπεζαν perquam apud antiquos sanctam et gravi poena ejus violationem affectam fuisse docet Spanhemius ad Callim. H. in Dian. v. 123. unde proverbiale praeceptum ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν. Merito autem viro vere patriae amanti summa cum homine privato necessitudo posterior est patriae salute.

225. ἔνατα] Sacra, quae manibus nono die a funere elato offerebantur (efferri autem solebat mortuus die tertio post quam exspiraverat); haec faciebant consanguinei et familiares; exclusi ab his erant defunctis inviti. Ad exsequias usque funera in atrio proponebantur. Τοῖς ἐνάτοις comparari possunt feriae denicales Romanorum; distinguenda sunt ab iisdem τὰ γενέσια, de quibus vide Lobeck ad Phryn. p. 104.

πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς, ἐπερωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν, ὅτ' ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν; ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, 227
ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ' ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα.

Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυν- 228
θάνομαι Δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ἀγανακτῶ μάλιστα. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς Σειρῆσιν, ὡς ἔοικε. καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους, ἀλλ' ἀπόλλυσθαι, διόπερ

227. *ἀποκρύπτοιτο*] Hanc lectionem, quam Reiskius meram Stephani de suo depravationem appellat, obtulerunt septem Bekkeri codices pro vulgato *ἀποκρίνοιντο*. Ex morata oratione in propriam progreditur earum rerum narrationem, quas crimini vertere vult Demostheni, et in iis haec est primaria, quod celare studeat civi patriae amanti multo graviora fuisse facienda, quam accusare in judicio eos, qui patriam in tantum discrimen praecipitaverint, patriam scilicet ipsam a ruina, quae illi minitabatur, defendere. *Ἀποκρίνοιντο* nec ex regulis grammaticis nec ex sententia aptum.

226. *τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας*] Parum recte, opinor, vertitur: quos ob reipublicae rationem insectatus est. Videtur potius hoc dici: qui per calumnias a rerum publicarum administratione depulsi sunt. Demosthenes *περὶ στέφ.* p. 278. jungit eadem, ni fallor, significatione *ὑποσκελίζειν καὶ συκοφαντεῖν*.

227. *ἐνέστην*] *Ἐνίστασθαι* dicitur de hominibus, qui irruenti hosti inopinato se opponunt, vel etiam ipsi invadunt. Translatum ad forum est alicujus tentaminibus obsistere et illis explicatur per additum *τὴν γραφὴν ἀπήνεγκα*.

228. [*ὧν ἐγὼ — μάλιστα*, haec verba, ob duplicem attractionem obscuriora, in hunc modum resolvas: *τούτων ἃ ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐπὶ τούτῳ ἀγανακτῶ μάλιστα*. V. C. F. R.]

*κηλεῖσθαι*] *Κηλεῖν* verbum proprium est de carminibus et orationibus, quae magica quadam vi auditorum animos commovent. Suidas s. v. *κηλούμενος*. *τερπόμενος, θελγόμενος, οἷον αὐλοῖς καὶ ἡδυφωνίαις. Κηλοῦμαι γὰρ τὸ ὑπ' αὐλῶν ἥδομαι.*

www.libtool.com.cn

οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ
229 ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ' ἀνδρὸς στρατηγοῦ, μεγάλα μὲν τὴν πόλιν κατειργασμένου, λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὐτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ

228. *τῶν Σειρήνων*] Hoc habent omnes Bekkeri codices praeter tres pro vulgato *τῶν εἰρημένων*. Reiskius eos, qui locutione *τῶν εἰρημένων* tanquam peregrina offendantur, parum cognitum habere Polybium arbitratus, oblitus est illos Polybium non habuisse pro exemplo Atticae dictionis, sed existimasse hanc formulam scriptoribus Atticis usitatam non fuisse.

*τῶν ἐμῶν λόγων ἐμπειρίαν*] Fluctuant codices inter *ἐμπειρίαν* et *εὐπορίαν*. Nimium autem scrupulosi erant viri docti, qui putabant Demosthenem, Aeschini silentium et dicendi raritatem exprobrantem, eidem *λόγων ἐμπειρίαν* tribuere non potuisse. Nec Demosthenes hanc ipsi tribuit. Sed Aeschines Demosthenis calumniam, *περὶ στεφ.* p. 328. *συνείρειν αὐτὸν λόγους σαφῶς καὶ ἀπνευστί*, ita in suum honorem interpretatur.

229. *μεγάλα μὲν τὴν πόλιν κατειργασμένου*] Sic quattuor Bekkeri codices ejusdem familiae pro vulgato *τῇ πόλει*. *Ἐργάζεσθαι* et synonyma apud Atticos scriptores ex regula cum duplice accusativo construuntur, eumque in lectionis varietate praeferendum censeo. Si dativus personae ab omnibus Mss. teneatur, eum non ausim de conjectura mutare. Sobrie de hac re egit Fischerus ad Wellerum P. III. a. p. 429 s.

*διόπερ οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν*] Nimium fastidiosus est Taylor, si hoc tanquam futile et ab hoc loco alienum glossema exterminandum censet. Est hoc ex eorum genere, quo oratores si adversarium inducunt loquentem, puerilia saepe ei tribuunt; hanc animadversionem appellaverim leviter ironicam.

*τῆς γὰρ αἰτίας* cet.] Grammaticus verborum ordo hic est: *αἰσχρὸν γάρ ἐστι τὸν αἰτιώμενον μὴ ἔχειν ἐπιδεῖξαι τὸ ἔργον τῆς αἰτίας*. *Τὸ ἔργον τῆς αἰτίας* est veritas criminationis, quae vertitur in certo facto, de quo dubitari non potest.

229. *ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν, καὶ περιέργων*] Contra has An-

www.libtool.com.cn

τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὐ τὴν γλῶτταν, ὥςπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστιν.

Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ 230
ζητῶ πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν. πότερ' ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἆρ' εἰσὶ παρ' ὑμῖν εὐθῦναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρόν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων, οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίγνεσθε, οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις 231

**230.** ζητῶ] Vulgo *ζητῶ πυθέσθαι*. Quum autem *πυθέσθαι* in tribus tantum Bekkeri codd. sit, recte ut additamentum grammatici deletum. *Ζητεῖν* enim apud optimos interdum est **interrogare**, et adjunctam habet notionem desiderii.

schinis criminationes defendit Demosthenem **Dionysius Halicarn.** *περὶ τῆς λεκτικῆς Δημοσθένους δεινότητος* c. 55 s., ostendens orationis *πικρότητα*, suo loco adhibitam, et ita ut Demosthenes ea usus sit, laudem esse, non vitium. *Περιεργίαν* technici appellabant affectationem ornatus, malam sedulitatem in ornando et poliendo, quam **supervacuam operositatem** dicit **Quintilianus** Oratt. Institutt. L. VIII. 3, 55.

*οὐ τὴν γλῶσσαν, ὥςπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι*] Demadis hic fertur jocus fuisse in Athenienses: *Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι.* Faceta sane comparatio! Quod si enim hoc tempore Athenienses erant satis loquentes et diserti, plerumque etiam gloriosi, in agendo tamen inertissimi et languore suo et desidia nimium quantum verborum vanitatem testabantur.

**230.** *οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι*] Attici hominem *ἐπιτήδειον* vocabant, quem **Sallustius** Jugurtha XX. 2. **opportunum injuriae.** Sic **Plutarchus** scribit tyrannos Athenarum interfecisse primum invisissimum omnium sycophantarum, qui quia primo loco sese obtulerat neque propter publicum odium latere poterat, ab ea re *ἐπιτήδειος* vocatus est. **Demosthenes** *κατὰ Ἀνδροτ.* p. 610. *αἱ πόρναι ἐπιτήδειαι παθεῖν κακά.* [Cf. **Wyttenbach.** Cur. poster. in Bibl. cr. III, P. 12. p. 30.]

www.libtool.com.cn

τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπειςαγόντων ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους
232 περιθεῖναι τῷ δήμῳ. καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστὲ καλῶς ποιοῦντες, ψηφιεῖσθε δ' ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων, ἐὰν μὴ δικαίως τοὺς κυκλίους χοροὺς κρί-

231. *ἐπειςαγόντων*] sc. *δράματα*. Taylor cum Wolfio scribens *ἐπειςιόντων* non attendit ad subjectum *ποιητῶν*, quum, monente Fischero ad Wellerum III. a. p. 256., *ἐπειςιέναι* non de poetis, sed de histrionibus dicatur. *Ἐπειςάγειν* autem est verbum proprium de poetis, qui inducunt fabulas. Cf. Schaefer. ad Bosii Ellips. p. 118 s.

*ἀνετίθεσαν*] Quum *ἀνατιθέναι* de donariis imprimis diceretur, quae diis consecrabantur, in genere significationem accepit, aliquid tanquam ornamentum alicui tribuere. Xenophon Memor. IV. 6, 15. *ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι.*

232. *καλῶς ποιοῦντες*] Hanc formulam, significantem jure, merito, illustravit D'Orvillius ad Charit. p. 296 s. Lips. Mihi in quibusdam locis, ut hic, inesse videtur lenis ironia, quemadmodum in similibus formis, v. c. *ἀγαθῇ τύχῃ*, cum bona fortuna.

*τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων*] Eosdem intelligit, quos Demosthenes in Mid. p. 520. appellat *τοὺς κριτὰς τῷ ἀγῶνι τῶν ἀνδρῶν*: qui judices sedebant certaminis, eumque coronabant, qui praestantissimus judicatus erat. Videntur iidem fuisse, ad quos deferendae erant eorum querelae, qui per festum injurias se passos esse opinabantur, et quibus censura Archontis ejusque curationis demandata erat. *Κύκλια* vel *ἐγκύκλια* sunt *τὰ κατ' ἐνιαυτὸν γινόμενα, οἷον χορηγίαι, γυμνασιαρχίαι καὶ ἱερῶν περίοδος*. F. A. Wolfius in Prolegg. ad Leptin. vertit munera sollemnia, stata, ordinaria.

www.libtool.com.cn

σουσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κυκλίων χορῶν κριταὶ καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους οὐδ' ὀλίγοις καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ 233
τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκε τὴν αὐτὸς αὑτοῦ δυναστείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' αὐτὸν γάρ, οἶμαι, γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται.

Δοκοῦμεν δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφό- 234
τερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ

233. ὁ τοιοῦτος κριτής] Scholiastes: ἐνταῦθα καταχρηστικῶς εἶπε κριτὴν τὸν δικαστήν. Κριτὴς γὰρ ὁ κρίνων τοὺς τραγῳδοὺς καὶ τοὺς ἄλλους ἐπὶ σκηνῆς.

συμπαρακολουθῶν αὐτὸν λυπεῖ] Jurisjurandi violatio perpetua memoria, furiarum instar, conscientiam terret et vexat.

234. καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες] Brachylogice hoc dictum. Sententia haec est: Quemadmodum non est mirum per nostram nos imprudentiam in administrandis rebus civilibus in magna incurrisse pericula, sic ne ea quidem, quae nobis commodo esse possint, nobis debentur ipsis, sed fortunae, nec nos quicquam facimus ad rem juvandam et regendam, verum, quam obtulit opportunitatem fortuna, ea non utimur, sed abutimur.

τὰ τῆς δημοκρατίας ἰσχυρά] Firma democratiae praesidia, quae sunt posita in legum severitate et observantia, in depellendis a republica hominibus callidis, qui adulatione et assentatione ad voluptatem omnia loquuntur et agunt, nihil ad veritatem.

φορὰ ῥητόρων], Φορά, proventus, in quo saepe inest notio copiae et multitudinis, tropice de hominum copia, quos aetas fert, significatione bona et mala. Nota est apud Demosthenem περὶ στεφ. p. 245. φορὰ προδοτῶν τοσαύτη, ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν. Exempla tropici usus habet Wesselingius ad Diod. Sic. XVI. 54.

www.libtool.com.cn

ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος. ἔπειτ' αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς
235 ἑαυτὸν ἐνεχείριζε κατέλυσαν· ἔνιοι δὲ καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, οἳ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, πρὶν τὰς αἰτίας ἀκοῦσαι, ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προςήκοντας παραγίγνεσθαι. οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ' ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον δήμου καταλύσει, πρὶν ἂν μεῖζον τῶν δικαστηρίων ἰσχύσῃ;

236 Ἡδέως δ' ἂν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐναντίον ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἄξιοῖ Δημοσθένην στεφανῶσαι. εἰ μὲν γὰρ λέγεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτ' ἐξειργάσθαι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ

234. κατέλυσαν] Taylor, offensus tam vicina ejusdem vocabuli repetitione, conjecit priore loco κατεκήλησαν scribendum. Sed hoc mitius est pro re, quam Aeschines exprimere vult. Casp. noster Orellius vere monet, si quid mutandum sit, Tayloriano κατεκήλησαν longe praestare κατέκλυσαν a κατακλύζω: Facile sic populi mentem suae orationis volubilitate obruebant, transversumque agebant.

235. ἀκρίτους] Quum in hac notione summum insit tyrannorum crimen, ejus etiam periphrasin addit Aeschines πρὶν τὰς αἰτίας ἀκοῦσαι.

ἐπέθετο – δήμου καταλύσει] Ἐπιτίθεσθαι significat adoriri, vel vi aperta, vel dolo et insidiis. Dativus autem substantivi finis est, quem hi homines hoc impetu assequi studebant. Insidiabantur libertati et democratiae.

236. Ἡδέως δ' ἂν – ἀναλογισαίμην] Ἀναλογίζεσθαι proprie est ejus, qui, absoluta computatione, denuo eandem repetit, ut videat, num prima justa fuerit. Ad argumentationem relatum significat praecipua argumentationis capita repetere.

εἰ μὲν γὰρ λέγεις] Marklandus mavult λέξεις, quoniam sequitur εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφ. Utrumque recte dicitur, atque etiam ubi minus est caussae, variant tempora praesens et futurum. Hoc loco praesens aptius sensu: Nam si etiamnum dicis.

γεγενῆσθαι τούτων αἴτιον] Etiam hic offenderunt viri docti in plurali τούτων de re una ad-

www.libtool.com.cn

περιχαρακώσαντα χοὶ τὰ τείχη, οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ 237
ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ' εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. ἡλίκον δ' ἐστὶ τὸ ἀλα- 238
ζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ, »ἐγὼ« φησὶν »ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε· οὐ γὰρ λήψεσθε.« οὗτος μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν 239

hibito. Cf. supra ad Lysiam κατὰ Ἀγορ. §. 21.

τὰς δημοσίας ταφὰς ἀνελόντα] Objicit Aeschines Demostheni eum, ut muros suos, quibus tantopere gloriaretur, aedificaret, ne locis quidem sacris, v. c. sepulcris, pepercisse, quo minus ipsi impendere necesse esset: quum tamen lege vetitum sit sepulcra violare. Cf. Cicero de Legg. II. 26. Soli Atheniensium muri, qui, auctore Themistocle, Ol. LXXV. 2. adversantibus ceteris Graecis, celerrime instituti sunt, constabant ex sacellis sepulcrisque. Thucyd. I. 90 ss. Corn. Nep. Them. c. 6.

237. τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς] Tribuens auctoritatem, quam habebat ut legatus ex hac civitate, homini qua tali. Περιτιθέναι proprie is dicitur, qui alteri vestem induit.

238. οὐ γὰρ λήψεσθε] Si non respiciturad locum Aristophanis Acharn. 100 ss. ubi Pseudartabas, qui partes agit satrapae Persici, quasi Persice loquens barbara lingua dira opprobria jactat in Athenienses, quorum partem legatus Atheniensis, qui redierat ex Persia, in laudem et commodum Atheniensium interpretatur, similis tamen hic est barbari fastus.

www.libtool.com.cn

νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθη-
ναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δή-
μῳ, ἃ σωφρονῶν ὁ δῆμος οὐκ ἐδέξατο. ὁ δὲ κομίζων
ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων.
τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργά-
ζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυσ-
τυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδο-
μήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ βασιλι-
240 κοῦ χρυσίου ἀπεστέρησας. οὐ δι' ἔνδειαν μὲν χρημάτων
ἕνεκα πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν
οὐ παρέδοσαν; διὰ δὲ ἐννέα τάλαντα ἀργυρίου, πάντων
Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄν-
των βοηθεῖν, ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς
καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς. καὶ τὸ κεφά-
λαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ
κίνδυνοι παρ' ὑμῖν.

241 Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίγνεται. ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθούς,

241. τολμήσει] Sic habent quinque Bekkeri codices pro vulgato τολμήσειε. Modorum diversitatem in hoc verbo et sequenti ἐγκωμιάσει, qua offensi erant Marklandus et Reiskius, Wunderlich defendebat. »Optativus τολμήσειε, inquit, notat Aeschinem post ea, quae monuerat §. 202. s., dubitare, num Ctesiphon Demosthenem advocaturus sit. Indicativus autem ἐγκωμιάσει Demostheni eam Aeschinem impudentiam tribuere significat, tanquam extemplo re suscepta se ipsum praedicaturus sit.« Mihi utriusque membri eadem videtur ratio. Neque supra res dubitanter est expressa, sed ut futura. Hinc bonorum codicum auctoritati cessi.

βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίγνεται] Quattuor codices pro πεπόνθατε habent πεπόνθαμεν, quod legitur etiam in Bekkeri Anecdd. p. 372; non male. Vividior enim est oratio, si Aeschines se cum auditoribus conjungit ratione eorum, quae passi sunt.

239. τὰ δ' ἑβδομήκοντα – ὑποσιωπᾷς] Haec omnia nonnisi ex adversariis Demosthenis cognita habemus, ut incertum sit, num fidem ullam mereantur. Ipsa certe narratio est tenebricosa.

διὰ δὲ ἐννέα τάλαντα] Cf. Dinarchum p. 14.

241. ἀπαιδευσίαν αὐτῶν] Ctesiphontis, Demosthenis et asseclarum.

www.libtool.com.cn

οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἐὰν τοὺς καθ' ἑαυ-
τῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος
αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν
τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;
'Απὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν 242
σωφρονῇς, ἀποστήσῃ, ποίησαι δέ, ὦ Κτησιφῶν, διὰ
σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκή-
ψῃ, ὡς οὐ δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἂν ἄτοπόν σοι
συμβαίνοι, εἰ πρώην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς
ὡς Κλεοπάτραν, τὴν Φιλίππου θυγατέρα, χειροτονεῖ-
σθαι συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασι-
λέως 'Αλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι
λέγειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνα-
σαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ
ἀπολογήσῃ; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦ- 243
σθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων,

242. συναχθεσθησόμενος] Duo codd. habent συναχθησόμενος, et Atticistae, ut Thomas M. et Moeris, hanc formam καλλίω καὶ Ἀττικὴν pronuntiant. Sed Atticistae saepe unum scriptorem vel unum locum respicientes rem posuerunt ut universe veram. Negari tamen nequit formas ἀχθεσθήσομαι et ἀχθέσομαι (nam sic est scribenda: vide Buttmann ausführliche Griechische Sprachlehre §. 112. Anm. 5.) a librariis saepe confusas esse.

ὅταν δὲ ἄνθρωπος cet.] Oratio est ἀνακόλουθος, quam ἀκόλουθον reddidit Marklandus delenda particula δέ. Sed contra omnes libros non ausim anacoluthiam tollere. Sic enim facile pergit, quasi primo membro scripserit: ὅταν μὲν γὰρ οἱ ὄντως ἄνδρες ἀγαθοὶ καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν.

242. ποίησαι] Bekkerus malit ποιήσῃ vel ποιήσει in futuro, quemadmodum praecessit ἀποστήσῃ. Equidem in vulgata acquiesco. Prius enim membrum est conditionatum: ἐὰν σωφρονῇς, ἀποστήσῃ, et ex eo, quod conditioni satisfactum sit, pendet actio futura. Imperativus autem secundi membri est absolute exhortantis et imperantis.

Κλεοπάτραν] Haec erat Philippi filia ex Olympiade, quam Ol. CXI. 1. Philippus Alexandro, fratri Olympiadis, Molossorum vel Epirotarum regi, nuptum dedit, nuptiasque magnificentissime celebravit, ut enarrat Diodorus Sic. XVI. 91. Alexander, a Tarentinis auxilia adversus Bruttios deprecantibus sollicitatus, cupide in Italiam trajecit, se sibi sperans Italiam subjecturum, sed cum omnibus suis copiis occisus est, anno ante Chr. n. 331.

243. οἷος μὴ γιγνώσκεσθαι] »Si οἷος translatam significationem habet qui velit, qui possit, qui ad eam rem,

www.libtool.com.cn

ἂν μή τίς σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστάς, εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικράτει δὲ ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον ἔργα πέ-
244 πρακται. Δημοσθένει δ' ἀντεροῦ διὰ τί δώσετε; ὅτι δωροδόκος, ὅτι δειλός, ὅτι τὴν τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίσαθ' ὁ-

**243.** *ἀντεροῦ διὰ τί δώσετε*] Vulgo *ἐάν τις ἐρωτᾷ, διὰ τί οὐ δώσετε, φήσετε*: quae est enuntiationis enervatio. *φήσετε* deest in omnibus codd. praeter duos. Negatio *οὐ* est nonnisi in quinque codicibus. Receptam lectionem obtulerunt quinque codices, quae sensim per partes in reliquis corrupta est.

de qua agitur, sit proclivis, paratus, intentus, semper cum infinitivo et, si negativa sit enuntiatio, cum negatione *μή* construitur et ipsum effertur eo casu, qui erat casus nominis *τοιοῦτος*.« Haec exposuit et demonstravit Fr. W. Reitzius de prosodiae Gr. accentus inclinatione p. 92 ss. ibique F. A. Wolfius.

*Χαβρίαν*] Chabriam ait propter pugnam navalem inter Naxum et Parum ornatum praemiis fuisse (Ol. C. 4. Diodor. Sic. XV. 84). Maxime tamen eluxit inventum ejus in proelio, quod apud Thebas fecit, quum Boeotiis subsidio venisset. Narrat id Diodor. Sic. XV. 35. Cornel. Nep. Chabr. I. Statua in memoriam hujus rei Athenis in foro constituta erat.

*Ἰφικράτην*] Iphicratem donarunt statua aenea, victu Prytanei, aliis praemiis, *ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινεν* in bello, quod dicitur Corinthiacum, Ol. XCVI. 4. De Lacedaemoniorum mora accurate egit Fr. Manso Sparta. Vol. I. P. II. p. 225., nos in tironum usum explicuimus ad Corn. Nep. Iphicrat. II. 3.

*Τιμόθεον*] Etiam huic statuam aeneam posuerunt Athenienses; quod primum exemplum erat, ut, quum patri populus statuam posuisset, filio quoque daret. Haec autem expeditio in Corcyram *κατ' ἐξοχὴν* dicitur *περίπλους*. Nam quum primo in Thraciam navigavisset Timotheus, ut naves arcesseret, tum Graeciam circumnavigavit et Corcyram Atheniensium potestati subjecit. Cf. Xenoph. Hellen. VI. 2, 11 ss. De hujus insulae nomine accurate disputavit Cardinalis Quirinus in primordiis Corcyrae. Atticis dicitur *Κέρκυρα*, Latinis et Graecis post Christum n. *Κόρκυρα*, hodiernis *Κορφοί*, quod corruptum est ex *κορυφή*, nobis Corfu.

ρᾶν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ
ἂν εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ
τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα,
ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν
τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν
χωρὶς τοῦ σώματος θάπτομεν, Δημοσθένην δέ, ὦ Ἀθη- 245
ναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προ-
δόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. οὐκ-
οῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ
ζῶντες γίγνονται, ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνα-
τον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. τὸ δὲ μέγι-
στον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι πρὸς ποῖον χρὴ
παράδειγμα αὑτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε; εὖ 246
γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ αἱ παλαῖστραι,
οὐδὲ τὰ διδασκαλεῖα, οὐδ' ἡ μουσικὴ μόνον παιδεύει
τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύ-

246. *τὰ δημόσια κηρύγματα*] Hanc lectionem jam antiquitus tentatam fuisse videtur patere ex lectione quattuor codicum ejusdem familiae, qui pro *κηρύγματα* habent *δίκαια*, quod corruptum exi-

244. *σχετλιάζοντας*] *Σχετλιάζειν* de vehemente affectu ejusque significatione per gestum vel vocem vel facta dicitur, unde quis appareat non tranquillae mentis esse, sed occaecatus affectu; imprimis de moerore et indignatione. §. 258. *Ἀριστείδην — — σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ.*

*ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ*] Pausanias L. VI. 11, 2. *Δράκων Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴ γε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον*, eamque legem probavit etiam Plato Legg. IX. 12. Cf. Matthiae Misc. Phill. T. I, p. 154.

*τὴν χεῖρα — — χωρὶς τοῦ σώματος θάπτομεν*] Rationem reddit Josephus *ἁλώσ.* L. III. 8, 5. *παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τούτων τῶν νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος.* Aristoteles Nicom. L. III. 7. *Τὸ δὲ ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἤ τι λυπηρὸν οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ. μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα.*

245. *πανυστάτην ἔξοδον*] Intelligit fatalem illam expeditionem, quae clade Chaeronensi finita est.

*τῆς ἀρετῆς ἆθλον* cet.] Praemium virtutis esse mortem, memoriam vero evanuisse: quum tamen viri fortes cupiant *μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλειν.* [Interrogative, ni fallor, locutus est orator, scribens: *οὔκουν — ἐπιλείπουσαν;* V. C. F. R.]

*τί κρινεῖτε;*] Quid judicabitis? Quam sententiam pronuntiabitis? Quattuor co-

www.libtool.com.cn

γματα. κηρύττεταί τις ἐν τῷ θεάτρῳ, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας, ἄνθρωπος ἀσχήμων ὢν τῷ βίῳ καὶ βδελυρός· ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς ὥςπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνοχλεῖν ἐνταῦθα
247 ἤδη δικαίως ὀνομάζεται. ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος· ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς, ἀλλὰ τῇ Δημοσθένους ἀνανδρίᾳ προςεικασθῆναι.
248 πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ

stimat Casparus noster Orellius ex vocabulo *δικαιώματα*. Ego tamen cum Wunderlichio censeo vulgatam lectionem veram esse, tum quod, si exempla, quae afferuntur, examinaveris, invenies ea *κηρύγματα* esse, tum quod additur: *εὖ γὰρ ἴστε, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος*.

dices ejusdem familiae omittunt haec vocabula, ut sit aposiopesis, quae tamen hic locum habere non videtur.

246. *πεπαίδευνται*] *Παιδεύεσθαι* interdum de eo dicitur, qui, quum videat, quo ducat inscitia et improbitas, ab iis deterretur et ad prudentiam et honestatem ducitur.

*παιδεύει*] »Non Orientales solum et Judaei Graecienses, sed quivis scriptores antiqui conatibus effectum tribuunt.« Valckenaer ad Phoen. 1406. Id praesertim fit, quum effectus sit durans. §. 249. *τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς*. Cf. Porson. ad Phoen. 1231.

